APPIUS

MANUSCRIT

GREC

DES LIVRES [illegible]

lib octo posteriores

2. Aetii Tetrabibl.
III.

Aetij lib. octo posteriores
Ruffi vel Gal. synopsis de Pulsib.
Africanus de Pond. et Mensuris
Alij de urinis &c.

I

A. C. Lorry M.D. 1750.

hi octo Posteriores libri aetii quos MSS. hic vides benevole lector rarissimi sunt graecè et maximi pretii. quattuor MSS. similia apud regiam bibliothecam habentur et fere nullibi alibi prostant.
numquam typis excusa graecè sed tantum latinè

Lorry M.D.



60# vente de Mr. Hallé

Coûte $4^{f.} = 95^{c.}$

λ.



# Πίναξ τῶν κεφαλαίων τοῦ ἐνάτου βιβλίου Ἀετίου Ἀμιδηνοῦ

sic desunt Capita [illegible]

sic desunt Capita [illegible]

μγ.

# ΑΕΤΙΟΥ βιβλίον ἔνατον

## περὶ τῶν κατὰ τὰ τοῦ στόματος τῆς κοιλίας καὶ ἐντέρων. Κεφάλαιον α.

### περὶ καρδιακῶν



Ὅπως μὲν χρὴ θεραπεύειν τοὺς καρδιακοὺς λεγομένους, ἢ ἄλλως πως τῷ τοῦ στομάχου πάθει συγκοπτομένους, ἤδη τελεώτατα προειρήκαμεν ἐν τῷ πέμπτῳ λόγῳ τῆσδε τῆς πραγματείας, ἐν ᾗ τῶν πυρεσσόντων θεραπεύματα ταῦτα συνάψαντες. νυνὶ δὲ ἐν καιρῷ τῶν ἄλλων τῶν περὶ τὸν στόμαχον καὶ κοιλίαν γινομένων παθῶν τὴν θεραπείαν γράφοντες, ᾠήθημεν ἀναγκαῖον διὰ βραχέων, κἀνταῦθα αὐτῶν ὑπομνησθῆναι. σημειωσόμεθα τοίνυν τοὺς καρδιακοὺς λεγομένους, ὅταν ἐν ὀξεῖ πυρετῷ ἢ μάλιστα καυσώδει τύχωσιν ὄντες, τόνδε τὸν τρόπον. σφυγμὸν ἐὰν εὕρωμεν πυκνὸν καὶ ἀμυδρὸν καὶ τῶν ἄκρων κατάψυξιν, καὶ ἱδρῶτας περὶ τὸ πρόσωπον καὶ μέχρι στήθους κολλώδεις, καὶ τὴν ἀποφορὰν τοῦ χρωτὸς γεώδη προσβάλλουσαν, καὶ τὸν περὶ τὴν καρδίαν σφυγμὸν σφοδρότητα καὶ μέγεθος, καὶ πρὸς τούτοις ἀπορίαν καὶ ἀλυσμὸν καὶ ῥιπτασμόν, τοῦτον καρδιακὸν εἶναι λέγομεν. τὸ στόμα δὲ τῆς γαστρός ἐστι τὸ προπαθοῦν ἐν αὐτῷ καὶ εἰς συμπάθειαν μεγίστην ἄγον τὴν καρδίαν τῇ γειτνιάσει.

αἱ δὲ ἀρχαῖοι καρδίαν ἐκάλουν τὸ στόμα τῆς γαστρός. ἀφ' ὧν
διαφέρει συμπτωμάτων. λέγομεν ὅπου ψυχρῶν ἐπιθέτων καὶ ῥιπισ-
μοῖς βοηθητέον. ἀποσπογγιστέον τε τὸ πρόσωπον ὀξυκράτῳ ψυ-
χρῷ καὶ δοτέον καταρροφεῖν ὕδωρ γάλακτι δεδευμένον κατὰ βραχύ.
ὀσφραντὰ δὲ ποικίλα προσφερέσθω· κυδώνιον μῆλον, σί-
κυοι, καὶ τὰ παραπλήσια. τὰ πλεῖστα δὲ ἐπιβλήματα
ἀφαιρείσθω· καὶ τὸ ἐπιβεβλημένον δὲ ἔστω κοῦφον καὶ
τριβακόν. καταρραινέσθω δὲ τὰ ἐδάφη καὶ φύλλοις κατε-
στρώσθω μυρρίνης καὶ πλατάνου καὶ δρυὸς μάλιστα καὶ ἀμπέλου
καὶ αὐτοῖς τοῖς ῥόδοις. ἥλιόν τε ὁ οἶκος μὴ δεχέσθω. ἔστω δὲ
μὴ ἐπίγειος· ἀλλὰ κατώγεος καὶ μὴ σφόδρα φωτεινός. τοῖς
δὲ ἐξιδροῦσι μέρεσιν, ἐμπλαστέον μυρσίνην ξηρὰν λείαν, ἢ
κιμωλίαν ἢ οἰνάνθην ἢ κριθήν. μάλιστα δὲ ταῦτα προσάγειν τῷ
τραχήλῳ καὶ θώρακι καὶ μασχάλαις καὶ βουβῶσιν. ὁμοίως
δὲ βοηθεῖ ἐπιπλασσόμενα σίδια μετὰ μάννης ἢ κηκίς
καθ' ἑαυτήν τε καὶ σὺν ἀσβέστῳ ἢ σαμία γῆ μετὰ κόμμεως·
ἀλειφόμενα δὲ ἱστῶσιν ἱδρῶτας ἔλαιον μύρσινον, οἰνάνθινον,
ῥόδινον, μήλινον, σχίνινον. καταχριόμενα δὲ ἱστῶσιν ἱδρῶτας
μάννα καὶ ἄμυλον σὺν ᾠοῦ τῷ λευκῷ ἢ βολβοὶ λευκοὶ καὶ
[illegible] καὶ κνίδης σπέρμα καὶ κόμμι κηρωτῇ μυρσίνῃ
ἀναληφθέντα ἀλειφῇ, ἢ ᾠοῦ τῷ λευκῷ φυραθέντα. ἐπιχριέσθω
παχύτερον. περιπήγνυται γὰρ καὶ ξηραίνεται καὶ πρώτη ἐστὶ
τοῦ ἀναζωπυρηθῆναι τὸ θερμόν. μὴ λελιπασμένῳ δὲ τῷ
χρωτὶ προσακτέον τὸ κατάχριστον. ἀλλ' ὀθονίῳ ἀπομακτέον
ὅτι μάλα καὶ οὕτως ἐπιχριστέον. οὐκ ἀρκτέον δὲ αὐτοῦ ἀρχο-
μένης τῆς θερμασίας φαίνεσθαι. ἀλλ' ὅταν ἱκανῶς κατα-
θερμαίνηται τὰ ἄκρα. εἶτα εὐθέως ἀφαιρετέον καὶ σκεπα-
στέον τὸν θώρακα. καὶ εἴπου ἰουθάδες τι ἐκ τῶν ἐπιχρισμά-
των ἢ κνησμῶδες ἐπίκαυμα περὶ τὸν θώρακα φανείη, ἀσμένως
δέξασθαι.

δέξασθαι· καὶ ἕν τι τῶν πρὸς τὰ πυρίκαυστα φαρμάκων ἐπι-
θετέον τῷ τόπῳ· μάλιστα τὸ διὰ κριθῶν· τὰ δὲ ἄκρα ἤτοι
μέχρι γονάτων καὶ ἀγκώνων ἢ μέχρι μασχαλῶν καὶ βουβώνων
περιειλισμένα, καταπαστέον ἅλατι κεκαυμένῃ κεκαυμέ-
νῃ καὶ ἀσβέστῳ ἢ πυρέθρῳ ἢ πεπέρει, ἢ βολβοῖς λείοις μετὰ
πεπέρεως καταχρίε, ἀπὸ βραχιόνων, μέχρι τῶν δακτύλων·
καὶ ἀπὸ μηρῶν, μέχρι ἄκρων ποδῶν περιτιθεμένων αὐτοῖς
ἰσχνῶν ὀθονίων· τὸ αὐτὸ δὲ ποιεῖ καὶ νᾶπυ καὶ πύρεθρον καὶ
ἀσταφὶς ἀγρία· ἐπὶ δὲ τῶν μαλακῶν σωμάτων, ἀρκεῖ ἐνίοτε
ἔλαιον σικυώνιον ἢ γλεύκινον ἀλειφόμενον μετὰ ἀνατρίψεως
πολλῆς καὶ θερμασίας τῶν ἄκρων· δεῖ δὲ ὅτε τινὶ τούτων χάριν
θερμασίας καταπλάττωμεν νάπυ ἢ πεπέρει καὶ κηρὸν βραχύν,
ἵνα πρᾶος ᾖ καὶ διαμείνῃ ἐπὶ τῷ χρωτί· ἢ πίλημα ἐξ ἐρίου
καθαροῦ ἐλαίῳ θερμανθέντι διάβροχον ἐπικείσθω ἀεὶ ἐπὶ
τῷ τῆς κύστεως τόπῳ· τῆς δὲ κεφαλῆς ἐπιβροχαὶ πολλαὶ
ἔστωσαν, ὅσαι ἐπὶ τῶν φρενιτικῶν λελεγμέναι εἰσί· τὸ δὲ μέ-
τωπον μὴ περιαποσφίγγειν· ἀλλ' ἐπιχεῖν ἀκακίᾳ, κηκῖδι,
στυπτηρίᾳ, βαλαυστίοις· κάλλιστα δὲ ποιεῖ ὀμφάκινον μετὰ
κόμμεως· ἕκαστον δὲ λειούσθω ἀφεψήματι ῥόδων ἢ τῷ χυλῷ
ἤ τινι παραπλησίῳ καὶ οὕτως ἐπιχριέσθω· εἰ δὲ ἐμπεπλησ-
μένος εἴη κατὰ τὸν τῆς ὕδρας καιρὸν ἤγουν καὶ σκύβαλα παλαιὰ
πολλὰ περὶ τὸ ἀπευθυσμένον ἔντερον εἴη ἐχόμενα· τότε δεῖ
κενοῦν κλυστῆρι ἁπλουστέρῳ ἀπὸ χυλοῦ πτισάνης καὶ ὀλίγου
μέλιτος καὶ ἁλῶν ἐλαχίστων καὶ ἐλαίου βραχέος· διαφορεῖν δὲ
καὶ τὴν ἕδραν καθ' ἑκάστην διὰ τὰς ἐμπνευματώσεις κυμίνῳ
καὶ πηγάνῳ καὶ νίτρῳ μετὰ μέλιτος ὀλίγου· σκυβάλων δὲ μὴ ὑποκει-
μένων ἐν τῷ ἀπευθυσμένῳ μήτε μὴν περιττωμάτων πλήθους ἐν
ἐντέροις· ἀτροφούντων δὲ τῶν καμνόντων, ἐνιέναι δεῖ πτισάνης
χυλὸν ἢ ἄλικος λιπαρώτερον, συναναμίξαντας αὐτῷ ᾠὸν

ὠμόν. τὴν γὰρ τροφὴν περικλᾶσθαι τὰ ὑπορίζεται κάτω τὰ ἐν στομάχῳ
ἐνοχλοῦντα, καὶ τροφὴν χρηστὴν δίδωσι τῷ στομάχῳ ἤδη ταλαι-
πωρουμένῳ ἐκ τῆς ἀτροφίας. καταπλαττόμενα δὲ κατὰ τοῦ στομά-
χου καὶ τοῦ ἀριστεροῦ μαζοῦ ὠφελεῖ τοὺς καρδιακούς, βάτου φύλ-
λων μετ' ἄρτου καὶ μυρσίνης φύλλα· ἢ μυρσίνη ἢ ἕλικες ἀμ-
πέλου ἢ ἀρνόγλωσσον σὺν τῷ ἄρτῳ ἢ μῆλα κυδώνια φοινίκων
σάρκες μετὰ κηρωτῆς. τοὺς δὲ ἀσθενεστέρους καὶ ἀλφίτοις σὺν
φοίνιξι καταπλάττειν· ἢ φοίνικας οἴνῳ βρέχων λείου ὅσον οὐγ. δ̄ *
εἶτα ἐπιβαλὼν ἀλόης μαστίχης ἀνὰ ∠ δ̄ καὶ συλλεάνας ἐπίχει
κηροῦ οὐγ. β̄. μετ' ἐλαίου οὐγ. δ̄. εἰ μὲν χειμὼν εἴη καὶ μὴ πολλὴ
αἴσθησις τῆς θερμασίας, νάρδινον· εἰ δὲ τὸ θέρος, ῥόδινον ἢ μή-
λινον· καὶ ἐπιχέας τὴν κηρωτὴν τοῖς λεανθεῖσιν ἀναμίξας χρῶ
ὁμοίως. εἰ δὲ φλεγμαίνοι τι τῶν σπλάγχνων, ἄρτον ἑψήσας
μετ' οἴνου ὀλίγου καὶ μήλου καταπλάσσε· περιπλάσσων αὐτῷ
τῶν ἀτενωτέρων μῆλον κεκαθαρμένον ἢ οἰνάνθην. κατα-
στέλλει δὲ τοὺς ἱδρῶτας καὶ ἐπιστρέφει τόν τε στόμαχον καὶ τὴν
τοῦ τόνου καταρρυεῖσαν καρδίαν, τὸ ἐκ φοινίκων ἢ οἰνάνθης καὶ
ἀκακίας καὶ ῥόδων στυπτηρίαν τε καὶ ὑποκυστίδα καὶ ῥόος ξανθοῦ
κατάπλασμα, τὸν εὐώνυμον μαστὸν καταλαμβανέτω καὶ αὐτὴν
τὴν γαστέρα. ἔστω δὲ παχὺ σφόδρα καὶ κοῦφον· καὶ συνεχῶς
ἀλλασσέσθω. ἀνακληθέντων δὲ ἐκ τοῦ συμπτώματος, εἰ μέν-
τοι φλεγμαίνοιεν περὶ τὰ ὑποχόνδρια, προνοεῖν χρὴ ὅπως
ἀφλεγμαντότεροι γένοιντο διὰ τῶν κοινῶν καταπλασμάτων.
εἰς τρ. Τροφὰς δὲ δοτέον, ἄρτον ἐξ ὕδατος ψυχροῦ, ἢ ἐξ οἴνου
τῶν λεπτῶν καὶ λευκῶν ψυχρῷ κεκραμένου· πόδας ὑείους, ἀχεύ-
λας, ῥύγχη, καὶ τῶν πτηνῶν τὰ ἀπίμελα καὶ ἄβρωμα, τετη-
κότα ἐν τῇ ἑψήσει σὺν πτισάνῃ καὶ καθ' ἑαυτά. ψυχρὰ
δὲ ταῦτα προσφερέσθω εἰ θερμασίας αἴσθησις περὶ τὸν στό-
μαχον εἴη καὶ μὴ φλεγμαίνῃ. ἐπὶ δὲ τῶν ἄλλων, θερμά·
καὶ τὸ ποτὸν θερμὸν δοτέον· οἶνον λεπτὸν καὶ λευκὸν κεκραμένον.

τὸ δὲ συμμέτρως πίνειν τοῦ διδομένου οἴνου, οἱ σφυγμοὶ τοῦ κάμ-
-νοντος δηλώσουσι· μέχρι γὰρ τούτου διδόναι μόνον ἕως ἂν ὁ
σφυγμὸς καταπαύσῃ τὸ παράδρομον, καὶ ἐρρωμενέστερος γένοιτο

Περὶ τῶν ὑπὸ μελαίνης χολῆς ἐνοχλουμένων τὸν στόμαχον
ἡ θεραπεία. κεφάλ. β΄.

Οἱ ὑπὸ μελαίνης χολῆς ἐν πυρετοῖς ἐνοχλούμενοι τὸν στόμαχον
παραπλήσια συμπτώματα τοῖς καρδιακοῖς πάσχουσι· ἕπε-
ται δὲ τούτοις δηγμὸς ἰσχυρὸς τοῦ στομάχου μετ᾽ ἐκλύ-
σεως καὶ ἴλιγγον τῆς κεφαλῆς καὶ ἱδρῶτας ψυχροὺς ~~καὶ~~
σμικρότητά τε καὶ ἀμυδρότητα τῶν σφυγμῶν· προκοπ-
τόντων δὲ τῶν χρόνων, ἐπιτείνεται ὁ ~~σφυγμὸς~~ δηγμὸς κἀν-
τεῦθεν εἰς ἄλγημα μεταβαίνει δυσκαρτέρητον. ἐπιφα-
νεὶς δὲ ξανθῆς χολῆς ἔμετος κουφίζει τὸ σύμπτωμα· με-
λαίνης δὲ λύει· ἐμοῦσι γὰρ ὥσπερ οἱ τοιοῦτοι φλέγμα
ὀξῶδες ἀθροιζόμενον ἐν τῇ κοιλίᾳ ἐκ τῶν συνεχῶν ἀπε-
ψιῶν, διὰ τὴν τῆς γαστρὸς ἀτονίαν. τοῖς δὲ χωρὶς πυρετῶν
ὑπὸ μελαίνης χολῆς ἐνοχλουμένοις τὸν στόμαχον παρέπεται
κατὰ μὲν τὰς τῆς γεύσεως τοῦ χυμοῦ ὑποστάσεις δυσθυ-
μία καὶ ὕπνος μετὰ φαντασιῶν ἀλλοκότων· καὶ συνοχαὶ καὶ ὀδύνη
ἰνύων καὶ γαστροκνημιῶν· καὶ ὀξυδερκέστεροι ἑαυτῶν γίνονται·
ἀνορεκτότεροί τε εἰσί· καὶ τὰς ἐρυγὰς δὲ καὶ τὰς ἀναχρέμ-
ψεις, ἰχθυώδεις καὶ βρωμώδεις ἔχουσι· συναθροισθείσης
δὲ τῆς χολῆς, μετὰ πολλῆς ἀπορίας δυσκαρτερήτως πυρ-
ρῶνται, ὥσπερ αὐτοῖς μέλος καίεσθαι δοκεῖν· μάλιστα δὲ
ὁ στόμαχος ὡς ὑπὸ σκολόπων πεπυρακτωμένων νυττόμενος·
ἱδρῶτες δὲ συγκοπτικοὶ περιρρέουσιν ἅπαν τὸ σῶμα ὡς
εἴρηται· σκελίζουσι δὲ τῷ δακρύειν, καὶ πολλὴ αὐτοῖς ἡ πρὸς
ἔμετον προθυμία· καὶ πολλὰ μὲν μάτην σπαράττονται· ὅτι δὲ
ὅτε ἐμέσωσιν ὀλίγα τῶν συρρευσάντων εἰς τὴν γαστέρα χολω-

οἷον ἢ φλέγμα ὀξῶδες· καὶ πρὸς βραχὺ κουφισθέντες πάλιν τὸ αὐτὸ πάσχουσι· καὶ καθόλου ἐλλεβοριζομένοις ἐοίκασιν· οἱ δὲ σφυγμοί, ὅτε μὲν ἐπὶ τὸ πυκνότερον· ὅτε δὲ ἐπὶ τὸ ἀραιότερον μεταβάλλουσιν· θεραπευθῆναι δὲ κινδυνεύει· καὶ εἰ χρονισθείη, μετὰ ταραχῆς πυρώδους ἐξανίσταται, ὑποστρέφοντος ὡς εἰκὸς τοῦ συναχθέντος εἰς τὴν γαστέρα αὐτοῦ· πολλάκις δὲ καὶ τὴν ληφθεῖσαν τροφὴν μετὰ μελαγχολικοῦ χυμοῦ ἀνεμοῦσιν· ὡς ἐπὶ πᾶσαν γὰρ μετὰ δύο ὥρας τῆς τροφῆς τὰ συμπτώματα ἀλίσκονται· καὶ μάλιστα ὅταν τι τῶν δριμέων ἢ ἀλυκῶν ἐδεσμάτων ἢ πομάτων προσενέχθη· ἐνίοις δὲ αἱ τῆς κοιλίας διαχωρήσεις ταράττονται, ἢ ἀποκρίνονται παρὰ φύσιν ἄποπτα· φέρεται δὲ πολλάκις ἡ χολὴ διὰ τῆς κάτω κοιλίας καὶ συνεξάπτει τὴν τοῦ πάθους ταραχήν· ἐνίοι δὲ ἐπὶ πληθώσεις τῆς χολῆς, καὶ τοῖς μελαγχολικοῖς ἑάλωσαν πάθεσιν καὶ παρανοίαις ἀλλοκότοις· τούτων δὲ οὕτως ἐπιφανέντων εἴτε πυρέττοιεν· εἴτε καὶ μή· εἰ μὲν νέοι εἶεν καὶ πολύαιμοι καὶ πάντας τοὺς πρὸς φλεβοτομίαν ῥυθμοὺς ἔχοιεν· φλεβοτομητέον μετ᾽ ὑφαιρέσεως προκεκενωμένους διὰ κλυστῆρος· μὴ μέντοι μέχρι λειποθυμίας διὰ τὴν τοῦ στομάχου ἀσθένειαν· διαδετέον δὲ ὀδυνώσως τὰ ἄκρα καὶ ὀλιγοσιτεῖν ἀναγκαστέον· τόν τε στόμαχον ἐμβρεκτέον δι᾽ οἰσυπηρῶν ἐρίων μετ᾽ ὄξους πλείστου καὶ ῥοδίνου ὀλίγου ἢ μηλίνου ἢ σχινίνου· εἰ δὲ ὑπομένοιεν, ἐμβρεχέσθωσαν ῥόδων χυλῷ ἢ σέρεως ἢ ἀνδράχνης μετὰ ἐλαίου καὶ τοῖς σύφθοις καὶ στρυφνοῖς καταπλασσέσθωσαν· τοῖς δὲ ζωὴν τῇ δίψῃ ἐμφυσωμένοις τήν τε γαστέρα καὶ τὰ ἔντερα· ἐπιτηδειότατον ἐστὶν ὄξος δριμὺ ἐν ᾧ ἥψηται γλήχων καὶ κύμινον θερμὸν διὰ σπόγγων ἔξωθεν τῇ γαστρὶ προσαγόμενον· εἰ δὲ ὑπομένοι ἡ ὀδύνη, στυπτηρίαν ὑγρὰν μετὰ χαλκάνθου λείου καὶ ἀλόης μέλιτι ἀναλαβών,

ἐπιθείς·

ἐπιτιθέν· καὶ ὄξει τὴν στυπτηρίαν ἐμβάλλων καὶ θερμαίνων,
πυρία τὸν στόμαχον διὰ τῶν ποτηρίων· ἢ ἄλλην ἴσην μίξας
τῇ στυπτηρίᾳ, μυρσίνινον κηρωτῇ ἀναλαβὼν, ἐπιτίθει τῷ
στόματι τῆς γαστρός· ἢ κισσοῦ φύλλοις ἑφθοῖς ἐν οἴνῳ,
καταπλάσσε τὴν γαστέρα· ἢ ἀρνογλώσσῳ μεθ' ἄλλων ἐπιθέν-
των· ἢ βολβοῖς πυῤῥοῖς καὶ στυπτηρίᾳ ἴσοις καταπλάττε-
ται· κάλλιστον γὰρ ἐπὶ τῶν χρονιζόντων βοήθημα καὶ μετὰ νίτρου δὲ
οἱ βολβοὶ λειωθέντες καὶ καταπλασσόμενοι, ταχεῖαν τὴν
ἴασιν παρέχουσι. ἐπιτηδειότατον δὲ αὐτοῖς καὶ ἀγελαίων
βοῶν βόλβιτον ξηρὸν ἑψόμενον ἐν οἴνῳ καὶ καταπλασσό-
μενον. ἐπίθεμα δὲ, τὸ διὰ τῶν σπερμάτων· ἢ τοὺς βολ-
βοὺς τοῖς βολβίτοις καὶ τῷ νίτρῳ περιπλέκων καταπλάσσε.
εἰ δὲ ἐπιλάβῃ αὐτοῖς ἡ ἐμπνευμάτωσις, πήγανον καὶ κύ-
μινον ἑψήσαντες ἐν ἐλαίῳ, ἐμβρέξομεν τὴν γαστέρα ἐπὶ
πολύ· καὶ ἐκ τοῦ αὐτοῦ ἐλαίου ἐνεματίσομεν ὅσον ζ ς.
περικλύσαντες αὐτοὺς ἐκ σπόγγων καὶ κλυστῆρι ἐν ᾧ ἀφ-
ήψηται πήγανον καὶ κύμινον· εἶτα ἐπιθέσθω μετὰ πλη-
νίον τῇ κοιλίᾳ καὶ τοῖς σπλάγχνοις τοῦ διὰ σπερμάτων ἐπι-
θέματος. ἐπιφέρειν δὲ διδόναι χυλὸν πτισάνης προσλαβόν-
τα ἐν τῇ ἀφέψει ὄξος, μέλι, κύμινον, ἄνισον· εἶτα καὶ ὄρνιν
ὁμοίως ἠρτυμένην διδόναι· τὸ δὲ ποτὸν οἶνον κιῤῥὸν σύμμε-
τρον τῷ πλήθει. ιοσχορίδους· ἐπιτηδειότατα δὲ ὄξη τοῖς χολὴν
μέλαιναν γεννῶσι καὶ ἐμπνευματουμένοις καὶ διακονουμένοις, τὸ λι-
λεοντος ἀφέψημα πινόμενον· ἢ ὕδωρ ἐν ᾧ σίδηρος ἐναπε-
σβέσθη πλειστάκις· καὶ σέρεως χυλὸς πινόμενος· ὑδροποτεί-
τωσαν δὲ καὶ τὸ πρῶτον θερμὸν ὕδωρ. εἰ δὲ θερμασίας πλεί-
στης αἰσθάνονται, ψυχρὸν διδόναι κατ' ὀλίγον καὶ μάλιστα ἐν
τοῖς παροξυσμοῖς. ἀσωμένοις γὰρ αὐτοῖς καὶ πυρουμένοις
καὶ πᾶσαν ὑπομένουσι ταλαιπωρίαν, καταῤῥοφεῖν ἐκ δια-
λειμμάτων ψυχροῦ κατὰ κύαθον ἐπιτρεπέτω· οὐ γὰρ

ὑγρασμοῦ δέονται· ἀλλὰ ἐμψύξεως χάριν καὶ τῆς ἔξωθεν ἐπι-
κράσεως. ὠφέλιμοι δὲ αὐτοῖς καὶ χυλὸς ἡδυόσμου μετὰ χυλοῦ
ῥόος γλυκέας. εἰ δὲ ὑδροποτεῖν ἀδυνάτως ἔχοιεν, ἄλευρον οἶνον
καὶ ὑδαρῆ ἐπὶ τοῖς σιτίοις διδόναι θερμῷ κεκραμένον. ἡ δὲ τροφὴ
τὸ μὲν πλέον ἔστω σιτώδης καὶ ῥοφηματώδης ἐπὶ πάντων·
ἁπλουστέρα δὲ καὶ εὐδιοικητοτέρα ἐπὶ τῶν πυρεττόντων.
ἐπὶ δὲ τῶν ἀπυρέτων, παραπλεκέσθω λαχάνων μὲν θριδα-
κίνης καυλὸς καὶ μαλάχης· ἰχθύων δὲ οἱ πετραῖοι· καὶ τῶν
ὀρνίθων τὰ ἄβρωμα καὶ ἀπιμελῆ καὶ ὄρεια· ὀστρέων ὠφε-
λιμώτατοι ἐχῖνοι πρόσφατοι· ἀπεχέσθωσαν δὲ διὰ παντὸς
παντὸς δριμέος καὶ ἁλυκοῦ. τὰς δὲ ἐπιπόνους δίψας καὶ
ναυτίας ἐλαιαρὸν πλεῖστον ποτιζόντων, διὰ τῶν ἐμέτων λυέτω-
σαν. εἰ δὲ μὴ καλῶς ἔχοιεν, ἢ συνάγειν καὶ θάλπειν πλατεῖα
τῇ χειρὶ τὸν στόμαχον· ἵνα τὸ σπουδασθὲν χολῶδες διὰ τῆς
κάτω κοιλίας ἐκκριθῇ. εἰ δὲ τὴν φλεβοτομίαν μὴ παρα-
λαμβάνοιμεν, τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ κενωτέον διὰ κλυστῆ-
ρος καὶ ἐν ὀλιγοσιτίᾳ τηρητέον· ἔπειτα ποτίζειν τὸ τῆς γλήχω-
νος ἀφέψημα νήστεις καὶ τὰ ἄλλα πάντα τὰ προειρημένα
καὶ πυρίαν τῷ ὄξει· καὶ καταπλάττειν αὐτοὺς βολβίτῳ μετὰ
βολβῶν καὶ τοῦ νίτρου· ἀπυρέκτων δὲ γενομένων ἢ καὶ μηδ' ὅλως
πυρεξάντων, χρονιωτέρας τῆς ὀχλήσεως γενομένης καὶ τῶν
παροξυσμῶν μακρὰ διαλείμματα λαμβανόντων, καθαρτέον
τῇ ἱερᾷ ἀρχομένους ἢ Ῥούφου. τοῖς δὲ σιελίζουσι διδόναι κονίζειν ξη-
ρὰν λεπτὴν μάλιστα δαμασκηνῆς ἢ γλήχωνα καὶ μαστίχην λεί-
αν ποτιζέσθω ὕδατος. πλεῖστον δὲ καὶ τούτους τὸ γάλα καθ-
ὡς ἐν τῷ μετὰ τοῦτο κεφαλαίῳ ἐκ προσθήκης εἰρήσεται. τοῖς
δὲ πάνυ ἔκλυτον τὸν στόμαχον ἔχουσι δοτέον ὀρρὸν γάλακ-
τος δι' ὀξυμέλιτος ἐσχισμένον. καὶ πλείονας τῇ πρώτῃ πρό-
σθε τοῦ ὀρροῦ κατὰ θυμὸν λειότατα γρ. θ. καὶ σκαμμωνίας ὀβο-
λὸν ἕνα ἢ δύο πρὸς δύναμιν. ἔπειτα τὸν ὀρρὸν καθαρὸν ἐκ
διαλειμμάτων κατὰ βραχὺ πινέτωσαν. ἔξω δὲ τὸ πλῆθος

τοῦ

τοῦ πινομένου ὀρροῦ κοτύλαι ε' τὸ ἐλάχιστον· ἐνίοτε [illegible].
πραΰνει δὲ ἀλγήματα καὶ δήξεις στομάχου, ἀνδράχνης χυλὸς
ὁτὲ μὲν καθ' αὑτόν, ὁτὲ δὲ σὺν ναρδίνῳ ἢ μηλίνῳ. ἐπὶ
δὲ τῶν σφόδρα ἐκκαιομένων ποιεῖ καὶ ὀξυλαπάθου σπέρμα
[illegible] μεθ' ὕδατος ἢ μαστίχης λειοτάτης ὅσον
κοχλιάριον [illegible] σὺν ψυχρῷ νήστει. μάλιστα δὲ πάντων
τὰς δήξεις παύει γάλα ὄνειον. εἰ δὲ μὴ, βόειον πινόμενον
[illegible]· [illegible] ποιεῖ. εἰ δὲ μὴ παρείη, θερ-
μὸν ἐμβάλλειν χρὴ ὕδωρ τὸ τέταρτον μέρος αὐτοῦ
καὶ ἀναζέσαντας, διδόναι πίνειν. ἀγαθὸν δὲ καὶ σικύαν ἐν
μεταφρένῳ κολλᾶν. ἔσθ' ὅτε δὲ καὶ κατὰ τοῦ στομάχου. καὶ
ἀμύξαντας, αἷμα ἱκανὸν ἑλκύσαι διὰ τῶν ἀμυχῶν·
εἰς δὲ ἀνάληψιν τοῦ πάθους γυμναζέσθωσαν καθ' ἑκάστην
ἡμέραν πρὸ τῶν σιτίων καὶ ψυχρολουτείτωσαν, καὶ μάλιστα
ἐν θαλάσσῃ καὶ τῇ ἄμμῳ ἐν τοῖς ὑπὸ κύνα καύμασι κα-
ταχωννύσθωσαν. ἀπεχέσθωσαν δὲ πάντων τῶν τὴν μέλαι-
ναν χολὴν γεννώντων· μάλιστα κρεῶν βοείων καὶ οἴνου με-
λανος, κράμβης τε καὶ φακοῦ. προείρηται δὲ ἀκριβέστε-
ρον περὶ τῆς τοιαύτης διαίτης ἐν τῷ [illegible] λόγῳ τῷ περὶ μελαγ-
χολίας.

## Πρὸς τοὺς χολὴν μάλιστα ξανθὴν ἐμοῦντας. ἐκ τῶν Φιλουμένου κεφ. ι'.

Τοῖς δὲ χολὴν ἐμοῦσι καὶ ἐν πυρετοῖς καὶ δίχα πυρετοῦ
ἁρμόζει τὰ πρὸς τὴν ναυτίαν καὶ τὸν πλάδον τοῦ στομάχου
ῥηθησόμενα. χρηστέον αὐτοῖς ἅπασι καὶ τοῖς ὀσφραντοῖς
καὶ τοῖς διαμασήμασι καὶ ἐμβροχαῖς. ἡ δὲ κατάκλισις
ἐπ' αὐτῶν μάλιστα κατὰ [illegible] ἢ ὅλον, ὑπτία γινέ-
σθω [illegible] καὶ σπόγγος ἐξ ὀξυκράτου ἐπιρριπτέσθω
κατὰ τοῦ στόματος τῆς γαστρός· καὶ μάλιστα εἰ μὴ δυσκα-
ταφόρητος εἴη ὁ πόνος. ψηλαφία δὲ καὶ διάχρισις [illegible]
[illegible] καὶ τῶν ἄλλων ἄκρων. καταπλάσματα δὲ

τὸ διὰ φοινίκων καὶ σιδίων καὶ τῶν ὁμοίων παραλαμβανέσθω ἡψημένων μὲν δι᾽ οἴνου ἢ ὀξυκράτου· συλλεαινομένων δὲ μετ᾽ ἄρτου· καὶ ἀκακία δὲ καὶ ὑποκυστὶς καὶ βαλαύστιον καὶ ῥοῦς συμπλεκέσθω τῷ καταπλάσματι· ἥ τε τοῦ σώματος ὅλου ἀποθεραπεία δι᾽ ἐλαίου γινέσθω νίτρον βραχὺ ἔχοντος ὅπως ἱδρῶσαι βιασώμεθα τὴν ἐπιφάνειαν καὶ μεταγάγειν τοὺς ῥευματισμούς· καὶ διὰ τοῦτο καὶ ἡ κατὰ τῆς κοιλίας ἔγχρισις ἔργῳ πλεοναχθεῖσα, τοῖς ἐμέτοις ἀναξηρανθεῖσι ἤρεσεν· ὁ δι᾽ ἀψινθίου τοίνυν καὶ ἀλόης περιπότισμα ἁρμόδιον φοινιζούσης τῆς διαθέσεως· οὐκ ἀπολειπούσης δὲ τῆς δυνάμεως, καὶ τῆς διὰ κολοκυνθίδος ἀρχιγένους ἱερᾶς καταστάσει ποιήσαντι δώσομεν τοὐλάχιστον μέν, ἕως δραχμῆς μιᾶς· τὸ δὲ πλεῖστον ἕως τριῶν· εἰ δὲ μηδὲν κωλύει καὶ τῷ διὰ νάπυος καταπλάσματι τὰ ὑποχόνδρια φοινίζομεν· ἄκρως γὰρ μετάγει τὴν αἴσθησιν ἐπὶ τὴν ἐπιφάνειαν· ἀλλὰ ταῦτα μὲν ξενιζόντων ἐπὶ βοηθήματα· κατὰ δὲ τοὺς παροξυσμοὺς καὶ τὰς ὀξύτητας, ἡ σικύα πλεῖστον ὀνίνησι μετὰ πολλῆς φλογὸς προσβαλλομένη τῷ στόματι τῆς γαστρὸς καὶ ἀτόνως ἀποσπωμένη καὶ ἐπικολλωμένη πάλιν ἐκ δευτέρου καὶ τρίτου· τὴν δὲ προσφορὰν τῶν τροφῶν, ὡς ἐπὶ τῶν ἐμούντων ποιησόμεθα πλεονάκις κατὰ βραχὺ διδόντες· ἢ ὁσάκις ἂν ἀπεμέσωσι τὰ λαμβανόμενα πάλιν ἑτέραν τροφὴν μετὰ βραχὺ διάστημα προσφέροντες· πρὸ δὲ τῆς τροφῆς πιεῖν ὕδωρ χλιαρὸν διδόντες, ἀναγκάζομεν ἀπεμέσαι· τοῦ γὰρ παρακειμένου χολώδους συνεκριφέντος τῷ ἐμέσματι, ἐκκενωθεὶς καὶ κουφισθεὶς ὁ στόμαχος, κρατεῖ ῥᾳδίως τὴν προσενεχθεῖσαν τροφήν· καὶ ἐπὶ βαλανεῖον δὲ καὶ οἰνοποσίαν τάχιστα ἀκτέον τοὺς χολὴν ἐμοῦντας· ἵνα ἐπὶ τὴν ἐπιφάνειαν μεταχθῇ·

ἀλλὰ

ἄλλα καὶ ὑποστύφων οἶνος τόνον ἐντίθησι τοῖς σώμασι καὶ κρατεῖν ἀναγκάζει τὰ σιτία· χρηστὸν δὲ πάλιν καὶ χρῶσθαι διὰ σχινίνου, ἢ οἰνανθίνου προσλαμβάνοντας ἀψίνθιον ἢ ἀλόην ἢ κηκῖδα ἢ οἰνάνθην:

## Πρὸς τοὺς καιομένους τὸν στόμαχον καὶ διψῶντας δίχα πυρετοῦ καὶ σὺν πυρετῷ

κεφαλ. Δ

ἡ δίψα γίνεται, ἢ ξηρότητος οὔσης ἢ θερμότητος πλεονεξία· ἴαμα δὲ τῆς μὲν ξηρότητος, ὕπνος· τῆς δὲ θερμότητος ἐγρήγορσις· τῶν δὲ μὴ οἴνου πλείονος πόσιν διψώντων ἢ διὰ τὴν τῶν ἐδησμένων θερμότητα· ὕδωρ ψυχρὸν ἴαμα δεῖ πινόμενον· τοὺς δὲ χρονίως καυσουμένους τὸν στόμαχον ὠφελεῖ ἅμα καὶ δίψαν παύει, γλυκυρρίζης χυλὸς πινόμενος καὶ αὐτὴ ἡ ῥίζα μεθ' ὕδατος· ἕλικος ἀμπέλου ἀπόβρεγμα· ἀνδράχνης χυλὸς καὶ αὐτὴ ἐσθιομένη· σέρεως χυλὸς καταρροφούμενος· πολυγόνου χυλὸς ὁμοίως· ἰδίᾳ δὲ τῶν ἐξ ἀσθενείας ἀναλαμβανομένων δίψαν παύει ὑγρὰ χλωρὰ ἐσθιόμενα· σύμφυτον πετραῖον διαμασώμενον· καταπλασσόμενα δὲ ὠφελεῖ στόμαχον ἐκκαιόμενον, πολύγονον, σέρις, σόγχος, σέλινον κηπαῖον· ἕλικες ἀμπέλου, ἀνδράχνη, ἕκαστον μετ' ἀλφίτου ἢ ἄρτου· τοὺς δὲ ὑπὸ ἐπιφάνειαν καυσουμένους ὠφελεῖ κολοκύνθης ξυσμάτων χυλὸς μετὰ ῥοδίνου· ἢ ὄμφακος χυλὸς ὁμοίως· ἁρμοδιώτερον δὲ πέφυκε τὸ ἐν πυρετοῖς δίψος, ἐμβροχὴ τῆς κεφαλῆς διὰ ψυχροτάτου ἐλαίου ὀμφακίνου ἢ ῥοδίνου ἐξ ὑψηλοῦ καταχεομένου τοῦ βρέγματος δι' ἐρίου· ἄδιψον δὲ δεῖ καὶ ἐκκαιόμενον τὸν στόμαχον ὠφελεῖ, σικύου σπέρμα διαμασώμενον· καὶ λεπιζόμενον δὲ καὶ λεῖον σὺν ὕδατι πινόμενον σφόδρα ὠφελεῖ τοὺς ἐκκαιομένους τὸν στόμαχον· ὁμοίως δὲ ποιεῖ καὶ τὸ τῆς θριδακίνης σπέρμα· καὶ τὸ τῆς ἀνδράχνης σπέρμα διαμασώμενα καὶ πινόμενα καὶ τὰ προρρηθέντα ἐν τοῖς περὶ πυρετῶν. Ἄλλο ἄδιψον ~~[illegible]~~ πρὸς πλαδῶν στομάχου ἐφ' ὧν ὑγρὰ καὶ θερμὴ ἐστὶν ἡ διάθεσις· ῥόδων χλωρῶν ἐξωνυχισμένων Ζ. ς. γλυ-

γλυκυρίζης νάρδου ἀνὰ Ζ΄ Π΄ οἴνῳ γλυκεῖ ἀναλάμβανε καὶ ποίει
καταπότια· καὶ δίδου ὑπὸ τὴν γλῶτταν κατέχειν ἐρεβίνθου μέγεθος·
ἐμφύεται δὲ τοῦτο καὶ ταῦτα· ἄλλο ἄδιψον καλόν· σικύου ἡμέρου
σπέρματος λελεπισμένου Ζ΄ Η΄ τραγακάνθης Ζ΄ Π΄ κόψας, σήσας αὐτοῦ
καὶ λεάνας τὸ σπέρμα ἐπίβαλε αὐτοῖς ὠῶν ὠμῶν προσφάτων
τὰ λευκά· καὶ συλλεάνας, ἀνάπλαττε καταπότια καὶ ξήραινε
ἐν σκιᾷ· καὶ δίδου α΄ ὑπὸ τὴν γλῶτταν κατέχειν καὶ τὸ κατὰ
βραχὺ διαλυόμενον καταπινέτω. Ἄλλο· σικύου σπέρματος ἀνδρά-
χνης χλωρᾶς, τραγακάνθ. ἀνὰ Ζ΄ Δ΄ γλυκυρίζης Ζ΄ Β΄ ἀναλάμ-
βανε χυλῷ ἀνδράχνης καὶ ποίει καταπότια κυαμιαῖα καὶ τὰ ἑξῆς
διδοὺς α΄ κατέχειν ὑπὸ τὴν γλῶτταν· καταρροφείτωσαν δὲ καὶ
μήλων κυδωνίων ἀπόβρεγμα ἢ ἀπίων ἢ ὀμφακίου χυλὸν
σὺν ὕδατι. Ἄλλο ἄδιψον· ἀνδράχνης σπέρματος, [illegible] σπέρ-
ματος ἀνὰ, τὰς ῥίζας τούτου· γλυκυρίζης χυλ. τραγακάνθ. ἴσα
ἀναλαμβάνων ὕδατι πλάσσε κυάμου μέγεθος· ἀνὰ δραχμι-
αῖα, καὶ τὰ ἑξῆς.

## Περὶ λυγμοῦ. Γαληνοῦ. κεφάλ. ε΄.

Τὸ τοῦ λυγμοῦ σύμπτωμα ἐπιγίνεται τῷ στομάχῳ διὰ πλήρωσιν ἢ κένω-
σιν ἢ ψύξιν· ἐνίοτε δὲ διὰ δῆξιν χυμῶν δριμέων τε καὶ φαρμακωδῶν τοῖς
προπιοῦσιν· οὓς ἐὰν ἐμέσωσιν, αὐτίκα παύονται· πολλοὶ καὶ τὸ διὰ τριῶν πι-
πέρεων φάρμακον πίνοντες ἢ αὐτὸ τὸ πέπερι, ἐὰν ἀθρόως ἐπιπίωσιν οἶνον
πάντες λύζουσι· καὶ τροφῆς δὲ διαφθαρείσης εἰς δακνώδη ποιότητα λύζου-
σιν ἔνιοι· καὶ ῥιγώσαντες δὲ τὸ σῶμα τῆς κοιλίας ἔνιοι λύζουσι· καὶ μάλιστα ἐπὶ τοῖς
παισί· συμβαίνει λύζειν συνεχῶς ἐπὶ τῇ τοῦ στομάχου ψύξει καὶ ἐπὶ τῇ τῆς τροφῆς διαφθο-
ρᾷ· γίνεται δὲ λυγμὸς καὶ ἐν πυρετοῖς καὶ μάλιστα φλεγμαινόντων στομάχου ἢ ἐγκεφ.
πολλάκις χρῶ· ψύξεως μὲν οὖν προηγησαμένης τοῦ λυγμοῦ, ἐπιτίθει τῷ στομάχῳ ἐν
ἐρίῳ ἔλαιον ἐν ᾧ ἥψηται πήγανον, κύμινον καὶ ἀψίνθιον· δίδου δὲ καὶ [illegible]
γάνου μετ' οἴνου· ἢ σμύρναν [illegible] ἐν μελικράτῳ· ἢ κύμινον χῖον ἢ καλαμίνθην
[illegible] ἴδια ἐκάστου καὶ σμυρ.
ἢ ἄσαρον· ἢ γλήχωνα ἢ δίκταμνον· ἢ νάρδον κελτικήν·
καλὸν καὶ τὸ σκιλλητικὸν ὄξος καταρροφούμενον· τὸ δὲ καστόριον καὶ τοῖς διὰ ψύξιν
λύζουσι τελείως δίδου· καὶ τοῖς διὰ πλῆθος χυμῶν ἐπιπολάζουσι δι' ὀξυκράτου
[illegible] καὶ ἔξωθεν δὲ τῷ στομάχῳ ἐπιτιθέμενον ἐπ' ἀμφοτέρων τούτων ὠφελεῖ ἅμα σι-
κυωνίῳ ἢ παλαιῷ ἐλαίῳ. ὅταν δὲ ὑπὸ πληρώσεως λυγμὸς γένηται, ἐπιτρέπειν
δεῖ ἢ ἐπιπλεῖστον αὐτοὺς συνιστάσθαι, βιαίως δεῖ ταῖς κενώσεσι· ἔμετος μὲν οὖν
τούτοις ἴαμα καὶ τῶν ἄκρων διάδεσις· καὶ κατοχὴ τοῦ πνεύματος καὶ ἀναφώνη-
σις ἐμμελὴς μετὰ πλείονος κραυγῆς καὶ μακρὸς καὶ σύντονος περίπατος καὶ αἰωρήσεις
καὶ ἐπὶ [illegible]

Πτέρνισσ[illegible]

ιε

κ(αὶ) ὅτι μᾶλλον ἐπιτάσεις ~~[illegible]~~ συχναί τε κ(αὶ) πλεῖον ὁ φλεγμὸς τῷ λε-
σπασθῆ κ(αὶ) τοῦ στομάχου κ(αὶ) τοῖς μετὰ φρένα καλουμέναις κ(αὶ) σπασμοὺς [illegible] ἁρμο-
διώτεροι τοῖς [illegible]· τοῖς δ' ἐπὶ κενώσει λυγμοῖς ἐναντία τῶν σπασμοῖς. ἰᾶται δὲ τού-
τους τροφῆς ἐπιδόσει [illegible] κ(αὶ) ἀναπληρώσει τῶν λειπόντων. λυγμὸς ἐπὶ καθό-
λου τροφῆς ἐπιδόσει γινόμενος οὐ μετὰ πολὺ τὸν θάνατον σημαίνει. [illegible] δὲ χρὴ τού-
ρους ἢ συγκοπτικοῖς ἢ τετανοῖς γινόμενος οὐ μετὰ [illegible]· ἢ ὕδωρ μετὰ ψυχρῶν μετρίως [illegible]
τους κ(αὶ) συνεχῶς μὴ [illegible] ἢ ὕδωρ [illegible] ἐπὶ τῶν κεκραιπαληκότων, τὰ γενναῖα τῶν βοηθη-
μάτων [illegible] χρή. τῶν δὲ διὰ δῆξιν λυζόντων, πρῶτον μὲν ἐμέτου ἀντέχειν [illegible]
[illegible]· ἔστι γὰρ δὲ καὶ τὴν τῆς αἰσθήσεως νάρκωσιν κ(αὶ) τὴν ἀλλοίωσιν τῶν δακρυόντων καὶ
[illegible]· ναρκοῦται μὲν οὖν ἡ αἴσθησις διὰ τῶν ψυχρῶν. ἀλλοιοῦται δὲ ἡ δῆξις διὰ τῶν
διαφόρησιν· ναρκοῦται μὲν οὖν ἡ αἴσθησις διὰ τῶν ξηραινόντων· τοιαύτης δὲ μικτῆς δυνά-
μεως ἀμβλυνόντων· διαφορεῖται δὲ τὸ ποριστὸν διὰ τῶν ξηραινόντων· τοιαύτης δὲ μικτῆς δυνά-
μεως ἐστὶ τὸ ὑποκείμενον φάρμακον, κ(αὶ) τὰ τούτῳ παραπλήσια. ἔχει δὲ οὕτως. ἀλλ' ἐπι-
μελῶς [illegible] κ(αὶ) [illegible] λυγμούς, κ(αὶ) τὰς ἐκλύσεις τοῦ στο-
μάχου [illegible]· κόστου, ναρδοστάχυος, σχοίνου ἄνθους, κρόκου, ῥόδων χλωρῶν, μαστίχης, ἀνὰ 𐅻 δ.
ἀλόης ἀνὰ 𐅻 β. ὀπίου 𐅻 α. ἀναλάμβανε ψυλλίου [illegible] κ(αὶ) ἀνάπλασσε
τροχίσκους κ(αὶ) δίδου [illegible]· ἔσω δὲ [illegible] ὡς ἀπὸ δὲ
[illegible] ὅτις ἀνα[illegible] μετὰ βραχὺ πρὸς τὰς τοῦ στομάχου ἀνατροπάς.
[illegible] ἀμβλύνει δὲ τὰς δήξεις κ(αὶ) [illegible] τὸν διὰ ταύτας γινόμενον λυγμὸν [illegible] χολῆς πινόμενον
χύου [illegible] σπέρμα λελειοτριμμένον [illegible] πινόμενον· [illegible] σπέρμα ὁμοίως. ἀνδράχνης χυλὸς πινό-
μενος κ(αὶ) αὐτὴ ἐσθιομένη. μάλιστα ἀφέψημα πινόμενον· [illegible] δὲ μάλιστα ποιεῖ τὸ κάλα-
[illegible] πινόμενον.

## Περὶ βουλίμου· Ἀρχιγένους. κεφ. ϛ

Ὁ βούλιμος διὰ κατάψυξιν τοῦ στομάχου γίνεται κ(αὶ) ἔνδειαν κ(αὶ) ἀτονίαν τῆς δυνάμεως ὑπὸ τῆς
ἐξαίφνης ψύξεως ὡς [illegible] τὴν ἀρχὴν λαμβάνον· μεθερμηνεύεται δὲ ὁ βούλιμος μέγας λι-
μὸς διὰ τὸ [illegible] μέγεθος [illegible]· [illegible] μὴ παραμένοντα μέχρι
[illegible] ἀφνίδιον λειποθυμοῦσι μετὰ [illegible] ψύξεως τῶν ἄκρων κ(αὶ) τῆς [illegible]
εως. καὶ [illegible] ἐν τόποις [illegible] ἢ ἐν βαλανείῳ [illegible] ἐν ἀκαρεῖ
[illegible] βοηθείας. μάλιστα δὲ ὁδοιπορίαι μακραί. κ(αὶ)
[illegible] θαρσεῖ μὴ [illegible] βοηθείας. τοὺς μὲν οὖν ἐν ὁδοιπορίαις ἢ ἄλλως πως
ἔτι μᾶλλον [illegible] ὀσφραινομένους [illegible] ἢ ὄξει
βουλιμιῶντας κ(αὶ) ἀνθρώπους [illegible] ἢ μήλοις [illegible] ἄλλων καρπῶν τοῖς [illegible]
ἢ τῆς [illegible] ἐπιρραίνοντας ὄξος ἢ μήλοις [illegible] κ(αὶ) ὕειον κρέας ὀπτὸν ἢ
[illegible] κ(αὶ) ἄρτος πρόσφατος ἀποσφαινόμενος κ(αὶ) [illegible] κ(αὶ) [illegible]
[illegible] κ(αὶ) [illegible] ὅλως [illegible] κ(αὶ) μάλιστα ὀσμὴν [illegible] κ(αὶ) [illegible]
[illegible]· τοὺς γὰρ ὡς τὸ πολὺ ἀνακτῶνται οἱ πλεῖστοι. τὰ δὲ ἀκρ[illegible] διαφορα-
[illegible]· [illegible] ὕδατι [illegible] ἀκράτου [illegible] κ(αὶ) [illegible]
[illegible] κ(αὶ) τὰ ὦτα κ(αὶ) τὰς τρίχας τίλλοντας. ἀνα-
κ(αὶ) διεγείρειν αὐτοὺς [illegible] σιαγόνας [illegible]
κλιθέντι δὲ ἀπὸ τῆς ἐκλύσεως, ἄρτον ἐξ οἴνου κεκραμένου προσοιστέον ἢ ἄλλο τι
τῶν τὴν δύναμιν ἀθρόως ἀναλαβεῖν δυναμένων οἷον ὠὰ ῥοφητά. ἀλικα μετ' οἴνου.
[illegible] δὲ καταπίνειν μὴ δυναμένων δὲ
[illegible] ἐπὶ βοήθεια τροφῆς [illegible]· μὴ δυναμένων δὲ
λαβεῖν. ἐνδεῖναι χρὴ τοῦ στόματος τὴν τροφὴν μετὰ βίας κ(αὶ) ἀναγκάζειν καταπίνειν [illegible]
μακρὰν κ(αὶ) τοῦ λιμοῦ κ(αὶ) τῆς λειποθυμίας [illegible] κ(αὶ) διεγείροντας [illegible] κ(αὶ) πῦρ δὲ
λιϛ. ν. ἀνακαίειν [illegible] περὶ τὴν κλίνην αὐτοῦ στρεφομένην· ὅπως [illegible] ἀπέχεται
αὐτοῦ ἡ [illegible]· κ(αὶ) ἀνατρίβειν ἐλαίῳ [illegible] πύρεθρον κ(αὶ) καστόριον κ(αὶ) [illegible]

ἀνὰ

ἤ

καὶ ἐρίοις, ἐνθέλειν ἢ ἀράχνια ἐπιτιθέναι· καὶ σχορόδα δὲ [illegible] ἐσθίειν καὶ χυλὸν σιλφίου,
ἐν οἴνῳ καὶ πόσις δὲ ὁμοίως καὶ πήγανον ἐν οἰνομέλιτι καὶ οἰνοποσία ἡ διὰ τοῦ ἀκράτου, ἄριστόν
ἐστιν αὐτοῖς βοήθημα. γίνεται δὲ καὶ ἐν τοῖς πυρετοῖς· ἐν τίσι μὲν τὸ πάθος ἐν ἀκμῇ τοῦ παροξυσμοῦ
ἀκμῆς· ἐν μὲν οὖν τῷ τῆς ἀνέσεως τοῦ παροξυσμοῦ καιρὸν ἐπιπέσῃ τὸ σύμπτωμα, ἢ ἐν τῇ
ἀκμῇ τοῦ παροξυσμοῦ, τὰ σιτία αὐτοῖς προσφέρεσθαι ἀσφαλές. ἐὰν δὲ ἐν ἀρχῇ τῆς ἐπισημασίας
ἢ ἐν ἀκμῇ ἐπιφανῇ, διὰ τῶν προρρηθέντων ὀσφραντῶν πειρατέον πρότερον αὐτοὺς ἀνακαλεῖ-
σθαι· μάλιστα δὲ διὰ τῶν στυπτικῶν· οἷον ἀλφίτων δεδευμένων ὕδατι ἢ ὀξυκράτῳ ἢ ἄρ-
τῳ [illegible] ἀντιτιθέναι· καὶ ψηλαφίαι τῶν ἄκρων χρώμενοι· χρὴ [illegible] τοῖς διαφοι-
νίκοις ἢ μήλων κυδωνίων ἢ ἀλφίτων ἐν οἴνῳ κεκραμένῳ [illegible]· καὶ ταῦτα ποιητέον
μέχρι τῆς ἀνέσεως· ἵν' εὐκαίρως τὴν τροφὴν προσαγάγωμεν. μενόντων δὲ αὐτῶν ἀπεψυγμένων,
Γρ. ὀξυβάφου ἀποτεθῆναι διὰ τὴν ἐπίδοσιν καὶ δοτέον ἀλφίτων ἀδρολόγων ὅσον κοτύλιον ἐν μελικράτῳ
[illegible] τὰ ἄλφιτα· καὶ ψωμὸν ἕνα ἢ καὶ δεύτερον οἴνῳ διάβροχον. [illegible] γὰρ καὶ ἀνα-
[illegible] ἀσφαλῶς. [illegible] εἰς τὸ τῆς ἀνέσεως καιρόν· ἐν ᾧ τὴν λοιπὴν σώματος θερα-
πείαν καὶ τὴν αὐτάρκη τροφὴν [illegible]· [illegible] δὲ ἐπὶ τῶν [illegible] τοῦτο,
καὶ τὰς μακρὰς ἀσιτίας καὶ τὰς [illegible]. [illegible] δὲ [illegible] θέρμην [illegible] ἢ
ὀλίγην τροφὴν [illegible]· οἱ γὰρ συνεχῶς βουλιμιῶντες [illegible], [illegible] βοηθοῦντες εἰς λειπο-
θυμίαν [illegible]:·

## Περὶ λειποθυμίας, Φιλουμένου· κεφάλ. ζ.

Ἡ ἐν πυρετοῖς καὶ χωρὶς πυρετοῦ συμβαίνουσα λειποθυμία διὰ πολλὰς αἰτί-
ας· οἷον διὰ πλείονα ἔκκρισιν αἱμάτων ἢ γαστρὸς ἢ συνεχεῖς ἐξαναστάσεις ἢ κίνησιν ἢ ὀδύνην
ἢ φόβον· βοηθεῖν ἐπὶ τὴν τῶν αἰτίων περιγραφήν· περὶ ὧν τὰ βοηθήματα ἐν τῷ περὶ πυρετῶν
λόγῳ προείρηται· [illegible] δὲ καθ' ὅλου διὰ [illegible] περὶ τούτων. καλύπτειν μὲν οὖν τὰς
λβ' [illegible] καὶ ἐνσείειν ταῖς ἀθρόαις [illegible], τὰ δὲ ἀναμνήματα [illegible].
συνεχεῖς [illegible] ἀλλὰ καὶ τῶν φόβων τὰς ποιητικὰς αἰτίας λύειν· εἴτε ἐκ τῶν ἔξωθεν γίνονται· εἴτε ὑπὸ τῶν ἐν τῷ
σώματι χυμῶν. σφίγγειν τὰ ἄκρα ἐν ταῖς τῶν λειποθυμιῶν ἐμβολαῖς· πολλὴ δὲ καὶ ψυχρὰ
[illegible] τοῖς [illegible] τοῦ στομάχου. [illegible] Γρ. [illegible]
[illegible] τὴν κεφαλὴν [illegible] χειρὸς [illegible] ποιητέον· ὀσφραντά τε προσ-
φέρειν καὶ ἀνοίγειν [illegible] τὸ στόμα καὶ δακτύλων ἢ πτερὸν καθιέναι καὶ τρίβειν σφοδρότερον
τήν τε ὄψιν καὶ τὸν στόμαχον· προκαταληφθέντων γὰρ ἀναλαμβάνονται μὴ εἰς πλείονα
τῆς λειποθυμίας [illegible]. ἀνακληθέντων αὐτῶν δίδου πίνειν τοῖς ἀπυρέτοις κυάθους [illegible]
ψυχροῦ ὕδατος. καταβραχὺ δὲ ἐκ [illegible] ἀπὸ [illegible] ἢ φοινίκων ἀπόβρεγμα ἢ
σταφίδων· ἢ κυδωνίων ἢ ῥόδων ἢ [illegible] ἢ [illegible] ὄμφακος χυλὸν μεθ' ὕδα-
τος ψυχροῦ. ἢ ἡδυόσμου [illegible] ῥοᾶς γλυκείας ἢ ὀξείας χυλοῦ [illegible]
ἢ ἄλφιτα μετὰ [illegible] χυλοῦ. καὶ ἔξωθεν δὲ [illegible] στομάχῳ, ἃ ἐπὶ τῶν καρδιακῶν καὶ
τῶν [illegible] προείρηται.

## Περὶ τῶν ἐν βαλανείῳ λειποθυμούντων. κεφάλ. η.

Γρ. μα[illegible] Τοὺς δὲ ἐν βαλανείῳ λειποθυμοῦντας· μόνον δὲ λειποθυμεῖν ἀρχομένους, [illegible] ἐμβι-
βάζειν [illegible] πολλῷ [illegible] τοὺς δὲ ἤδη λειποθυμήσαντας, ἐκκαλεῖν ταχέως καὶ τὸ
[illegible] καλύπτειν· τὸ δὲ πρόσωπον, [illegible] ψυχροῦ
[illegible] τὸ πρόσωπον καὶ τὸν στόμαχον καὶ τοὺς πόδας
[illegible] ἢ δακτύλων ἀναγκαστέον [illegible] τὸν
[illegible] δὲ τὸ σῶμα [illegible] ὕδωρ χλιαρόν· εἰ γὰρ καὶ μηδὲν ἄνεμε-
αἴτιον τῆς λειποθυμίας χυμὸν [illegible]· λυτικὸν δὲ λειποθυμίας [illegible] διανοί-
[illegible] ὁ στόμαχος [illegible]· ἀνυστικὸν δὲ καὶ τὸ [illegible] ἀκουστικὸς
Γρ. ἀνοιχτικόν [illegible] τὸ σῶμα [illegible] τινι [illegible]· τοὺς δὲ [illegible] καὶ ῥαπιστέον καὶ ἐκτίλλειον
[illegible] καὶ τὰ λεγόμενα [illegible]· τοὺς δὲ [illegible] καὶ [illegible] ἐκτιλτέον
τὰς [illegible] ἐμβοήσαι· [illegible] δὲ ἑνὸς μὲν ὠφελεῖ· πολλῶν δὲ καὶ τὸ αὐτὸ βλάπτει·
τὰς μέντοι

τας μέντοι μετὰ σφοδρὰν λειποθυμίαν ἢ εἰς θερμὸν ἢ εἰς ψυχρὸν καθόδους, ὡς αἴτιας θανάτου φασὶ· ἢ καὶ [illegible] σώματος καὶ διαφορουμένου τοῦ θερμοῦ [illegible] ἢ [illegible] διὰ τῆς [illegible] ἀποσβέννυται··

Περὶ ἀτονίας στομάχου καὶ ὑπτιασμοῦ καὶ ἀνατροπῆς· Γαληνοῦ·

κεφάλαιον θ

Ὁ καλούμενος ὑπτιασμὸς τοῦ στομάχου, γίνεται μὲν καὶ κατὰ δυσκρασίαν τὴν ἐναντίαν ἀνορεξίας [illegible]· γίνεται δὲ καὶ δι' ὑγρότητα πολλήν· [illegible] τῆς [illegible]. διαβρεχόμενος γὰρ ὁ στόμαχος ἰσχυρᾶς ὑγρότητι διαψυχεῖ, καλεῖται μὴ δυνάμενος περιστέλλεσθαι τοῖς σιτίοις ὁμοίως τῇ [illegible] κύστει τῆς γαστρός· καὶ διὰ τοῦτο περὶ αὐτὸν ἐμπολάζουσιν οἱ χυμοί· οὓς ἀποῤῥίψαι ἡ γαστὴρ ὁρμῶσα, τὸ τῆς ναυτίας ἰδ[ίως] σύμπτωμα καὶ πρὶν προσφέρεσθαι τὴν τροφήν· ἀτονίας ἐσχάτης οὔσης [illegible]. [illegible] δέ ἐστιν ἡ διάθεσις [illegible] τῶν περὶ τὸν στόμαχον [illegible] [illegible] τὴν ὑγρότητα δυναμένων· [illegible]. δεῖται δὲ φαρμάκων ξηραινόντων [illegible] ἐξεταζομένης τῆς ὑγρότητος, ἢ καὶ [illegible] κεκλασμένον σῶμα. [illegible] φαρμάκων λεπτυντικῶν τε καὶ οἷον εἰ [illegible] γλισχρᾶς οὔσης, [illegible] τῆς ὑγρότητος [illegible] ὁποῖόν ἐστιν ὄξος τε καὶ ὀξύμελι· μήτε δὲ τοιαύτης οὔσης τῆς ὑγρότητος [illegible] θεραπεύειν ἐστίν· ἱκανὰ διὰ βάθους τοῦ σώματος ἐξεταζομένης, ἱκανὰ μόνα τὰ στύφοντα θεραπεύειν ἐστίν· [illegible] τὴν διάθεσιν εὐθὺς πρὸς τὸν δὲ γνώρισμα τοῦ ψυχροτέραν ἢ [illegible] θερμοτέραν τὴν διάθεσιν [illegible] τῆς ὑγρᾶς φαντασίας τοῦ κάμνοντος αἰσθητόν, τὸ ἄδιψον ἢ διψῶδες, τοὺς μὲν οὖν [illegible] μετὰ [illegible] ὑγρότητι γινομένους ὑπτιασμούς, ἢ πικρὰ θεραπεύει [illegible] [illegible] τῶν στομάχου γινομένων [illegible] κακοχυμίαν ἐκκαθαίρουσα· τῶν δὲ δι' ἀτονίαν τοῦ στομάχου γινομένων [illegible] ἀνατροπῶν καὶ ναυτιῶν, ἴασίς ἐστιν ἡ τῆς δυσκρασίας ἐπανόρθωσις [illegible] [illegible] ἐνίων ὑγρότητος· θερμῆς μὲν οὔσης τῆς διαθέσεως, τὰ ἐπὶ τῶν [illegible] τὸν στόμαχον προγεγραμμένα [illegible] καταπλάσματα· καὶ μάλιστα τὸ [illegible] ῥόδα καὶ νάρδος [illegible] καὶ γλυκύρριζαν· ἐπὶ δὲ τῶν ψυχροτέρων καὶ ὑγροτέρων [illegible] ῥόδα καὶ [illegible]. Ἀσκληπιάδου πρὸς τὰς τοῦ στομάχου ἀνατροπάς· ῥόας [illegible] ἁρμόδια·· ὀξείας τῶν πυρήνων χυλοῦ ξε. γ. ἡδυόσμου χυλοῦ ξε. α. μελικράτου κοτύλην ξε. α. [illegible] εἰς ἄγγος κεραμεοῦν· ἕψε κινῶν συνεχῶς καὶ ὅλον σύστρεψον, ἄρας [illegible] καὶ δίδου πρὸ τροφῆς μετὰ α ἢ β. Ἄλλο· ὀμφάκια σταφυλῆς ξηράνας κόψας σήθε, [illegible] καὶ δίδου κοχλιάρ. α. μετὰ ὕδατος ψυχροῦ κυάθων β. Ἄλλο [illegible] [illegible] θερμοτέρων, ποιοῦ ὡς καὶ τὸ πρὸ αὐτοῦ. Ῥόας ὡριμους ε ἢ ϛ ὅλας συνθλάσας σὺν τοῖς σιτίοις, ἕψε ἐπιχέας ὕδατος ὀμβρίου ξε. γ. [illegible] ὕδωρ [illegible] ἐκθλίψας καὶ [illegible], ἕψε [illegible] τὸ ὑγρὸν καθ' ἑαυτὸ μέχρι μελιτώδους συστάσεως καὶ δίδου κοχλιάρ. α ἢ β ἀπυρέτοις μετ' οἴνου, πυρέσσουσι δὲ μετὰ ὕδατος. Ἄλλο [illegible] ῥόας ὀξείας καὶ γλυκείας χυλοῦ ἴσα μίξας [illegible] ἡδυόσμου ξηροῦ λεοτάτου [illegible] καὶ [illegible] κυάθων α. [illegible] β. Ποιεῖ καὶ τὸ [illegible] [illegible] μετὰ ὕδατος. καὶ τὸ τῆς ἀνδράχνης ὁμοίως· [illegible] πρὸς τὰς [illegible] ἀνατροπὰς τοῦ στομάχου καὶ τῶν [illegible] [illegible] ἐκτέθειται μὲν οὖν πολὺ ἐν τῷ περὶ ναυτίας κεφαλαίῳ· [illegible] καὶ τοῖς καταπλάσμασι καὶ ἐπιθέμασι τοῖς [illegible] μένοις μετὰ τὸ περὶ ναυτίας κεφάλαιον··

ΠΕΡΙ ΝΑΥΤΙΑΣ καὶ τῆς περὶ ἐνοχλούσης τῷ στομάχῳ κακοχυμίας

ΓΑΛΗΝΟΥ. Κεφάλαιον

Αἱ ναυτίαι γίνονται διὰ χυμὸν μοχθηρὸν ἢ θερμὸν ἢ ψυχρὸν περιεχόμενον ἐν τῇ γαστρί· ἢ ἐν τῇ κοιλότητι αὐτῆς [illegible] ἢ [illegible] ἰχῶδες καὶ δυσαθροίστως τοῖς χιτῶσιν αὐτῆς· ἢ ὀρρῶδες [illegible] καὶ φαρμακῶδες [illegible] ἐν αὐτοῖς [illegible] τῆς γαστρὸς ἀναπίνεται ὥσπερ ἐν σπογγιᾷ ὕδωρ· τοὺς τοιούτους δὲ χυμοὺς

κακοχυμία

γρ. ὀξείας

Ἐνίοτε μὲν ἡ γαστὴρ δύσκρατος γενομένη κατὰ θερμότητα ἢ ψυχρότητα ἢ ὑγρότητα·
ἔστι δ' ὅτε δὲ ἑτέρων μορίων προπασχόντων εἰς αὐτὴν συρρεῖ τὰ περιττώματα· οἷον,
ἥπατος ἢ σπληνὸς ἢ κεφαλῆς ἢ ὅλου τοῦ σώματος. τῶν μὲν οὖν ἄλλων μορίων προπασχόν-
των, περὶ ὧν ἑκάστου τὰ ἴδια συμπτώματα εἰρήσεται· καὶ αὐτὸς ὁ κάμνων ἀναφέρει,
τῆς βλάβης τοῦ προπάσχοντος μορίου· ἢ γὰρ θερμασία αἰσθητὴ [illegible] αὐτῷ κατὰ τὸ ὑποχόνδριον με-
ρος γίνεται ἢ ψύξεως ἢ βάρους ἢ καὶ τῇ ἀφῇ τῇ ἡμετέρᾳ σκληρὸν ὑποπίπτει. εἰ δὲ τὸ
σῶμα μοχθηρῶν πεπλήρωται χυμῶν, διαγινώσκεται μὲν ἐν ταῖς ἐκκρίσεσι καὶ ἐκ τῶν
ἐπιγινομένων περὶ τὸ δέρμα ἐξανθημάτων· ἤδη δὲ καὶ ἐκ τῶν οὔρων. εἰ δὲ μηδὲν
τούτων πέπονθε, δῆλον ὅτι ἡ γαστὴρ αὐτὴ καθ' αὑτὴν νοσεῖ. εἰ μὲν οὖν κνισοῦται τὰ σιτία
κατὰ τὴν γαστέρα μηδενὸς τοιούτου ἐδηδεσμένου [illegible] τὴν αἰτίαν λογιζόμεθα [illegible]
οἷον ἰχθύων ἢ [illegible] ἤ τινος ἑτέρου τοιούτου· ἀναγκαῖον δεῖ λογίσασθαι τὴν ἐργα-
ζομένην αἰτίαν ἐν τῇ γαστρὶ εἶναι θερμήν. εἰ δὲ ὀξύνεται τὰ σιτία μηδενὸς το-
ιούτου ἐδηδεσμένου ψυχρὰν τὴν αἰτίαν λογιζόμεθα εἶναι ἢ μελαγχολικὸν χυ-
μὸν τῇ γαστρὶ ἐνοχλεῖν. ἔστι δὲ ὅτι σαφὴς ἡ διάγνωσις [illegible] καὶ ἐπισήμη τῆς ἐκ
τῆς πείρας, ἐπὶ τοῖς ψυχροῖς φαρμάκοις ἢ πόμασι καὶ ἐδέσμασιν εὐθὺς ὁρῶν
ὠφελούμενον τὸν ἄνθρωπον εἰ θερμὴ εἴη ἡ διάθεσις. εἰ δὲ ψυχρὰ τοὐναντίον
ἐπὶ μὲν θερμοῖς ἐδέσμασι καὶ φαρμάκοις ὠφελούμενον, ἐπὶ δὲ τοῖς ψυχροῖς βλα-
πτόμενον. ἀλλὰ καὶ τῇ θερμῇ διαθέσει δίψα παρέπεται. ἄδιψοι δέ εἰσιν ὡς
ἐπίπαν οἱ ψυχρὰν ἔχοντες δυσκρασίαν· εἰ μὴ ἁλυκὸν εἴη τὸ φλέγμα· καὶ ἐμέ-
τοις δὲ ἀκριβέστερον διαγινώσκεται τὰ τοιαῦτα. εἰ γὰρ δύσκρατος κατά τι γέγονεν ἡ
γαστήρ, τὰ ληφθέντα σιτία πρὸς τὴν τῆς δυσκρασίας φύσιν μεταβάλλει· ὥστε φαί-
νεσθαι χωρὶς ἐπιπλοκῆς τινὸς χυμοῦ τὰ ἐμούμενα σιτία μεταβαλόντα εἰς ἢ
τὸ κνισῶδες ἢ ὀξῶδες δεδεγμένα. εἰ δὲ χυμός τις εἴη μοχθηρὸς ἐμπλέων
τοῖς χιτῶσι τῆς γαστρὸς καὶ φθείρων τὴν τροφὴν αὐτίκα τὰ σιτία φαίνεται δεδεγμένα
σαφῶς τοῦ τοιούτου χυμοῦ· καὶ πρὸς τὴν ἐκείνου φύσιν τὴν ἀλλοίωσιν δεδεγμένα.
ἀλλὰ ταῦτα μὲν ὅταν ἐμπλέῃ τοῖς χιτῶσι τῆς γαστρός, ὁ λυπῶν χυμὸς γίνεται.
ἐμπεπλασμένου δὲ αὐτοῦ ἢ ἀναπεπομένου, ὡς εἴρηται, τοῖς χιτῶσι τῆς γαστρός
εἰ μὲν θερμὸς εἴη, διψώδεις γίνονται καὶ ἀνόρεκτοι σιτίων. εἰ δὲ ψυχρὸς
εἴη, ὀρεκτικοὶ σιτίων καὶ ἄδιψοι εἰσί. ναυτίαι δὲ ἀμφοτέροις παρακολου-
θοῦσι καὶ κενεμεσίαι μόνον [illegible] καὶ μηδένα χυμὸν κενοῦσθαι. προσέχη-
ται δὲ ὅτι εἰ μὲν λεπτοὶ εἶεν οἱ χυμοὶ καὶ [illegible] οὓς ἰχῶρας
ὀνομάζομεν διὰ βάθους τῶν σωμάτων τῆς γαστρὸς [illegible] καὶ ἀναπί-
νονται ὥσπερ ὕδωρ ἐν σπόγγῳ. εἰ δὲ γλίσχροι περὶ τὴν ἐπιφάνειαν τῆς γαστρὸς
ἔσωθεν ἰξωδῶς περιπλάττονται. οἱ μὲν οὖν ἰχωροειδεῖς ὡς λεπτομερεῖς ὄντες
οὐ μόνον πρὸ τῶν σιτίων ἀλλὰ καὶ μετὰ τὰ σιτία τοὺς ἐμέτους ἀποτελοῦν-
ται ὡς ἀεὶ κινούμενοι. οἱ δὲ περιπεπλασμένοι τῇ ἐπιφανείᾳ τῆς γα-
στρός, μᾶλλον πρὸ τῶν σιτίων ταῖς κενεμεσίαις ἐργάζονται. ἐπεὶ [illegible]
τοίνυν [illegible], εἴτε τῆς γαστρὸς μόνης ἐστὶ τὸ πάθος ἤ τινος ἑτέρου μορίου, καὶ
τὸ πάθος ὁποῖόν ἐστι· πότερον ἢ ψυχρὸν ἢ ξηρὸν ἢ ὑγρόν. καὶ εἰ μὲν ἐξ ἄλλου τινὸς μορίου ἢ
τοῦ παντὸς σώματος οἱ χυμοὶ εἰς τὴν γαστέρα ὑπορρέουσι, τὸ προπεπονθὸς τὴν ἐπιμέλειαν
[illegible] προσάξομεν μετὰ δὲ τῆς γαστρὸς αὐτῆς ἐπιμελούμεθα· ὅθεν τὸ προπεπονθὸς μόριον ἰώμενος
[illegible] εἰς τὴν γαστέρα [illegible]· αὐτῆς δὲ τῆς γαστρὸς μόνης πεπονθυίας τὴν
ἐν αὐτῇ διάθεσιν διαγνόντες ἰᾶσθαι. τὴν μὲν οὖν θερμὴν δυσκρασίαν ἀεὶ ψυχροῖς [illegible]
[illegible] μορίων [illegible]· τὴν δὲ ψυχρὰν θερμαίνοντες [illegible] ἐμέτων ἢ διὰ τῆς κάτω κοιλίας τὴν δὲ

οὕτω δὲ καὶ τὴν μετὰ ὑγρᾶς ξηραντέον· τὴν δὲ ξηρὰν ὑγραντέον· τοὺς δὲ ἐμπλαττομένους ἐν τῷ
κοίλῳ τοῦ ἥπατος χυμούς, κενωτέον ἢ δι' ἐμέτων ἢ διὰ τῆς κάτω κοιλίας· τὴν δὲ ἐν τοῖς κυρτοῖς
αὐτοῦ προσπλαττομένην ἢ [illegible] κακοχυμίαν, διὰ τῶν ῥυπτόντων καὶ τεμνόντων καὶ
μετρίως καθαιρόντων ἰατέον· αἱ μὲν ἐπὶ χυμοῖς δυσκρασίαι, τῶν κενούντων αὐτοὺς δέον-
ται φαρμάκων καὶ χρῄζουσι [illegible] ἐν ταῖς [illegible] ἀναστομώσεσιν [illegible]· οἱ δὲ
ἄνευ χυμῶν κατὰ δυσκρασίαν μόνην [illegible] καὶ μάλιστα θερμὴν ἢ ξηρὰν ἐνοχλούμενοι,
εἰς [illegible] μαρασμὸν [illegible] ἀφικνοῦνται καθαιρόμενοι· κἂν ἀσθενέστερον ᾖ
τὸ διδόμενον φάρμακον ὁποῖόν ἐστι τὸ διὰ τῆς ἀλόης πικρόν· ὅπως μὲν οὖν χρὴ ἑκάστην δυσκρασίαν
ἁπλῆν ἢ σύνθετον ἰᾶσθαι, ἤδη προείρηται ἐν τῷ τετάρτῳ [illegible] λόγῳ τῆς πραγματείας· εἰ-
ρήσεται δὲ ἐν κεφαλαίῳ κἀνταῦθα διὰ βραχέων. Τοῖς μὲν οὖν ἐπὶ ψύξει κακουμέ-
νοις ὠφέλιμόν ἐστι τὸ διὰ τριῶν πεπέρεων φάρμακον· ἢ τὸ διὰ καλαμίνθης ἢ τὸ δια-
[illegible] μετ' οἴνου λεπτοῦ ἢ ὑδαρέος πινόμενον· ἔξωθεν δὲ τῷ στομάχῳ μαστίχην καὶ νάρ-
δινον μύρῳ λεάνας καὶ ἀναλαβὼν πορφύρᾳ [illegible], ἐπιτιθέναι· οἶνον δὲ διδόναι καὶ [illegible]
ὑποστύφοντα [illegible] καὶ τροφὰς [illegible]. Τοὺς δὲ ἐπὶ θερμῇ δυσκρασίᾳ
κάμνοντας ἰᾶσθαι ἔξωθεν μὲν τῷ στομάχῳ καὶ τῷ ἥπατι τὰ στύφοντα μετρίως καὶ ψύχοντα ἐπι-
τιθέντας· καὶ ὅσῳπερ ἂν ἡ θερμότης ἐπικρατῇ, ἐπὶ τοσοῦτον ἐπιτείνειν τὰ ψύχον-
τα· τροφὴν δὲ διδόναι χονδρὸν ἄλικα μετ' οἴνου λεπτοῦ καὶ λευκοῦ καὶ ὑποστύφοντος· καὶ τῶν
πτηνῶν τὰ ἄβρωμα καὶ ἀπίμελα καὶ τὰ παραπλήσια· εἰ δὲ χυμὸς λεπτὸς χολώδης ἢ ὀρ-
ρώδης ἐν τῷ κοίλῳ τοῦ ἥπατος περιέχοιτο, διδόναι χυλὸν πτισάνης λεπτότατον
ἐμεῖν ἀναγκάζειν [illegible] δακτύλων ἢ πτερῶν· ἢ ἀλόης μόνης < α' λεοτριβ[illegible]
μεθ' ὕδατος ποτίζειν· τῶν γὰρ θερμῶν ἐν τῷ ἥπατι χυμῶν, ἄριστόν ἐστι φάρμακον ἡ ἀλόη·
καὶ ἐν ἡμέρᾳ μιᾷ πολλάκις τοὺς στομαχικοὺς ἐνοχλουμένους ὠφέλησεν· εἰ δὲ φλεγ-
ματώδεις ἢ γλίσχροι καὶ παχεῖς ἐν τῷ κοίλῳ τοῦ ἥπατος ἐμπλάττοιντο χυμοί· ὀξυμέλιτι χρηστέον
ἐν ᾧ ζέννυταί τινα τῶν τεμνόντων καὶ ῥυπτόντων καὶ μετρίως θερμαινόντων· ἐφ' ὧν
δὲ [illegible] χυμὸς ἐμπλάττεται, δυσαποκάθαρτος ἐνδέδεται τῆς ἐπιφανείας αὐτοῦ
τοῦ στόματος τοῦ ἥπατος, ἡ διὰ τῆς ἀλόης πικρὰ ἐπιτηδειοτάτη ῥύπτειν τὸ γλίσχρον τοῦ
χυμοῦ [illegible] δυνάμει τῶν συμμιγνυμένων τῇ ἀλόῃ. εἰ
[illegible] καὶ [illegible] ὡς προείρηται, οὐ μόνον
δὲ ὀρρώδεις ὑγρότητας ἐν τοῖς κοίλοις τοῦ ἥπατος ἐνδέδεται, [illegible] τῶν ἀλλ[illegible] ὑπο-
[illegible]· ἀλλὰ καὶ [illegible] ἐμέτους [illegible], πρότερον [illegible]
[illegible] τῆς πικρᾶς [illegible] διδόναι· μετρίως γὰρ τοὺς ἐμέτους [illegible]
[illegible] τῆς διὰ ἀλόης πικρᾶς· ἔστι δὲ τῆς διὰ ἀλόης πικρᾶς [illegible]
[illegible] ἄσαρ. < γ'. κινναμώ-
μου [illegible]. ἀλόης < ρ'. ἐνίοτε < ρξ'. μαστίχ. κρό. ναρδοστάχ. [illegible]
[illegible] ἀνὰ < ς'. λεάνας ἀποτίθου ξηρόν· καὶ δίδου [illegible] δόσιν
[illegible] καὶ ξυλοβαλσάμου ἀνὰ < ς'. [illegible] ὁ δὲ Ἀνδρόμαχος προστίθησι τοῖς εἰρη-
μένοις [illegible] μεθ' ὕδατος ψυχροῦ ἢ θερμοῦ κυάθων ιβ'. [illegible]
[illegible] ἄνθος < ς'. καὶ τὴν ἀλόην [illegible] τὴν ἀπλύ-
[illegible] εἰς μὲν τὴν [illegible] τοῦ ἥπατος [illegible] τὴν ἀπλύ-
του ἀλόην· πλυθεῖσαν δὲ [illegible] τὸ φαρμακῶδες, [illegible] καὶ μᾶλλον αὐτῆς
[illegible] τόνον ἐντιθέναι τῷ ἥπατι
[illegible], τοῖς μὴ σφόδρα πυρέττουσι καὶ [illegible]
βουλόμεθα· εἰδέναι τοίνυν χρὴ [illegible] φαρμάκων· εἰς με-
γάλην καὶ τὸ στόμαχον ὠφελουμένους μὲν ὑπὸ τοῦ διὰ τῆς ἀλόης φαρμάκου [illegible] καὶ φαρ-
[illegible] δὲ βλάβην ἀφικνουμένας ὑπὸ τοῦ στύφοντος [illegible] ὡς [illegible]· [illegible] δὲ
μάκων. Ὁ δὲ Ἀσκληπιάδης [illegible] τὴν πικρὰν ὡς [illegible]. ἄσαρ. κινναμώμ. ἀνὰ [illegible] α'. καὶ [illegible]
[illegible]. ἀλόης < ρ'. μαστίχ. [illegible]. κρό. ναρδοστάχ. [illegible] κόψας σήσας λεπτότατα, κηρίνῳ φύλαττε
[illegible] α'. [illegible]
ξηρὸν [illegible] καὶ δίδου < α'. μόνην μετὰ ψυχροῦ ὕδατος· [illegible] δὲ [illegible]
βουλόμενοι, μετ' οἴνου [illegible] ἐμμήνια γυναιξί· [illegible] καὶ πρὸς

 

τὰς ἐν τῇ μήτρᾳ διαθέσεις. κυρίως δὲ ποιεῖ πρὸς ἀναστροφὰς στομάχου. ποιεῖ
ἐπὶ τῶν [illegible] καὶ καθόλου ἐστὶν ἡ δύναμις θαυμαστή· ἐπὶ δὲ τῶν καυσ-
ουμένων καὶ ἐφ' ὧν φλέγμα [illegible] καὶ [illegible] ἐν τῇ γαστρὶ περιέχεται χρήσιμον
ἐστι τὸ ὑποκείμενον φάρμακον· θερμαίνει γὰρ καὶ λεπτύνει καὶ τέμνει τὸ παχὺ καὶ ῥύπτει
τὴν σκληρότητα. ἔχει δὲ οὕτως· μαράθρου χλωροῦ ῥίζης τοῦ φλοιοῦ λι. ϛ. ὄξους ξε. α΄ ς''.
ἀλόης ℥ γ. ὁ φλοιὸς μὲν τῷ ὄξει ἕψεται εἰς τὸ [illegible]· εἶτα διηθηθέντος τοῦ ὄξους καὶ
τοῦ [illegible] μέλιτος ℥ ιε. ἐν ᾧ [illegible] ἑψόμενα μέχρι μελιτώδους συστάσεως καὶ
[illegible] τὴν ἀλόην [illegible] ἐν τῇ θυίᾳ [illegible] βραχὺ τὸ ἑψη-
θὲν ὀξύμελι καὶ ἑνώσαντες, ἀνελόμενοι χρώμεθα. ἡ [illegible] δόσις κοχλιάρια γ.
Ἄλλο Ἀνδρομάχου, πρὸς ἀναστροφὰς στομάχου. ἤλεκτρον ὃ καλοῦσι σουχίνον καὶ
λιγγούριον μετὰ μαστίχης λεάνας, δίδου κοχλιάριον σὺν ὕδατι ψυχρῷ. ποιεῖ τοῖς μετρί-
ως ξηραινομένοις καὶ σύντροφος [illegible]. τοῦ δὲ ἠλέκτρου πλέον βάλλε. Ἄλλη γλυκεῖα
λεγομένη. ἀλόης ℥ ζ. ἴρεως ℥ β. μαστίχης ℥ α ς''. νάρδου κελτικῆς ℥ α.
∴ πεπέρεως σμύρνης ἀνὰ < δ. ὄξους λίτρας ζ. ἐν ἄλλῳ καὶ κοχλιάρια ϛ. μέλιτος λί-
τρ. γ. ξε. α. μαράθρου ῥίζης φλοιοῦ, λιτρ. γ. τὸν φλοιὸν τοῦ μαράθρου προαβρέξας
τῷ ὄξει ἕψε εἰς ἀποτρίτωσιν καὶ διηθήσας ἐπίβαλλε τῷ [illegible] ἀφεψηθέντι ὄξει, τὸ μέ-
λι· καὶ ἕψε ἄχρι καλῆς συστάσεως. εἶτα ἕνωσον ἐν τῇ θυίᾳ καὶ δίδου κοχλιάριον α΄.
ποιεῖ ἐπὶ τῶν ψυχροτέρων κράσεων καὶ φλέγματι [illegible]. κοιλίαν κινεῖ μετρί-
ως καὶ τὴν κεφαλὴν κουφίζει. Τροχίσκος ὁ τῶν ἀμαζόνων ποιεῖ πρὸς τὰς τοῦ
στομάχου εἰλεώδεις ἀναστροφάς. εἰλεώδεις δὲ ὀνομάζουσι τὰς ἰσχυρὰς ἀναστρο-
φὰς τοῦ στομάχου. ὥσπερ γὰρ ἐν τοῖς εἰλεοῖς ἔμετοι μετὰ σφοδρᾶς γίνονται
συντονίας, ὡς καὶ κόπρον ἀνεμεῖν· οὕτω καὶ τοὺς ἄλλους ἐμέτους ὅτι σφοδροί, δύ-
ναιτ' ἄν τις εἰλεώδεις ὀνομάζειν. πάσχοντας δὲ οὕτω μεγάλως αἰσθάνεσθαι τοῖς
πάσχουσι μορίοις τῶν φαρμακωδῶν ἰχώρων· ἐὰν δὲ καὶ ἀτονωτέρα ἡ γαστὴρ εἴη,
[illegible] τὸ κακὸν ἐκ τῆς [illegible]. ἔστω δὲ διὰ τοῦτο τῆς ἰάσεως ὁ σκοπὸς
ἅμα μὲν προσφερόντων ἐδωδίμων ἡμῶν τοῖς πάσχουσι μορίοις εὐώδεις ποιοῦντας
[illegible] εἰσὶν αἱ τῶν ἀρωμάτων καὶ τινων ἐδωδίμων σπερμάτων· ὁποῖόν ἐστιν,
ἄνισον καὶ σέλινον καὶ τὰ ὅμοια. ἐφ' ὧν μὲν οὖν τεκμαιρόμεθα. καθάπερ μὲν τὰ
δυσώδη πάντα τὸν στόμαχον ἀνατρέπειν πέφυκεν· οὕτω καὶ τὰ εὐώδη ῥωννύειν
καὶ μάλιστα τὰ συνήθη ἡμῖν καὶ ἐδώδιμα. ἐφ' ὧν μὲν οὖν τεκμαιρόμεθα τοὺς
ἰχῶρας ἀναπεπόσθαι τοῖς χιτῶσι τῆς γαστρός, τοῦτο τὸ φάρμακον ἁρμοδιώτερον.
ἐπὶ δὲ τῶν ἐμπεπλασμένων τῇ ἐπιφανείᾳ τῶν χιτώνων τῆς γαστρός, ἡ πικρὰ ἐπι-
σημοτέρα· εἰ δὲ [illegible] ἡ πικρὰ ἀνεμεῖσθαι τεκμαιρόμεθα [illegible], [illegible]
μένην εἶναι τὴν διάθεσιν ὡς πλεονάζειν ἐν τῇ γαστρὶ τοὺς ἀναπεπομένους ἰχῶ-
ρας καὶ τοὺς ἐμπεπλασμένους. ἡνίκα συμφέρει προποτίσαντας τὸν τροχίσκον. καὶ
συμμέτρως ἀποφήναντας τοὺς ἐμέτους, οὕτω χρῆσθαι τῷ φαρμάκῳ τῷ πικρῷ.
ἔστι δὲ ἡ σύνθεσις τοῦ τροχίσκου αὕτη· σελίνου σπέρματος < ϛ. ἀνίσου < δ.
[illegible] σμυρνῆς [illegible] ὀπίου [illegible] ἀνὰ < β.
ἐν ἄλλῳ ϛ. [illegible] κόμης < δ. σμύρνης [illegible] ὀπίου κασ. ἀνὰ < β.
κινναμώμου < ϛ. ἀνάπλαττε τροχίσκους καὶ δίδου τὴν [illegible] δόσιν < α. ἐγὼ
[illegible] τὸ προκείμενον φάρμακον χωρὶς τῆς σμύρνης εἴωθα σκευάζειν φησὶν ὁ [illegible]
[illegible] διὰ τὸ φαρμακῶδες αὐτῆς. βάλλων ἀντ' αὐτῆς [illegible] < β.
ὡς [illegible] < δ. δίδου στομαχικοῖς μὲν μετ' οἴνου κεκραμένου
κυάθων τριῶν. χολερικοῖς δὲ μετ' ψυχροῦ ὕδατος. ἐπὶ δὲ [illegible] ἐμούντων τὴν τρο-
φήν, εἰ μὲν [illegible] εἴη ὁ [illegible] καὶ θερμῆς αἰσθάνοιτο [illegible] τὸ στόμα-

τῆς κοιλίας γένοιτο καὶ ψυχροπότης ᾖ, ἐν τῷ τῆς ὑγείας καιρῷ δίδου ὁμοίως
μετὰ ψυχροῦ· εἰ δὲ μή, μετὰ θερμοῦ· κοιλιακοῖς καὶ δυσεντερικοῖς μετὰ μύρτων
ἀφεψήματος· κωλικοῖς δὲ μετὰ ὀξυμέλιτος θερμοῦ κυάθων τριῶν:· οὗτος δ'
ἐπιτυχῶς πολλὴν πεῖραν δέδωκεν, ἐφ' ὧν ὀδύναι περὶ τὸν στόμαχον ἰσχυραὶ γί-
νονται καὶ ἄσιτοι· παραμυθεῖται γὰρ αὐτοὺς ἱκανῶς, μετὰ τοῦ καὶ ὠφελεῖν
τοῖς δακνομένοις ὑπὸ μοχθηρῶν τὸν στόμαχον καὶ ἐπιγενήσιμος:- Ἀσκληπιά-
δου ἀντίδοτος, ἀνίκητος ἀστήρ· λέγεται δὲ καὶ ἡ Ἀσκληπιάδου ἀντίδοτος τῇ καλουμένῃ ἀντι-
κήτῳ ἀστέρι· ὅς ἐστι φάρμακον εὐστομάχιον ἀνώδυνον ὑπνοποιὸν πολύχρηστον· καὶ τὰ
περὶ τὸν στόμαχον ἰᾶται νοσήματα θαυμαστῶς· ὀξυρεγμιῶν καὶ δυσπεψιῶν ἀπαλ-
λάττει· ἰᾶται στρόφους, ἰλέους, ἐμπνευματώσεις· ποιεῖ καὶ πρὸς τὰ τῆς κεφαλῆς ἀλγήματα
πινόμενος ὀξεῖ ἀνεθείς· καὶ πρὸς ὠταλγίαν περδικίου χυλῷ ἀνεθείς· ποιεῖ καὶ πρὸς ὀδονταλ-
γίαν λεανθεὶς καὶ χαλβάνῃ ἀναληφθεὶς ἢ συκῆς ὀπῷ, καὶ τῷ βρώματι ἐντιθέμενος·
ἐπὶ δὲ τῶν ὀφθαλμιῶν ἀνεσπασμένων ἀπογλυκεῖ καὶ ξίον ἐμβρεχόμενον αὐτῷ ἐπιτίθεται· ὠτ ξάλφ.
τοῖς δὲ τὰ ἐρυθήματα πεπονθόσι ἀνὰ [illegible] καὶ χλιάναντα διδόναι, ἀναγαργαρίζειν μετὰ
μελικράτου· ποιεῖ δὲ καὶ πρὸς αἱμάτων ἀναφορὰν ἀνεθεὶς οἴνῳ μυρτίτῃ· ποιεῖ καὶ πρὸς
κατάρρουν βηχὸς χρονίας καὶ προσφάτους διδόμενος, οἴνῳ σκυβελίτῃ ἢ θηραίῳ ἀνεθείς·
ποιεῖ ἐμπυικοῖς φθισικοῖς διαλυθεὶς πρασίου ἀφεψήματι. Ποιεῖ δυσεντερικοῖς χολερικ-
οῖς αἱμοπτυικοῖς πολυγόνου χυλῷ ἀνεθείς· Ποιεῖ πρὸς πάντας ὑστερικοὺς [illegible] μετὰ
πηγάνου ἀφεψήματος· λύει καὶ τὰς κατὰ περίοδον ἐπισημασίας πινόμενος πρὸ ὡρῶν
δύο τῆς ἐπισημασίας μετ' οἴνου κεκραμένου κυάθων τριῶν. Ἔμμηνα γυναιξὶν ἄγ-
ει διαλυθεὶς ἀρτεμισίας χυλῷ καὶ πινόμενος. Ποιεῖ καὶ πρὸς τὰς ἐν τῇ κύστει διαθέσεις
οἰνομέλιτι διαλυθεὶς ὁμοίως. Καὶ ταῖς ὑστερικαῖς πνιγομέναις βοηθεῖ πινόμενος. Ποιεῖ ἀρ-
θριτικοῖς ποδαγρικοῖς, γεντιανῆς χυλῷ διαλυθεὶς ἀφεψήματι καὶ πινόμενος· τὰ δὲ τῆς
σκευασίας ἔχει οὕτως· Καστορ. σμύρν. ναρδ. κασσίας· ἀμμωνιακοῦ σφαγῖδος, πυρέ-
θρου φλοιοῦ, ἀνὰ < δ΄. κροκ. ὀπίου ἀνὰ < ς΄. δαυκ. στύρακ. ἀνὰ [illegible]
ὑοσκυάμου σπέρματος, ἀνὰ < η΄. σμύρναν στύρακα ὄπιον, οἴνῳ ἐπὶ ὥρας διάλυε· τὰ δὲ
λοιπὰ κόψας σῆθε, ἐπίπασσε καὶ ἑνώσας ἀνάπλασσε τροχίσκους ἔχοντας ἐρεβίνθου
μέγεθος καὶ ξήραινε ἐν σκιᾷ καὶ χρῶ. Καὶ περὶ μὲν τῶν πινομένων φαρμάκων ἱκανῶς
φιλοπονουμένοις. Κατάκλισιν δὲ ὁ ἄρρωστος παραλαμβανέσθω ἐπὶ τόπων τῶν ὁπωσοῦν
εὐηλίων, καὶ ναυτιῶντες ἐν οἴκῳ κατακεκλεισμένῳ τῇ διαθέσει. ψυχρῶν μὲν ἐπὶ τῶν ἴσ. ὁ ψυχρ.
θερμοτέρων διαθέσεων· ἀλεεινῶν δὲ ἐπὶ τῶν ψυχροτέρων· ψηλαφάσθω δὲ τὰ ἄκρα
καὶ ἀνατριβέσθω χερσὶ θερμαῖς καὶ διασφιγγέσθω βιαιότερον· εἶτα εἰς θερμὸν
τόπον [illegible] ὕδωρ [illegible] καὶ πόδας καὶ χεῖρας· ὀσφραντὰ δὲ αὐτοῖς ἴσως
προσφερέσθω εὐώδη· ῥόδα, κυδώνια, γλήχων, ἡδύοσμον, μάραθρον, μῆλα, βα-
[illegible] νάρδος, χους· κεφαλὴ δὲ ἐμβρεχέσθω σὺν [illegible] ἢ οἴνῳ γλυκεῖ· ἐπὶ δὲ
τῶν θερμοτέρων, ῥοδίνῳ· ὁ δὲ στόμαχος ἐμβρεχέσθω ἀψινθίου ἀποβρέγματι ἐπὶ
μετ' [illegible] ἐπὶ τῶν θερμοτέρων· μετὰ δὲ νάρδου ἐπὶ τῶν ψυχροτέρων· προσ-
ληφθέντων αὐτῶν ξηρὸν ἢ κύμινον ἢ πετροσέλινον· εἰ δὲ μηδὲν ἀνυόντων,
μεταβαίνειν χρὴ ἐπὶ τὰ διὰ φοινίκων καταπλάσματα τὰ [illegible]
μένα καὶ τὰ προσλαμβάνοντα ἀλόης, ἀψινθίου, μήλων κυδωνίων [illegible] καὶ ἴσ. φοινιγμαῖς
συντήρησιν· ἐπιτήδεια δὲ καὶ τὰ κηρώματα τὰ διὰ τούτων σκευαζόμενα· καὶ εἰ
φλεγμονὴ περὶ τὰ ὑποχόνδρια εἴη, τὰ κοινὰ καταπλάσματα παραλαμβανέσθω·
ῥοδ. εἰς τὸ αὐτό· Τοῖς δὲ ἐκκαιομένοις καὶ ψυχρὸν ὕδωρ ἀφηψημένον
ἐπὶ πολὺ ἔστω ψυχρόν, διδόσθω κατὰ ῥοφὴν μετὰ κυάθου ἑνὸς καὶ δευτέρου
καὶ τρίτου κατὰ βραχύ· καὶ διακλυζόμενον δὲ καὶ διακρατούμενον ἐν τῷ

ἰχώδη σιτία (margin)

στόματι περιαιρεῖται ναυτίας, ἐφ' ὧν πλεονάζει τὴν ποίησιν αὐτῶν. ὁμοίως δὲ παραλαμβάνεται καὶ ὀξύρατον ὑδαρές, ἀνδράχνη τε διαμασσωμένη καὶ μύξελης ὀσφύν, καὶ στρυχνοῦ πόματος, ὅθεν κοχλιάρια θαυμαστῶς ποιεῖ. τοῦ δὲ ἐμπιπλάμενον ἐπιμένοντος καὶ μηδενὸς κρατουμένου τῶν σιτίων συχνὰ περιχαλκεύεσθαι κατὰ τὸ στόμα τῆς γαστρὸς μετὰ φλεγμονῆς πλείονος, δὲ τῷ φοινικίῳ τὸν τόπον καὶ προκειμένης αὐτῆς, διδόσθω τὸ σιτίον. Πρὸς δὲ τὰς καθημερινὰς ναυτίας καὶ τοὺς ἀποξυσμοὺς τῆς τροφῆς καὶ τοὺς ἐμέτους κοριάνου πόματος λεπτὰ, ὅθεν κοχλιάρια θαυμαστῶς ποιεῖ. τοῦ δὲ ἐμπιπλώματος ἐπιμένοντος καὶ μηδενὸς κρατουμένου

ἐξάλειπτον (margin)

τῶν σιτίων συχνὰ περιχαλκεύεσθαι κατὰ τὸ στόμα τῆς γαστρὸς μετὰ φλεγμονῆς, ὡς ἄλφιτον ἐμπάσας ὕδατι πότιζε, ἢ μαστίχης λείας κοχλιάριον μετὰ ψυχροῦ ὕδατος, ἢ θρίδακος λευκῆς πόματος, ὅσον κοχλιάριον μεθ' ὕδατος τῶν ἐγκαιομένων.

## ΚΑΤΑΠΛΑΣΜΑΤΑ καὶ ἐπιθέματα πρὸς τοὺς μὴ κατέχοντας τὴν τροφὴν οὕστινας ἰδίως οἱ παλαιοὶ στομαχικοὺς προσηγόρευον. κεφάλαιον ια.

μέλιτι μιγνύσθω τίλινον ἄλευρον καὶ μαλάξας ποίει σῶμα λεῖον ξηρόν. εἰ δὲ καταπίνειν μὴ δύναιτο, ἔψησον αὐτὸ καὶ λεάνας καὶ βραχὺ ἔλαιον μίξας ποίει ἐν μάλαγμα καὶ χρῶ. Ἄλλο. αἴρινον ἄλευρον καὶ ξύσματα μετὰ μελίτος. ἐχέτω δὲ αὐτὸ τοῦ ἐλαίου ὑγρὰν διάστασιν. Κηρωτὴ δὲ ἁρμόζει διὰ ἰρίνου ὑποσκευασθείσης καὶ κασορίου βραχέος. Ἄλλη Ὀριβασίου. κηροῦ οὐγγ. ϛ. ἰρίνου ἐλαίου οὐγγ. ϛ. χαλβάνης οὐγγ. α. ὀποπάνακος < δ. κασσ. < δ. ἐν ἀλλ. οὐγγ. δ. ὅθεν ὁ ἀπὸ στάξ ... αὐτὰ δὲ ὅσα τὰ τοιαῦτα τῶν ψυχροτέρων διαθέσεων παραλαμβάνεται. ἔτι δὲ καὶ ταῦτα τὰ ἐπιθέματα πρὸς τὰς εἰρημένας διαθέσεις φησὶν ὁ Γαληνὸς διὰ τῆς πείρας οὐ μόνον τῶν γραψάντων αὐτὰ ἀλλὰ καὶ διὰ τῆς ἡμετέρας κεκριμένα. Ἀλλ' ἐπίθεμα πρὸς τὰς λοιπὰς ... < π. φοινίκων ... καὶ χαλβάναν. Οἰνάνθης. ῥόδων ἄνθος. κρόκ. μηλωτ. μαστίχ. ἀλ. < π. φοινίκια ... καὶ ῥόδινον ὀλίγον ... ἐμπλάσας εἰς ῥάκος ἐπιτίθει κατὰ τοῦ στομάχου καὶ κοιλίας. Ἀλ. εὐφορίου εἰς τὸ αὐτό. Οἰνάνθ. ὀμφακίου. ῥόδων ἄνθος. μαστίχ. ἀλόης. ... τηρίας ... ἀν. < δ. οἴνου γλυκέος μυρτίτου τὸ ἀρκοῦν. λεάνας ἀναλάμβανε φοίνιξι ... τοῖς καὶ χρῶ. Ἄλλο ... ἐπίθεμα πρὸς τὰς ἀτονίας στομάχου καὶ πόνον καὶ τοὺς μὴ δυναμένους τὴν τροφὴν κατέχειν. Φοινίκων ... οὐγγ. ϛ. οἰνάνθ. μαστίχ. λιβάν. ἀν. οὐγγ. α. κηροῦ λιτ. α. ἐν ἄλλ. ... νάρδου. μυρ. λιτ. α. ἐν ἄλλ. ... οἴνου τὸ ἀρκοῦν. τοὺς φοίνικας οἴνῳ ... προβρέχων, λεάνας δὲ ... εἶτα ἐπίβαλε μαστίχην καὶ λίβανον καὶ ... λεώσας καὶ ... συλλέγε. ... ἐπίβαλε τὸν κηρὸν μετὰ τοῦ ναρδίνου ἐπίπασσε τὴν οἰνάνθην λειοτάτην καὶ ἑνώσας καὶ ψύξας ἐπίβαλε ... ἐν θυεία καὶ ἀναμαλάξας χρῶ. Ἀρκεῖ δὲ καὶ κηρωτὴ γενομένη ἐκ κηροῦ λιτ. μιᾶς καὶ ῥοδίνου λιτ. ϛ. οἰνάνθης δὲ μὴ εὐποροῦν βάλε ἀντ' αὐτῆς φύλλα ἀμπέλου ἐν σκιᾷ ξηρανθέντα. ποιοῦν καὶ πρὸς τὰς κατὰ μέρος φλεγμονάς. Ἄλλο ἐπίθεμα πρὸς τὰς τοῦ στομάχου ἀνατροπὰς καὶ ... ἀν. < δ. φοινικοβαλάνων τῶν φιλουμένου. οἰνάνθ. < π. κρόκ. ῥόδ. ξηρ. μηλωτ. μαστίχ. ... ῥινήματος ἀν. < δ. ... τὰ ξηρὰ κόπτε ... τὰ δὲ μύρτα ... οἴνου μυρτ. ... τοῖς φοίνικας καὶ συγκόψας ἀναλάμβανε ... ἐπίβαλε τούτοις ... ἔπειτα ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει κατὰ τοῦ στόματος τῆς κοιλίας.

Ὑγρᾶς σπληνὸς δυσκρασίας ἄριστον ἐστὶ φάρμακον
ἁλὸς ἄνθος ἐπιτιθέμενον· εἰ δὲ μετά τινος ἁπαλῆς ἐπιθεῖναι κηρω-
τῆς ἐθέλοις· μόνον γὰρ ἐν χρῷ τοῦ δέρματος ἐμβαλλόμενον ἐπιτίθεται
σπληνί· παραπλήσσεται δὲ καὶ [illegible] ὡς εἴρηται· ἀλλὰ καὶ
ἅλμην καὶ ἁλὸς ἄχνην σὺν κηρωτῇ τινὶ καὶ ὄξει βραχεῖ ἐπιμιξ-
[illegible] οἱ γεννῶνται φάρμακα πρὸς τὴν ὑγρὰν σπληνὸς δια-
θεσιν· πενταφύλλου τε ῥίζαν καὶ ἀρνογλώσσου ξηρὰν καὶ στυπ-
τηρίαν σχιστὴν κεκαυμένην ἐπὶ ὀστράκου· δυνατὸν δὲ καὶ συνθεῖ-
ναι φάρμακον ἐκ φύλλων ἀρνογλώσσου καὶ ῥίζης πενταφύλλου καὶ ἁλὸς
ἄχνης ἢ ἁλὸς ἄνθους ἴσων καὶ ἀνίσου ὅσος [illegible] αὐτάρκως
ἀναλαμβανομένων πίσσῃ ξηρᾷ μετὰ τοῦ λαχάνου ἐν ὀξυκράτῳ καὶ κηρωτῇ
βδελλίου καὶ ἀμμωνιακοῦ θυμιάματος συμμέτρῳ τε ῥοδίνῳ· βέλ-
τιον δὲ γίνεται συντιθέμενον ἐὰν καὶ ἰτέας ὁπὸν προσλάβῃ· καὶ
γὰρ ἐν τῷ εἰρημένῳ ἢ διὰ τοῦ γραμμάρου μιγνύμενον, ἐνεργέ-
στερον ποιεῖ φάρμακον· συλλέγεται δὲ καὶ οὗτος ῥᾳδίως περι-
ερχόμενος· ἔσται γὰρ δάκρυον τοῦ δένδρου ἐκπιεζόμενον· ἁρμόδια ταῦτα δὲ
τούτοις καὶ [illegible] διαφορεῖν δυνάμενα.

## Ξηρᾶς δυσκρασίας ἴασις

Ξηρᾶς δυσκρασίας ἐν σπληνὶ ἴαμα βαλανείων δεῖ γλυκέων
καὶ θερμῶν ὑδάτων· ἀλείψεις ἡδεῖαι γλυκεῖαι· τροφαὶ ὑγραίνουσαι
μετὰ τοῦ μὴ ψύχειν· οἷος ὁ πτισάνης χυλὸς, καὶ μετ' αὐτῶν
ὁ τοῦ ἄλικος· ἐμβροχὴ δὲ ἔξωθεν διὰ ῥοδίνου καὶ κηρωτὴ
δι' αὐτοῦ ἐσκευασμένη.

## Περὶ ἐμπνευματώσεως σπληνός· Φιλαγρίου.

κεφάλαιον θ

Ἐμπνευματώσεως οὔσης περὶ σπλῆνα ὄγκος παραφαίνεται ἐν τόποις
εἴκων τῇ ἁφῇ ἐν ταῖς ἐπιθέσεσι τῶν χειρῶν διαλλάσσει, ὅπου [illegible]·
ἀλλ' ἡ ἐμπνευμάτωσις ἢ κατ' αὐτὸν γεννᾶται σπλῆνα ἢ ἐν γαστρὶ γε-
νομένη, ἐν τούτῳ μεθίσταται· ἢ ὑπὸ οἴνου φυσώδους πνεύματος γένεσις, ἐπὶ
κατὰ [illegible] τοῦ γεννῶντος αὐτὸ γίνεται μορίου· ἐκθερμαίνειν οὖν χρὴ τὴν
κοιλίαν καὶ τὸν σπλῆνα ἐφ' ᾧ ἀμφοτέροις [illegible] τοῖς ἔξωθεν ἐπι-
τιθεμένοις καὶ τοῖς καταπινομένοις σιτίοις καὶ φαρμάκοις· τὴν μὲν οὖν
γαστέρα βοηθεῖν χρὴ εἴτε εἴη συμπάσχουσα [illegible] τὸ διὰ σπληνὸς
[illegible] καὶ τὰ ὅμοια ἐπιτιθέναι δὲ καὶ τοῖς ἐδέσμασι καὶ πινομένῳ οἴνῳ, πε-
πέρεως [illegible] κύμινον σίνηπι καὶ παραπλήσια ἐπιτιθέναι καὶ τὸ
διὰ σπέρματος [illegible] μετὰ βραχὺ [illegible]· ταῦτα γὰρ κοινῶς
ἀμφοτέροις βοηθεῖ σπλάγχνοις· ἰδίως δὲ τὰς ἐν σπληνὶ ἐμπνευματώ-
σεις λύειν πέφυκε καὶ ταῦτα τὰ προειρημένα· καὶ [illegible] σπέρμα πεφυρμένον καὶ

μελάνθιον

μελάνθιον· ἑρπύλλιον καὶ θύμος· γλήχων· ὀρίγανον καὶ πήγανον ἄγρια·
πηγανίνου δὲ ἄσημα, καὶ τὸ στομαχικὸν δεῖ καὶ πλεῖστον πνεύμονι σπλάγχνοις
ἁρμοδιώτατον· ὁμοίως καὶ πρίνινον, ῥόδον καὶ σκόρδιον· ταῦτα γὰρ ἅμα
τῷ καθαίρειν πνεύμονα καὶ ὑπὲρ ὀνίνησι καὶ στόμαχον ἐπιεικῶς· ἕκαστον
τούτων καθ᾽ αὑτὰ καὶ σὺν ἀλλήλοις προσφέρεσθαι δύναται· ἐπιθέματα δ᾽
ὀξύκρατον· ἐνίοτε καὶ μάλιστα ἐμβλητέον· τὰ δὲ τούτων ἰσχυρότερα
παραφυλάττεσθαι ἐφ᾽ ὧν συμπάσχει τῷ πνεύμονι ἡ γαστήρ, καὶ μάλιστα
ἐμπνευματώσεως γενομένης ἐνοχλούσης· τὰ γὰρ τούτων γενναιότερα ἐσκιρρω-
μένῳ πνεύμονι ἐπιτήδεια ἐστί· πνεύμονος δ᾽ ὑπάρχοντος μόνου ἐμπνευματου-
μένου χωρὶς τοῦ συμπάσχειν τὴν γαστέρα ἐν ἀρχαῖς ἐπιτήδειον τὸ διὰ ἀρωμά-
των ἐπίθεμα· ἐπειδὰν δὲ λεπτύνῃ τὸ πλεῖον τοῦ πνεύματος, προσαπτέον
αὐτῷ τινὰ τῶν ἀπωθεῖν δυναμένων τὸ βλάπτον· διὰ τοῦτο δεῖ τὰ διὰ συ-
πληρίας(?) καὶ δι᾽ ὧν σκευαζόμενα ἐπιθέματα· εὑρίσκονται τούτων
αἱ σκευασίαι μετὰ βραχὺ ἐν τῇ τοῦ ἐσκιρρωθέντος πνεύμονος θεραπείᾳ·

Ἐπίθεμα διὰ ἀρωμάτων Ἀσκληπιάδου· τὸ δὲ διὰ ἀρω-
μάτων ἐπίθεμα Ἀσκληπιάδου δεῖ τοῦτο ὑπὸ τῆς φαρ-
μάκων ἐπιτελούμενον· ποιεῖ πρὸς πάσας ἐμπνευματώσεις·

Καρδαμώμου, μελιλώτων· βράθυος· δαφνίδων· κόστου(?)· σαμψύχου·
ἴρεως· πάνακος ῥίζης· κυπείρου ῥίζης· νίτρου· κασσίας σύριγγος(?)· σχοίνου
ἀρωμάτων ἀνὰ ... λιβάνου ἀνὰ ... στύρακος· σμύρνης ἀνὰ ... χαλβάνης(?)
κηροῦ ἀνὰ λίτρας β· ἀμμωνιακοῦ θυμιάματος· μέλιτος καλλίστου κυ-
πρίνου ἐλαίου ἀνὰ λίτρ. α· οἴνου τὸ ἱκανόν· ποιεῖ πρὸς τὰς τοῦ στομάχου καὶ
πνεύμονος ἐμπνευματώσεις καὶ ἥπατος καὶ χολὴν ἀθρόαν(?) δεῖ φάρμακον

## ΠΕΡΙ φλεγμαίνοντος πνεύμονος· κεφάλ. ι.

Φλεγμαίνοντος πνεύμονος φλεβοτομίᾳ παραλαμβανέσθω εἰ μηδὲν κω-
λύει· κλύζειν δὲ κοιλίαν συνεχῶς μάλιστα εἰ παραλειφθῇ φλεβοτομίας
βοήθημα· προσήκει δὲ καθ᾽ ὃν ἂν καιρὸν κενώσωμεν εἴτε διὰ φλεβοτο-
μίας εἴτε διὰ κλυστῆρος, ἐπιθεῖναι τῷ πνεύμονι τι τῶν στύφειν δυναμέ-
νων· μάλιστα ἐν ἀρχαῖς ὅταν ἀποστρέφεσθαι τὴν κένωσιν· ὅπως τὸ ἐπι-
ρρέον ἀναστέλλοιτο καὶ τὰ φθάσαντα ἐρρυηκέναι τῷ τόπῳ με-
ρος ἀποθλίβοιτο· καὶ μὴν διὰ τὸ φυλάττεσθαι τόνον τοῦ πνεύμονος
χρήσιμος ἡ τῶν στυφόντων ὕλη· τούτων μὲν ἐπειδὰν ἡ ὁρμὴ τοῦ ῥεύματος
ἰσχυρὰ γίνηται· μετρίων δὲ ἐπειδὰν σύμμετρος· γνώσῃ δὲ μέγεθος
τῆς ὁρμῆς χυμῶν, ἐκ μεγέθους καὶ τάχους τῆς μετὰ φλεγμονῆς γενέσεως·
μετρίας μὲν οὔσης τῆς πνεύμονος φλεγμονῆς, οἶνον παλαιὸν αὐστηρὸν λαβό-
μενοι μίξαντες ἐλαίῳ γλυκεῖ καὶ ἀναλαβόντες οἰσυπηροῖς ἐρίοις ἐπιθή-
σομεν· εἰ δὲ πλείων εἴη ἡ φλεγμασία, ῥόδινον, ἔσω ἔλαιον ἢ σχίνινον· μὴ
παρόντων τούτων, ἑψεῖν ἐλαίῳ φύλλα ἐλαίας ἢ βάτου ἢ μηλέας· μᾶλλον
δι᾽ αὐτὰ τὰ ἄκρα· μιγνύναι δέ τι καὶ τῶν ... ἐν τῷ ... οἷον
ἀψίνθιον καὶ γλήχωνα· εἰ δ᾽ ἰσχυρὰν ἔχοι τὴν ὁρμὴν τὸ ῥεῦμα, ὄξος
ἀντὶ τοῦ οἴνου ἐμβάλλειν χρή· ἀπὸ δὲ τῶν ἐμβροχῶν, ἐπὶ καταπλάσματα

μεταβαίνειν. παραλαμβανέσθω δὲ κρίθινον ἄλευρον ἢ αἴρινον σὺν
ὀξυκράτῳ καὶ μέλιτι ὀλίγῳ καὶ ἐλαίῳ βραχεῖ, ἐν οἷς ἀφέψηται ἀψίνθιον καὶ
γλήχων. ἐμπασσέσθω δὲ ἐνίοτε καὶ μυροβάλανον. κάλλιστον δὲ καὶ τοῦτο·
κρίθινον ἄλευρον καὶ ἰτέας φύλλα καταπλαττόμενα σὺν ὄξει· προσεψηθέντα
δὲ τῷ ὄξει, αἴγειον στέαρ. κάλλιστον δὲ γίνεται εἰ καὶ ἴα ἀδιάντου προσλάβοι.
ἄριστον δὲ καὶ τὸ διὰ λινοσπέρματος κατάπλασμα καὶ μάλιστα ὅταν ὀδύ-
νη ἐπείγῃ. λαμβάνεται δὲ λινοσπέρματος μέρος α΄· αἰρίνου ἀλεύρου μέρος α΄·
ταυρείου στέατος ἐκτακέντος ὄξει καὶ ἑψηθέντος· εἶτα προσλαβόντος καὶ
κυπρίνου ἐλαίου τὸ ἀρκοῦν. μὴ γυμνὸς δὲ μενέτω ὁ τόπος μετὰ ἐμβρε-
χὰς καὶ καταπλάσματα, ἀλλ' ἀφαιρουμένων τούτων καλυπτέσθω ἀεὶ κηρω-
τῇ διὰ κυπρίνου ἢ ναρδίνου μύρου σκευασμένῃ. χρήσιμον δὲ ταῖς ἐ-
ξηρούσαις φλεγμοναῖς καὶ τὸ ὑπὸ λόγον ἢ νείλου καλούμενον συμμιχθὲν
μετὰ κηρωτῆς χαμαιμηλίνης καὶ ὄξους. καὶ τὸ [illegible] δὲ καὶ τὸ Φιλαγρίου στο-
μαχικὸν ἔμπλαστρον. προαναγέγραπται δὲ πάντα ἐν τοῖς στομαχικοῖς. χρώ-
μεθα δὲ ἐπὶ κατὰ τὰς σπληνὸς φλεγμονὰς σπόγγοις ἀπηρτημένοις καταπλασ-
μάτων καὶ πυρίαις ἐψηθεῖσιν ἐν οἴνῳ ἢ ὀξυκράτῳ καὶ ἐλαίῳ. προαφεψη-
μένου δηλονότι ἀψινθίου· ἐνίοτε γλήχωνος ἢ θύμου ἢ ὀριγάνου ἢ δάφνης
φύλλων ἢ ἀρτεμισίας καὶ τῶν ἄλλων τῶν μετρίως λεπτυνόντων. μὴ [illegible]
δηλονότι φλεγμονῆς καὶ προκενωμένου σώματος. μὴ κενωθέντος γὰρ σώμ-
ἐάν τις χρήσηται τοῖς ἐπιθέμασιν, αὐτὸς αἴτιος τοῦ σκίρρου γίνεται·
εἰ δὲ πρὸς μεταβολὴν ῥέποι φλεγμονὴ τοῦ σπληνὸς ὅπερ συμβαίνει
σπανίως, συντεχνητέον ὑπὲρ τοῦ μὴ πλείονα ζημιωθῆναι σώματα δια-
[illegible] καταπλάσματι πυοποιῷ περὶ ὧν ἐν τῷ περὶ ἀποστάσεως ἐν ἥπατι περὶ
δεδήλωται. συνεχέστατα γὰρ τὸ ἧπαρ ἀφίστασθαι καὶ [illegible]. δεῖ οὖν περὶ
τοῦ ἥπατος προρρηθέντα βοηθήματα λήψῃ καὶ περὶ τοῦ σπληνός.

Θεραπεία σκιρρωθέντος σπληνός. Γαληνοῦ. κεφάλ. ιδ΄.

Θεραπεία σκιρρωθέντος σπληνός ὁ σπλὴν κατὰ τὰς ἐν
περιφέρειαν ἤδη ὡς τάχιστα σκιρροῦσθαι πεφυκὼς, διὰ τὸ αὐτῆς
αὐτοῦ φλέβας σφηνωθέντος τοῦ αἵματος [illegible] διὰ παχύ [illegible]
διαφορηθῆναι ῥᾳδίως δυναμένου. λεπτυνόντων οὖν χρὴ τῶν φαρμάκων ὁ
σπλὴν ἀνθ' [illegible] ἐπιφανείας ὅπως μὴ παχυνθῇ σφοδρῶς ὁ ἐσφη-
νωμένος ἐν αὐτῷ παχὺς χυμός· ὅπως δ' αὐτῷ φυλάττοιτο τὰ τῆς εὐσ-
ταθείας, καὶ μίγνυνται τούτοις τὰ καὶ στύφοντα καὶ αὐστηρά. ἐὰν γὰρ ἀτο-
νήσῃ, ἕλκει εἰς ἑαυτὸν κατὰ τὸ εἰωθὸς ἐκ τοῦ ἥπατος [illegible] καὶ
μελαγχολικὸν χυμὸν, κακοχυμίαν ἅπαντι τῷ σώματι περιγίνεται.
ἕλκη γὰρ δυσαλθῆ ἴσχουσιν οἱ τοιοῦτοι καὶ μάλιστα περὶ τὰ σκέλη κα-
κοχροιαν τε τοῦ σώματος καὶ τὸ μελάντερον. χρονιζόντων δὲ καὶ ὑδέρω-
[illegible]. διὰ τοῦτο οὖν φυλάττεσθαι δεῖ αὐτοῦ τὸ φυσικὸν τόνον. ὅπως ἕλκη
τὸ προσῆκον ἑαυτῷ τροφὴν καὶ ἐκκαθαίρῃ τὸ αἷμα. ἀφῆς εὐσ-
θενείας περὶ τὸ σῶμα καταπέμπῃ εἰς γαστέρα δέοντα μετὰ τῆς τροφῆς
περιττώματα ἐκκρινόμενα. διὰ τοῦτο οὖν αὐτῷ τὰ [illegible] προσ-
αγωγή. ἐνίοτε δὲ μίγνυμεν αὐτοῖς καὶ αὐστηρά. τὰ μὲν πικρὰ, προσ-

τό

τὸν ~~λέγμενον~~ τόνον φλέβας· ὁποῖον δέ ἐστι φάρμακον ἡπατι τὸ ἀψίνθιον·
τοιοῦτο σπληνὶ καππάρεως ὁ φλοιός· ὁποῖον ἤπατι ὑπατόριον τοι-
οῦτο σπληνὶ τὸ σκολοπένδριον· ὁμοίων χρῄζεται φαρμάκων κατὰ γένος ἀμ-
φότερα σπλάγχνα· τοσούτῳ δ' ἰσχυροτέρων ὁ σπλὴν, ὅσῳ περ χείρονα κέ-
κτηται σάρκα· πλεῖστα δ' ἐστὶ γεγραμμένα ὑπ' ἀρχαίων φάρμακα πρὸς τὰ
ὑπὸ σκιρρωθέντας σπληνός· πρόσεχε δ' ἐν θεραπείᾳ, εἴτε ψυχρό-
τερόν ἐστι τὸ σύμπαν σῶμα τοῦ θεραπευομένου· εἴτε θερμότερον· εἴτε ὑ-
γρότερον· εἴτε ξηρότερον· τοῖς μὲν οὖν φύσει θερμοτέροις σώμασιν ἀλυπο-
τέρως δίδοται μυρίκης φύλλα καὶ ἀκρέμονες καὶ ῥίζα καὶ σκολοπενδρί-
ου ἀγρίου τε λαπάθου καὶ μάλιστα ὀξυλαπάθου σπέρμα· ῥίζα καὶ φύλ-
λα· κάλλιστα ποιεῖ ῥίζης χλωρᾶς κοπτομένης ὁ χυλὸς ὅσον κύαθος
εἷς πινόμενος· καλῶς ποιεῖ καὶ ἡ λυκάψος ἀντὶ χυλοῦ διδόναι, ῥίζης
∠ α· ἢ κισσοῦ κορύμβους γ· ἐν ἀμ. ς· ἢ τὰ φύλλα ἢ ῥίζαν· πολυτρί-
χου καπνίου τε καὶ χελιδονίου λεπτομερῶν ἀφέψημα ἀποτιθέντα δοθέν· ἰτέας
φύλλα καὶ φλοιὸν καὶ ῥίζαν· λιμωνίου τε καὶ κυνογλώσσου λεπτομερῶν φύλλα, ῥί-
ζαν· πηγάνου σπέρμα· ταῦτα οὐκ ἔστι σφοδρὰν ἐν αὐτοῖς ἔχει θερμασίαν·
οὐ λυπεῖν θερμοτέρας κράσεις πέφυκε· διὸ χρηστέον αὐτοῖς ἐπὶ τῶν
προειρημένων καὶ ἐπὶ τῶν λοιπῶν ἀρχομένων παθῶν· δεῖ γὰρ ἀπὸ τῶν ἠπι-
ωτέρων ἄρχεσθαι· τούτων δὲ δραστικώτερά ἐστιν ἅτινα τοῖς χρονίζουσι
σκίρροις ἁρμόττει καὶ τοῖς ἀγροικικωτέροις σώμασι καὶ ψυχροτέραν
σύμπασαν ἕξιν σώματος ἔχουσι· χαμαίδρυον· γεντιανῆς ἡ ῥίζα·
καλαμίνθη· γλήχων· κυκλαμίνου ῥίζα· σκόρδιον· τρίφυλλον τῆς ἀσ-
φαλτίτιδος σπέρμα· ὑπερικοῦ κόμη· ἀκόρου· ἀσάρου· ἠρυγγίου ῥίζαι·
ἄγνου σπέρμα πεφωγμένον· κενταυρίου χυλός, κἂν ξηρὸς εἴη· μά-
λιστα λεπτῶν· χαμαιπίτυς· σέλινον· λογχίτιδος ῥίζα· ἀναγαλ-
λίδος τῆς κυανοῦν ἄνθος ἐχούσης ὁ χυλός· γλυκυσίδης ἤτοι παιονί-
ας ῥίζα· δρακοντίου ῥίζα χλωρὰ ξηρά·. Ἄλλο· Καρώου ἐκ γῆς
ἀνηρημένου· ἐρυθροδάνου ῥίζης· βρυωνίου ῥίζης· ἀμμωνιακοῦ θυμιάματος ἀνὰ
∠ α· τούτων ἕκαστον λεῖον ξὺν ὀξυκράτῳ δίδοται· ἔστι δ' ὅτε καὶ ἑψομένων
αὐτῶν ἀφέψημα δίδοται· ξηρῶν δὲ διδομένων ∠ α δίδοται πλέον
ἢ ἔλαττον·. Καλῶς ποιεῖ καὶ τοῦτο· ἀμμωνιακοῦ θυμιάματος οὐγ. α·
ἐν ἀμ. β· κάστορος οὐγ. α· λεῖα ποιήσας δίδου ∠ α μετὰ ὀξυκράτου ἢ
ὀξυμέλιτος· κενοῖ γάρ φησι δι' ἐκκρίσεως παχεῖς καὶ γλισχροὺς χυμούς·
Ἄλλο· σκίλλης ὀπτῆς· καππάρεως ῥίζης φλοιοῦ ἀνὰ ∠ α· δίδο- — γρ. χυλοῦ
ται μετὰ ὀξυκράτου ἢ ὀξυμέλιτος· κενοῖ γάρ φησι δι' ἐκκρίσεως παχεῖς
καὶ γλισχροὺς χυμούς· ἔστι δ' ὅτε καὶ αἱματώδεις· οὐ δι' οὔρων μόνον
ἀλλὰ διὰ γαστρὸς αὐτά·. Ἄλλο· λιβάνου ὀβολοὺς β· μαράθρου σπέρ-
ματος κοχλιάριον· λεῖον δίδου μετὰ οἴνου·. Ἄλλο Μαρκιανοῦ ἀρθραβάτων κἂν
ᾖ σκληρός, ἀνωδύνως αὐτὸν διαλύει, ὡς μηδ' ἔμφασιν ἢ ὑπόνοιαν γενέσθαι
περιεχόντων·. ἄγνου σπέρματος ὅ ἐστι λυγόσπερμα κεκομμένου σεσησ-
μένου λεπτότατα ∠ ε· ἐπὶ ἡμερῶν δίδου πίνειν μετὰ ὀξυκράτου·.

Ἀλλ

Ἄλλο, τὸ αὐτό, πρὸς σπλῆνας καὶ ἧπαρ ἐσκιρρωμένα· καὶ ἀρχὰς ὑδέρου·
καὶ πρὸς ἐμπνευματώσεις κοιλίας, εὐζώνου στομάχου· ἁπλοῦν ἀκίνδυνον·
παιονίας ῥίζαν κόψας σήσας ἔχε ἀποκειμένην ἀδιάπνευστον καὶ
δίδου πρὸς δύναμιν· ἡ μεγίστη δόσις κοχλιάριον· ὑδρωπικοῖς καὶ σπλη-
νικοῖς δι' ὀξυκράτου· ἡπατικοῖς, δι' ὑδρομέλιτος ἢ οἴνου γλυκέος
κυάθων τριῶν. Τροχίσκοι πρὸς σπλῆνα ἐσκιρρωμένον, ἐκ
τῆς [illegible] διὰ πολλῆς πείρας. Ἐρίκης καρποῦ < η.
[illegible] λευκ. < δ. ναρδοστάχ. ἀμμωνιακοῦ θυμιάματος ἀνὰ < δ.
σκολοπενδρ. < β. κόστου < α. ἐν ἄλλ. β. ὄξει σκιλλητικῷ ἀναλάμ-
βανε· δίδου < α μετ' ὀξυμέλιτος ἢ ὀξυκράτου· ἁρμοδιώτατον πρὸς
σπλῆνα ἐσκιρρωμένον καὶ ὁ ἀποσβεννύμενος διάπυρος σίδηρος ὕδατι
ἢ οἴνῳ, ἢ ὀξυκράτῳ· τοῦτο γὰρ κατ' ἀρχὰς διδόμενον ἄλυπόν ἐστι καὶ ὠφ-
ελιμώτατον· ἐφεξῆς δ' ἡμερῶν πλειόνων διδόσθω· τοῖς πυρέσσουσιν
ὕδωρ δίδου ἢ ὀξύκρατον ὑδαρές· ἀπλοστέροις δ' ἀπυρέτοις οἶ-
νον· ἔστω δ' ὁ αὐτὸς ἀποσβεννύμενος σίδηρος, στόμωμα· ἢ δὲ στομώ-
ματος σιδήρου λεπὶς ἣν ἐν χαλκείοις ἀποβάλλει ὁ σίδηρος πυρούμενος
καὶ τυπτόμενος, εἰς ὕστερον τοῖς ἀγροικοτέροις ἀνθρώποις χρησίμως δίδοται·
[illegible] γὰρ αὕτη σπλῆνα γενναίως· δαπανητικῆς ὑπάρχουσα δυνάμεως·
δέονται ἑτέρων συμπλοκῆς, ὥστε μὴ κακοῦσθαι στόμαχον· καὶ ἀπὸ
[illegible] κράσεων, καὶ μιγνύειν αὐτοῖς προσήκει μάλιστα μὲν πολε-
[illegible] σπέρματα· εἰ δὲ μή, τὸ σκολοπένδριον· καὶ τούτου μὴ παρόντος, σπ-
[illegible] κύμινον ἢ ὀξυλαπάθου ῥίζαν ἢ σπέρμα· καὶ ψυχροτέρων κρᾶσιν
[illegible] ἀμμωνιακὸν ἢ κόστον· ἄνισον ἢ [illegible]
[illegible] διακαιόμενον καὶ ἐπὶ τούτοις, κατὰ πάντων τὸ [illegible]
ὄρθον καὶ παραπλήσια· ἁρμόδιον κατὰ τοῦτο, καὶ ἐπὶ πάντων τὸ [illegible]
[illegible]. ταῦτα νῦν εἰρημένα καὶ τὰ βραχέως ῥηθέντα ἁπλᾶ φάρμακα
[illegible] κατ' ἀρχὰς ὀξυκράτῳ ὑδαρεῖ· εἶτα καὶ ἀκρατεστέρῳ· προϊόν-
[illegible] χρόνου καὶ αὐτὰ κοπέντα σησθέντα διδόσθω σὺν ὀξυμέλιτι ἢ ὄξει· μέτρον
δ' ἑκάστου τῶν φαρμάκων ὁρίσαι, σφαλερόν· διάφοροι γὰρ αἱ λαμ-
βανόντων φύσεις αὐτά· [illegible] ἐξ ἀρχῆς ἑκάστου δύναμιν βρα-
χύτερον διδόναι χρή· καὶ πρὸς λόγον αὔξειν τὴν δόσιν πρὸς δύναμιν τῶν
φαρμάκων καὶ νοσούντων· ἅπαντα οὖν εἰρημένα ὁπωσοῦν προσθέντα μὲν
εἰς [illegible] κατασκευασθέντα, ἡ δὲ τῆς μυρεψικῆς βαλάνου, ἣν μυροβάλα-
νον ὀνομάζουσιν, εἰ μὴ σὺν ὀξυκράτῳ ποθῇ· ῥᾳδίως ἐξεμεῖται·
ἐξέστω τοίνυν τῷ βουλομένῳ ἑκάστῳ τῶν προρρηθέντων ἁπλῶν φαρ-
μάκων καθ' ἑαυτὸν κεχρῆσθαι· καὶ δύο, τισὶν ἐξ αὐτῶν καὶ τρισὶ καὶ τέ-
τταρσι μιγνύντα ἴσα ἢ ἄνισα διδόναι· τῶν δὲ συνθέτων πάντων
σχεδὸν κάλλιστόν ἐστι τὸ δι' ὀστέων [illegible] συγκείμενον φάρμα-
κον Φιλαγρίου· σφόδρα γὰρ εὕρηκα, αὐτὸ ἀξιόλογον φησὶν ὁ Φιλά-
γριος καὶ ἁρμοδιώτατον πᾶσι σπληνικοῖς παθήμασιν· ἐξαιρέτως δὲ
τοῖς σὺν ὄγκῳ μεγάλῳ καὶ σκληρίᾳ γινομένοις· αἱ ἀθηναῖαι γάρ, ὥσπερ
τὰς [illegible] τοιαύτας ὡς ἂν μαλακτικὴν καὶ [illegible] ἔχουσι
δύναμιν καὶ πρὸς τὰς [illegible] κατὰ βραχὺ

διαφορ

διαφορεῖν καὶ ξηραίνειν. ἔστι δὲ ἥδιστον τῇ γεύσει καὶ ὀσφρήσει καὶ μά-
λιστα πολλῷ μέλιτι ἀπηφρισμένῳ μιγὲν καὶ διδόμενον ἐκλεικτόν.
Διάχριστον τοῦτο ὁ ἐμὸς ἐστιν, ἔστι τοῦτό φησιν, ὁ Φιλάγριος αὐτῷ
παρὰ Βασιλιάδου. Καππάρεως ῥίζης φλοιοῦ· μυρίκης φύλλων
σιδήρου στομώματος λεπίδος ἀνὰ < ϛ. μυροβαλάνων < ϛ. ἐν ἄλλ. ι
ἀμμωνιακοῦ θυμιάματος πηγάνου ἀνὰ < ε. [illegible] κόμης ἀνὰ < γ.
σκολοπενδρίου < ι, ἀναλάμβανε ὄξει τροχίσκους. δίδου < α σὺν ὀξυ-
κράτῳ ἢ ὀξυμέλιτι ἢ οἴνῳ. Ἰουδαϊκόν ἐστι φάρμακον ὡς καὶ σκληροῖς
σώμασιν ἁρμόττειν. ἕτερον ἀσθενέστερον αὐτοῦ ποιοῦν δέ. Πλίχωνος < ιβ.
ὀξυλαπάθου < ϛ. πηγάνου σκολοπενδρίου ἀνὰ < γ. ναρδοστάχυος, ῥαφανίδος κα-
παρέως φλοιοῦ ἀνὰ < β. ἀναλάμβανε ὄξει τροχίσκους. δίδου < α ὥσπερ
Τροχίσκος σπληνικοῖς ὑποχόνδρια ἢ σπλῆνα ἐσκληρυσμένα.
ἐρίκης καρποῦ < δ. [illegible] ἀμμωνιακοῦ θυμιάματος ναρδοστάχυος
ἀνὰ < β. τινὲς καὶ κόστου < α. ἐν ἄλλ. β. καὶ σκολοπενδρίου < β.
ἀναπλάσσεται τρο-
ξηρὰ κόπτουσι. ἀμμωνιακὸν διαλύουσι ὄξει. ἀναπλάσσε τροχίσκους. ὁ διδάξας
δίδου < α σὺν ὀξυμέλιτι τοῖς κακάθοις(?) [illegible]. ὁ διδάξας
φάρμακον. ἔλεγε τοῦτο προσθῆναι δελφακίῳ διδοὺς τὸ
φάρμακον ... ἡμέρας γ. μετὰ ταύτας, τὸ δελφάκιον ἀνατμηθέν, ἄσπληνον
εὑρέθη. Ἄλλο ἀρχιγένους σπληνικοῖς ὑδρωπικοῖς. ἔστι καὶ διου-
ρητικόν ἀγαθόν, καὶ κοιλίας μαλακτικόν. κίκλαν [illegible] πολυ-
ποδίου. πλάσας ὄπτα. εἶτα καθάρας τὰ ἐντὸς λίτρ. β. δαυκ. ἀνίσου
σελίνου. σκολοπένδρεως. πάνακος ῥίζης. ἴρεως ἀνὰ < α. κνίδης σπέρματος
κεδρίδων ἀνὰ < β. σμύρνης < δ. ὀροβ. ἀλεύρου [illegible] < ιϛ. οἴνῳ
ἀναπλάσσε τροχίσκους. δίδου < α. μετὰ ὀξυμέλιτος καθ' ἑκάστην [illegible].
Ἄλλο. πάνακος ῥίζης. ἀμμωνιακοῦ θυμιάματος καππάρεως ῥίζης φλοιοῦ
σκολοπένδρου σκίλλης ὀπτῆς τὰ ἐντὸς ἴσα. δίδου ὀβολοὺς γ ἢ δ.
Τροχίσκος σπληνικοῖς
ποιεῖ ἀσθματικοῖς καὶ ὑδρωπικοῖς. Τροχίσκος σπληνικοῖς
ποιῶν ἄκρως. Κιννάμωμον? κορύμβων < η. ναρδοστάχυος < ε.
πηγάνου ἀγρίου σπέρματος < δ. κασσίας < α. ἴρεως < ϛ. ἀνα-
πλάσσε σὺν ὑλῷ(?) πόσιμος ὄξει ὀρθοῦ τροχίσκους. δίδου νήστει < α
μετὰ οἴνου παλαιοῦ ἐφ' ἡμέρας ε. κινεῖ οὖρα αἱματώδη. καὶ πρὸ
τῶν πινομένων φαρμάκων ἐπὶ τοσαῦτον.

## Περὶ φλεβοτομίας ὠφελούσης τὸν σπλῆνα.

Ἐγνωμεν δ' ἐπὶ τὸ ἐσκιρρωμένον ἔχοντων τὸν σπλῆνα καὶ ἀφαι-
ρέσει αἵματος μεταξὺ τοῦ μικροῦ δακτύλου τῆς ἀριστερᾶς χειρὸς
καὶ τοῦ παραμέσου ἄκρως προσοισκύαν. τινὲς καὶ τὴν ὄπισω
τοῦ ἀριστεροῦ ὠτὸς κειμένην φλέβα διαιροῦσι φησὶν ἀρχιγένης καὶ
ἐκ τοῦ ἀπορρέοντος αἵματος λαβόντες χρίουσι τὸν σπλῆνα καὶ μεγά-
λως ὠφελοῦσι. ταῦτα ποιοῦσι ἡ πᾶσι προσοιονθ' τοῖς λεγομένοις

τὴν

τὴν ὀπίσω δ' ἔξω τοῦ ὠτὸς φλέβα· οὐχ ἥττον σὺν καὶ τοῖς τοιούτοις
κεχρῆσθαι φησί· Πρόσεχειν δὲ χρὴ μὴ ἀρτηρίαν ἀντὶ φλεβὸς
διαιρεῖν· ἡμεῖς εἰώθαμεν ἐπὶ πολυαίμων σπληνικῶν τέμνειν
τὴν ἐν ἀριστερῷ ἀγκῶνι κατωτέραν φλέβα· παραφυλάττεσθαι χρὴ
μὴ συνδιαιρεῖν ὑποκειμένην ἀρτηρίαν· μετὰ φλεβοτομίαν καὶ
σικύας δεῖ προσβάλλειν σπληνὶ πολλάκις μετ' ἐγχαράξεως καὶ
ἐκχύσεως δι' αὐτῆς ἱκανοῦ αἵματος· Καὶ βδέλλας ἄκρως ποιοῦσι ἐπ'
αὐτοῦ κολλητέον τῷ σπληνὶ τόπῳ· πυριατέον τε σπόγγοις ἀποβρε-
χομένοις εἰς ὀξάλμην καὶ πιτυρίοις ὄξει ἑψημένοις συνεμβάλλοντα
καὶ ἀψινθίου κόμην καὶ γλήχωνος καὶ δάφνης φύλλα καὶ ὅμοια· τινὲς καὶ
μυλίτην λίθον ἢ γαγάτην, ὀκτωδάκτυλον κατὰ μῆκος, ἑξαδάκτυλον
κατὰ πλάτος, σκαφοειδῆ κατὰ τὸ σχῆμα πυρώσαντες καὶ περιρράναντες ὄξει
καὶ περιτιθέντες ῥάκος ὄξει βεβρεγμένον τῷ σπληνὶ ἐπέθηκαν τοῖς καὶ
εἰσάπαξ καὶ τοῦτο ἐφ' ὅσον θερμαίνει· καὶ μεθ' ὑδρελαίου· Τὰς δὲ πυρίας φησὶ
δεῖ γένεσθαι ὡς ἀναισθήτως τὸν ὄγκον σπασθῆναι· μετὰ δὲ τὰς πυρί-
ας τὰ καταπλάσματα δεῖ παραλαμβάνειν δι' ἀλεύρου κριθίνου
καὶ αἰρίνου καὶ ἀψινθίου κόμης καὶ μυροβαλάνου καὶ ἀλθαίας ῥίζης
σὺν ὀξυμέλιτι ἢ ἄρτον ξηρὸν μετὰ καππάρεως φλοιοῦ καὶ μυροβάλ-
κόψας σήσας ἑψήσας σὺν ὀξυμέλιτι ἐπίθες· ποιεῖ καλλ-
ιστα καὶ κόπρος αἰγὸς μετὰ κριθίνου ἀλεύρου καταπλαττομένη δι' ὀξυ-
κράτου, καὶ τὸ τῶν θέρμων ἄλευρον μετὰ ὀξυκράτου καὶ τὸ φάβα ὀμοί-
ως· καὶ σῦκα ἐν χαλκῷ μετὰ ὄξους· καὶ βρυωνίας ῥίζα μετὰ ἰσχάδ-
ων· καὶ ἄγρια μάλιστα κεκραμένη μετὰ
καὶ ὄξους καὶ κυκλαμίνου ὁμοίως· ἰσάτιδος φύλλα ὁμοίως· πράσιον μετὰ
μέλιτος ἐπιτιθέμενον ἰᾶται· κυκλάμινος μετὰ
κριθίνου σὺν ὀξυκράτῳ· καρδάμωμον μετὰ ἰσχάδων· Ἄλλο καταπλα-
σμα· καὶ φακὸς μετ' ὄξους· καὶ μετ' ἰσχάδων·
ὄξους ἑφθὴ καὶ μετ' ἰσχάδων· Τίτανος ℥ δ· ἐν ἄλλῳ ℥ δ· κριθίνου ἀλεύρου
ἄσμα κάλλιστον· ἰσχάδων λιπαρῶν λίτρ. α· περιστερεῶνος βο-
τάνης ℥ γ· καρδαμώμου ℥ α· ἰσχάδας ὄξει δριμυτάτῳ καὶ
τάνης ℥ α· ἀποβρέξας τὰς ἰσχάδας ὄξει δριμυτάτῳ καὶ ἑνώσας χρῶ·
κόψας ἐν ὅλμῳ ἐπίβαλε τὰ λοιπὰ λεῖα καὶ ἑνώσας χρῶ·
Ἄριστον καταπλασμα τοῦτο· Ῥαφανίδος σπέρματος μέρη β· ἰξὸς
φύλλα μέρος α· ἱεράκιον ἀλεύρου· σταφυλῖνου σπέρματος ἀνὰ μέρη β· ἑψεῖσθω
ὄξει καὶ ἐπιθήματι ἴσοις· Ἄλλο ἐπὶ τῶν χρονίων καὶ σκληρῶν σπλάγχνων·
Καππάρεως ῥίζης φλοιοῦ· στρουθίου ῥίζης σινήπεως πεπερ ἄρτου ἴσον
ἐλαίου· ἀλεύρου πυρίνου τὸ διπλάσιον τῶν ξηρῶν· χρῶ ὡς προείρηται·
Ἄλλο πρὸς τὰς σκληρίας, δόκιμον· ὀρνίθων κόπρον ξηρὰν κόψας
σήσας ἔψησον μετὰ ὀξυμέλιτος καταπλασσε θαρρῶν· Ἄλλο χρίσμα
κάλλιστον· ἀμμωνιακοῦ θυμιάματος λιβάνου σπέρματος φύλλα χλωρῶν· ἴσα
λεάνας μετὰ ὄξους ἐπίχριε τὰ ὕπατα καὶ ἕως ξηρανθῶσιν· Ἄλλο καλὸν
ὑπ' ἀφρίσαντος, ἐὰν μὴ περιαπολύσῃς· Ἀμμωνιακοῦ θυμιάματος λιβάνου πε-
περ. ἀνὰ ℥ α· ἐν ἄλλῳ ἀνὰ ἐξάγ. α· ἀμμωνιακὸν λεῖου ὄξει καὶ ὕλως τὰ λοι-
πὰ, χρῶ· Ἄλλο καλόν· ἀμμωνιακοῦ θυμιάματος ἀκακίας λιβάνου ἀν
℥ β

∠ β. ἐν ἄλλ. ἀν. ὀξέα β. ἀλόης ∠ α. ἐν ἄλλ. ὀξέα α. κυβάζεται δ' οὕτως·
βρέξον ἀμμωνιακόν, ἀλόην καὶ λίβανον ἐν ὄξει. ὅταν δὲ κόψας σή-
σας καὶ πληρώσας τὰ προῤῥηθέντα ἑνώσας πάντα χρῶ. ἐπιχρί-
εται ὠφελίμως καὶ κατάπλασμα μετ' ὄξους πολλάκις μετὰ τὸ δ' ἀφεῖσθαι
πρὶν ἀποξηρανθῇ. μᾶλλον δὲ τοῖς ὑποκειμένοις ἐμπιστεύειν
τὴν θεραπείαν. ὅσα δὲ τὰ πλεῖστα τῶν ἐν τοῖς φαρμακίτισι βιβλίοις ἀν-
αγεγραμμένων διὰ στυπτηρίας καὶ θείου συγκείμενα κατὰ κράτος ἔχον-
τα στυπτικὴν δύναμιν. πρόσεχε δ' αὐτοῖς ἢ ἁπλῶς τῇ δυνάμει μόνον
τῶν ἀναμεμιγμένων φαρμάκων. ἀλλὰ καὶ τῇ ποσότητι τῆς μίξεως. κατὰ μὲν
γὰρ τὰ πνευματώδη τῶν οἰδημάτων ἔχοντα ... καὶ μᾶλλον κατὰ τὰ οἰδη-
ματώδη, κἂν πολὺ τῶν στυπτηριωδῶν ἐμβάλῃς, οὐδὲν βλάψεις. κατὰ δὲ
τὰ σκιῤῥώδη, κατακρατεῖν μὲν προσήκει τὴν μαλακτικὴν καὶ διαφο-
ρητικὴν δύναμιν. ὀλίγον δ' αὐτῇ μεμῖχθαι τῆς στυφούσης. ἐν τούτοις
τῶν ἁπλῶν, τὸ κάλλιστον φάρμακον διαφορητικῆς καὶ στυφούσης ὑπάρ-
χον δυνάμεως ἀλόης ἄνθος, ἰᾶται ... ἐσκιῤῥωμένους φησὶν
ὁ γαληνὸς κατὰ ... ἔξωθεν αὐτῆς. ἐν κύστει βοείᾳ θερμὸν
ἐμβαλλόμενον. χρὴ μέντοι τὸν ἰατρὸν πρὸς διάθεσιν ἀφορῶντα προστι-
θέναι καὶ ἀφαιρεῖν τοῖς βαλλομένοις ἐν ταῖς κυβασίαις· οἷον ὑποδεί-
γματος χάριν μαλάξαι τὴν σκληρίαν βουλόμενος ἀμμωνιακοῦ καὶ βδελ-
λίου τὸ διπλοῦν καὶ στύρακα καλάμιτον, ὀξύτερον μίγνυε ἑκάστου ∠ γ.
τέμνειν δὲ βουλόμενος τὰ παχέα τῶν ὑγρῶν ἐπίβαλλε καὶ ὀποπάνακος
ἐν ἄλλ. καὶ κόστου τὸ ἴσον. ὅταν δὲ λύσῃ ... τῶν χυμῶν, προστί-
πλεκτὴν χρὴ τῶν διαφορητικῶν τῶν ὑποθερμαινόντων. ἢ ὄξει λεάνας αἰγείαν κο-
προν μίγνυε. τέμνει γὰρ ἅμα τὸ πάχος καὶ διαφορεῖ. εἰ δὲ διαφο-
ρεῖν βούλει προσθεὶς τῶν θερμαινόντων δηλονότι δεόντως τῶν ὑγρῶν, νίτρον ἀν-
τὶ τῆς αἰγείας κόπρου μίγνυε. καταπλάσσων δὲ φλοιὸς μιγνύμενος,
... τὸν σπλῆνα. ἀφορῶν οὖν
πρὸς τὰ ῥύπτειν καὶ τέμνειν καὶ ῥωννύον
πρὸς τὸ συμβαῖνον ἑκάστοτε, ἢ τὰ μαλάσσοντα κατ' ἰδίαν ἢ
τὰ λεπτύνοντα ἢ τὰ διαφοροῦντα καὶ ῥωννύντα. κάλλιστον δ' ὅσων
κατάπλασμα μαλακτικὸν καὶ διαφορητικόν. διαλύοντες τοὺς νοσο- διὰ
... σκληρίαν προσφάτων τόδε. κηροῦ
... χοιρείου στέατος ... καὶ ὀποπάνακος ἀν. ∠ δ. χρῶ. κο-
... β. χαλβάνης καὶ ... λύον τὰ ἔξω-
θεν ... φαρμάκων. ἄλλο μάλαγμα ... βδελλίου λιπαροῦ. στέατος μοσχείου. ἀμμω-
νιακοῦ θυμιάματος. ... ἴρεως ἀν. ∠ ιϛ. ἐν ἄλλ. ἀν. ∠ ιη. ὀποπάνακος
... στύρακος ἀν. ∠ η. προπόλεως. κηροῦ ∠ ρ. ἐν
χαλβάνης καὶ χρυσοῦ ... ἐν ἄλλ. ρξ. κηροῦ ∠ μη. ... σαρκοφάγου ὅσον ... ἐν
ἄλλ. β ς. οἴνου τὸ ἱκανόν. ξηρὰ κόπτεται ... ἀμμωνιακὸν λί-
βανον βδέλλιον διαλύεται οἴνῳ. τὰ δὲ τηκτὰ τήξας ...
καὶ ἀναμάλαξας χρῶ. εὐχερὴς δ' ἐστὶ μαλακτικὸς δυνά-
μεως ... γαληνός. οὐδὲ γὰρ ἂν εὕρῃς αὐτοῦ μαλακτικώτερον.
ἐστω δ' ἀποριώντες ἰρίνῳ, κυπρίνῳ ἢ σικυωνίῳ ἐχρήσαντο. ἕτε-
ρον μάλαγμα τὸ διὰ ... πρὸς τὰς ὑποχονδρίων διαθέσεις

διαθ

διαλύον καὶ πᾶσαν σκληρίαν· ποιεῖ δὲ καὶ πρὸς τὰ δυσκίνητα τῶν
ἄρθρων· τοῦτο ἧττον μὲν τῶν πολλῶν μαλάττει· μᾶλλον δὲ διαφορεῖ
ἔχει δὲ οὕτως·· ἀμμωνιακ θυμιάμ κηροῦ ἀν < λϛ· βδελ-
λίου ἀν < η· σμύρν· λιβάν· ἀν < δ· χαλβάν· < η· κυπρίν· ℥ ϛ·
σμύρνην βδέλλιον λίβανον προβρέξας οἴνῳ λείου· τὸ δὲ ἀμμωνιακὸν
ὄξει διάλυε· τὰ δὲ τηκτὰ τήξας ἐπίχει καὶ χρῶ·· Ἕτερον δὲ
πολλῷ τῶν προειρημένων δραστικώτερον καὶ ἰσχυρότερον ὥς φησιν ὁ Φι-
λάγριος· ἔστι γὰρ τμητικὸν καὶ λεπτυντικὸν τῶν προκεχυμένων
χυμῶν καὶ ῥυπτικὸν ἐπιχρῶν· τὸ δὲ μάλαγμα τοῦτο ἐσκεύασται-
αδου καὶ ἔχει οὕτως·· Ἀμμωνιακ θυμιάματος κηροῦ κολοφωνίας ἀνὰ λίτρας
λιβάν χαλβάν· σμύρν· ὀποπάνακος πάνακος ῥίζης προπόλεως ἐλά-
καὶ ῥητίνης ἀν ℥ ϛ· ἐν ἄλλῳ δὲ ἀν ℥ ϛ· ὄξους ξε β· αἰγείου στέατος ℥ ϛ·
τρίβε ἀμμωνιακὸν μετὰ ὄξους· εἶτα χαλβάνην λίβανον σμύρνην ὀποπά-
νακα· τὴν δὲ πρόπολιν μετὰ ὀλίγου κηροῦ διαμαλάξας· τῆκε δὲ κηρὸν
ῥητίνην μετὰ στέατος ℥ δ καὶ ἐλαίου ὀλίγον ἵνα συστραφῇ· εἶτα
ἐπίβαλε πρόπολιν καὶ ἄρας ἀπὸ τοῦ πυρὸς καὶ διηθήσας ἔα
ψυχθῆ καὶ ἀναξύσας ἐπίβαλε τοῖς λειωθεῖσι καὶ ἑνώσας χρῶ··
τὸ δὲ ὑπὸ ... συντεθὲν ἐπίθεμα φησὶν ὁ Φιλάγριος ἄριστον ἐστὶ
πρὸς χρονίας καὶ ψυχρὰς διαθέσεις·· μυροβάλανον ἀμμωνιακ
θυμιάμ βδελλίου κυπρίνου καππάρεως ῥίζης φλοιοῦ· ἁλὸς ἄνθους
ἀν < μη· μάννης κηροῦ ἀν < κδ· ὀποπάνακ· < η· στύρακ < δ· ὄξους
< ιβ· λείου ἀμμωνιακὸν σὺν τῷ ἁλὸς ἄνθει· κάππαριν μυροβάλανον·
μάνναν σὺν ὄξει· λοιπὰ μαλάξας πρὸς πυρὶ καὶ διηθήσας
ἐπίβαλε αὐτοῖς τὰ λειωθέντα καὶ ἑνώσας χρῶ· τὸ δὲ φάρμακον τη-
κει ἀπαλὸν·· Ἕτερον μάλαγμα Ἀμυθάονος καὶ Φιλαγρίου··
ἀμμωνιακ θυμιάμ λίτρ α· κηροῦ ℥ ε· βδελλίου ℥ γ· βρυωνίου·
λίτρ α ς'· ἴρεως ἰλλυρικῆς ℥ η· χαλβάνου λίτρ α· κηροῦ ℥ γ· ἀλό-
ης στύρακ ἀν ℥ β· στέατος χηνείου ℥ δ ς'· ὑσσώπου ὑγροῦ ℥ δ· φοι-
νίκων ℥ δ· νάρδου καὶ μυελοῦ ἐλαφείου τὸ ἀρκοῦν·· Ἕτερον πρὸς σπλ-
ηνικούς·· ἴυγγος ... βδέλλης ... φύλλ ἀν ἐξάγ δ· σχίνο-
... καὶ μαλάθου ... ἀν ἐξάγ β· σκολοπενδρ ℥ β· κα-
... ῥίζης κυκλαμίν ἀν < α· μυρσίνης φύλλ χλωρ ℥ γ· στα-
φίδ ... ἀν ℥ α· ἕψε ὁμοῦ πάντα μετὰ ὕδατος γλυ-
ἐξάγ α· ἀδιάντου καστορίου ἀν ℥ α·
κέων λίτρ η καὶ ὄξους δριμέος λίτρ μιᾶς μέχρις ἂν τὸ τέταρτον
ἐναπολειφθῇ· εἶτα διηθήσας ἐπίβαλε ἐν αὐτῷ διηθέντι ἀφε-
ψήματι μυροβαλάν ℥ β· ἐπιθύμ ἐξάγ γ· θύμου ἐξάγ β· κεκο-
μμένων τούτων καὶ σεσησμένων, ἔασον ἡμέραν ὅλην οὕτω βρέχεσθαι· ἐπ-
εἶτα διήθησον καὶ ἔμβαλε ἐν τῷ ἀποβρέγματι σάκχαρ λίτρ γ·
σάκχαρ ἕψε μέχρι συστάσεως· δίδου αὐτῷ ὅσον ἐξαρκεῖ·· Ἄλλο·
ἰσχάδων δρακοντίου ℥ γ· φλοιοῦ καππάρ· κενταυρίου λεπτοῦ πη-
πολέως ἀν ἐξάγ γ· ἀδιάντ ℥ β· ἄνθους χαμαιμήλου μηλωτ πολίου
ἀν ℥ α

ἀν οὐγγ. α. θείου οὐγγ. δ. ἕψε ὁμοῦ πάντα μετὰ ὕδατος θαλασσίου λιτρ. γ.
ὄξους λιτρ. δ. μέχρις ἂν ἐναπομείνωσι λίτραι β. εἶτα διηθήσας
κόψον ἐν ὅλμῳ τὰ ἑψηθέντα τὰ δ' εἴδη· εἰς ἀφέψημα αὐτῶν
ἐπίβαλε ἀμμωνιακοῦ γλαυκοῦ οὐγγ. ϛ. ἔασον διαλυθῆναι· μετὰ τὸ δια-
λυθῆναι ἔμβαλε ἐν αὐτῷ τὰ ἐρριμμένα εἴδη κεκομμένα· ἕψε δὲ
μαλακοῦ πυρός· ἕως ἂν γένηται ὡς ἐμπλαστρῶδες· εἶτα ἀ-
πλώσας εἰς δέρμα τομάριον αὐτό, ἐπιτίθει κατὰ σπλῆνα.
γενέσθω καὶ πυρία ἔχουσα οὕτως. Θύμου καλαμίνθης ὀριγάνου
ἀνὰ δραχ. β. θείου ἐκθλασθέντος οὐγγ. β. ὕδατος θαλασσίου καὶ ὄξους ἀνὰ
λιτρ. β. ἑψείσθω μέχρις ἡμισείας· πυριαζέσθω ἐκ τούτου ὁ σπλήν.
Ἄλλο. Πόρτις βοτάνη λευκὴ λεάνας μετὰ μάννης καὶ ἀναλαβὼν
ὀξυγγίῳ χοιρείῳ παλαιῷ, ἐπιτίθει. σκληρὰ γὰρ σώματα καὶ
χρόνιον ἔχοντα τὸ πάθος ὠφελεῖ τὰ μέγιστα. τὰ δ' ἄλλα καὶ ἰᾶται
παντελῶς. ποιεῖ καὶ καθ' ἑαυτὸν ὁ πόρτις βοὼν καταπλαττόμενος
καὶ χαμαίδρυς. Ἄλλο ἐπίθεμα ἀσκληπιάδου σπληνι-
κοῖς ὑπεκτήκει καὶ τοὺς ὄγκους. ἀκτῆς φύλλων ἁπαλῶν λιτρ. γ.
ἁλὸς λιπαρᾶς λιτρ. α. τρίβε μετὰ ὄξους καὶ λεάνας ἐμπλάσσε
εἰς ὀθόνιον καὶ ἐπιτίθει. ἐπὶ ἀρχομένων δέ, ἴσον ἑκάστου ἔμβα-
λε. Ἄλλο. Ἐρίκης καρποῦ χαλβάνης ἀνὰ λιτρ. α. κόψας
καρπὸν καὶ σήσας, ἀναλάμβανε τῇ χαλβάνῃ καὶ πάλιν κόπ-
τε παραπτόμενος ἰρίνῳ μύρῳ ἢ ῥοσάθμης ὡς μαλαγματώδη
γενέσθαι. εἶτ' ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει. Παρασκευά-
σας δὲ τὸ σπλάγχνον ὅλον καὶ τὰ κατ' αὐτὸ πορισώματα
καὶ τὰς ὁδοὺς ἐπιτηδείας διὰ τῶν μαλαττόντων ῥυπτόντων τεμνόντων
λεπτυνόντων καὶ χεόντων τὰ ὑγρά· ἔτι τε τὰς ὁδοὺς ἀνευρυ-
νόντων διὰ τῶν πινομένων καὶ τῶν ἔξωθεν ἐπιτιθεμένων χρῆσθαι τοῖς δια-
[illegible]ως κενοῦν δυναμένοις. πρῶτον ἁπλουστέροις· ἔπειτα καὶ
τοῖς ἰσχυροτέροις· οἷον, πρῶτον δίδου ἐπιθύμου < δ. μετὰ ὀρροῦ γά-
λακτος κοτυλῶν ε̄. δίδου καὶ τὰς δ < τοῦ ἐπιθύμου λειοτάτου μετὰ
ὀλίγου ὀρροῦ· ὅταν ἄρξηται ἡ γαστὴρ ἐκζεῖν, δίδου ὀρρὸν καθ' αὐτὸν
μετὰ βραχύ. μεθ' ἡμέρας τινὰς ἀναλαβὼν τὰς δυνάμεις δίδου τὴν
διὰ κολοκυνθίδος ἱερὰν ἀρχιγένους ἢ τὴν ἱερὰν Ἰούστου· ἐφ' οἷς ἅ-
πασι δίδου τῆς κυκλαμίνου ῥίζης λειοτάτης ξηρᾶς < γ̄ ἢ δ̄ μετὰ με-
λικράτου· συμβάλλει ἡ τῶν ἱδρώτων ἔκκρισις διὰ καταπασμάτων καὶ
θάλψεων ἐν τῇ κλίνῃ. Ἐπιθέματα διαφοροῦντα καὶ ἀνα-
ξηραίνοντα. Μετὰ τὸ καθαρθῆναι τὸ σῶμα χρῆσθαι δεῖ
τοῖς διαφορεῖν καὶ ἀναξηραίνειν δυναμένοις ἐπιθέμασιν, οἷα δὴ
ἀρσενικὸν καὶ στυπτηρίαν συντιθέμενα· ἐξ ὧν ἐστιν ᾧ ἐγὼ χρῶμαι
ὃν καὶ ὁ Φιλάγριος· ἔχει οὕτως. Κηροῦ τυρρηνικοῦ < π. ἐν ἄλλῳ
< ξ. πιτυίνης ξηρᾶς ῥητίνης πιτυίνης ὑγρᾶς ἀν < ϛ̄ ἀρ-

σελινου ∠ ϛ. ἐν ἄλλ(ῳ) ∠ ιϛ. στυπτηρίας σχιστῆς ∠ ιβ. λειώσας
μετ᾽ ἀλλ(ήλων) καὶ τήξας τὰ τηκτὰ σὺν ὀλίγῳ ἐλαίῳ καὶ ψύξας, ἐπίβαλε
καὶ ἑνώσας χρῶ. Ἄλλο χρυσίζον Ἀσκληπιάδου πάνυ καλόν.
Κηροῦ, πιτυίνης ξηρᾶς ἀν(ὰ) λίτ(ρας) β. ἀρσενικοῦ, στυπτηρίας σχιστῆς
ἀν(ὰ) οὐγγ(ίας) β. ἀσβέστου οὐγγ(ίαν) α. ἐλαίου κυπρίνου καὶ ὄξους ἀν(ὰ) οὐγγ(ίας) ιϛ. Ἄλλο ἀπ-
ουλωτικὸν ἡπατικόν. Στυπτηρίας ὑγρᾶς, θείου ἀπύρου, νίτρου, ἀμμωνιακοῦ
θυμιάματος, μάννης, καππάρεως ῥίζης φλοιοῦ ἀν(ὰ) οὐγγ(ίας) ϛ. πίσσης, πιτυίνης
ξηρᾶς ἀν(ὰ) λίτ(ραν) α. κυπρίνου οὐγγ(ίας) ϛ. ὄξους τὸ ἀρκοῦν. Ἄλλο ἐπίθεμα ἡπα-
τικὸν ἐξηπατήριον ὀνομαζόμενον. Ἰσάμενον διαφορητικὸν καὶ διὰ
τὸ ξηραίνειν προσθεῖναι τοὺς ὄγκους τοὺς ἐξηπατήρια λέγονται.
... δι᾽ ὃ ἔχει στυπτηρίαν καὶ θεῖον. Σκευάζεται δ᾽ οὕτως. Πιτυί-
νης ξηρᾶς, στυπτηρίας ὑγρᾶς, νίτρου, θείου ἀπύρου, μάννης ἀν(ὰ) λίτ(ραν) α.
κηροῦ, πίσσης ἀν(ὰ) λίτ(ρας) β. ἀλόης οὐγγ(ίας) ϛ. πυρέθρου, ἀριστολοχίας, βδελλίου,
ἀμμωνιακοῦ θυμιάματος, ἀμώμου, ἴρεως, καρδαμώμου, ἐλαίου ἀν(ὰ) οὐγγ(ίας) γ. ἐν ἄλλ(ῳ)
ἀν(ὰ) ∠ γ. ὄξους ξέ(στης) α ∟. λείου ἀμμωνιακὸν, στυπτηρίαν, θεῖον, νίτρον σὺν
τῷ ὄξει. τὰ λοιπὰ τὰ ξηρὰ κόψας, μίξον τοῖς λειουμένοις. τὰ τακτὰ
τήξας ἀναλάμβανε. Ποιεῖ καλῶς ἐπὶ αὐτοῦ καὶ τὸ διὰ ἀνθρακίων,
καὶ πλεῖστα τῶν ἀναγεγραμμένων ἐφ᾽ ὑδρωπικῶν καὶ ἡ Μαχαιρίωνος ἔμ-
πλαστρος καὶ ἡ διὰ λαπάθου. κεῖνται ἐν τῷ ιε λόγῳ. Ἔμπραχ-
τος δ᾽ ὑποληπτέον ἐπὶ αὐτῶν οἱ φοινιγμοί. οἱ διὰ νάπυος καὶ παρα-
πλήσιοι. ἀπορρίπτει οὗτος σώματος παραλαμβάνεται αὐτοὺς χρῆ.
Κάλλιστος ὁ δὲ φοινιγμὸς Ἀσκληπιάδου αὐθήμερον ἐπιγραφόμενος
ἀπαμαυρωτικὸς τῆς ὅλης διαθέσεως. Πυρέθρου ∠ η. μυροβαλάνου,
καρδαμώμου, κνίδης σπέρματος, πεπέρεως ἀν(ὰ) ∠ η. ἢ γάστρου οὐγγ(ίας) δ. ταῦτα
λεάνας καὶ ὄξει φυράσας καὶ ... ἀνας ἐπιτίθει ἐν διαλείμματι
ἐφ᾽ ὥρας γ. εἰ δυνατὸν ὑπομένειν τὸν νοσοῦντα. εἶτα ἄρας φάρμα-
κον, λάβε ἀπὸ παρακειμένου ζεστοῦ ἐμβάσει χρώμενον. μετὰ βαλανεῖον
χρησθαι κηρωτῇ ἐσκευασμένῃ διὰ ἐρεθίνου. Ἄλλο λεπίδιον φύλ-
λα λεάνας κατάπλασσε καὶ ὅταν ἤδη δάκνωνται νοσοῦντες, εἰσάγα-
γὼν αὐτοὺς εἰς βαλανεῖον καὶ ἄρας φάρμακον, εἰς ζεστὸν ἐμβίβα-
ζε ὕδωρ καὶ κατάχεε. δυσαναλεπτοῦσι γὰρ ὑπερδακνόμενοι. ὑγιεῖς
δὲ φησὶν ἐξιᾶσιν ἐκ λουτροῦ. τὸ αὐτὸ ποιεῖ καὶ ἰσχιαδικοῖς.
Ἀκρως δὲ ποιεῖ καὶ μυροβαλάνου λεπτὸν χνοῦν καὶ νίτρον τὸ ἴσον λε-
άνας κατ᾽ ἰδίαν καὶ ὄξει ὀλίγῳ φυράσας. ῥητίνην καὶ κηρὸν μετ᾽ ὀλί-
γου ἐλαίου τήξας ἐπίθες καὶ μαλάξας χρῶ. γινώσκειν χρὴ ὡς ἰσχυρὰ
τὰ φάρμακα ὑποπτεύω καὶ ἀποβλέπω ὅτι τὸ σῶμα δεῖ προσαίρειν.
Φοινιγμὸς πρὸς ἀτονίαν. Λαβὼν καρύας δένδρου τὸν φλοιὸν πλά-
τους μὲν δακτύλων τριῶν, μήκους δ᾽ ὅσον ὁ πάσχων ἔχει, ξύσας ὀλί-
γον τοῦ ἐπιφανείου αὐτοῦ τὸ ἐκτὸς ὅλως, οὗ γένηται ὡς οἷον ἄρ-
της καὶ βρέξας αὐτὸ εἰς δριμύτατον ὄξος ὥρας β. ἐπιτίθει ...
πάσχων καὶ φασκίωσον καὶ ἀφαίρει ὥρας τρεῖς, ἢ καὶ ὅσας δύναται
φέρειν ὁ νοσῶν καὶ λύσας εὑρήσεις διακεχυμένην τὴν ... καὶ
... τὸ φοινιγμὸν. Ῥύμματα ἤτοι σμήγματα. Ἐρεθίζειν



Marginal note: περὶ πυρέτων

τὸν τόπον χρὴ καὶ βραχὺ ἀνέχεσθαι τῶν φοινιγμῶν. δυνήσῃ δὲ τοῦτο ποιεῖν διὰ ῥυμμάτων, συντιθέσθω σμήγματα διὰ σταφίδος ἀγρίας, πυρέθρου, πεπέρεως, ἀλκυονίου ἴσον ἢ ἀνίσων καθ' ὃ ἂν δοκιμάσῃς ἔσωθεν ἐμβαλλομένων. εἰ δ' ἀπαλόχρως εἴη ὁ κάμνων μιγνύσθω τοῖς ἴρεως καὶ κυπέρου καὶ βράθυος ἤ τινος ἄλλου, οἷον στρουθίου κυάμων ἐρεβίνθων· τούτων δὲ λεγομένων ποιήσεις φαρμάκων χαλάσας τι καὶ φύλλα καὶ ἀμώμου προσβαλών. εὐκρινέστερον δ' ὑποχωροῦντος τοῦ διαπνεομένου σώματος, κηρωτῇ ῥοδίνῃ ἐμβαλὼν καὶ ἀδιάρκτου καὶ ἐλαίῳ χρήσῃ τοῖς διὰ νάπυος καὶ τοῖς προειρημένοις φοινιγμοῖς ἀποτρίψεις ὅλου τοῦ παντὸς σώματος· ὅπως μὴ τὸ σφοδρὸν τῆς θερμασίας ἀναπαύσηται περὶ τὸ σῶμα τὰ ἔξω καὶ σκληρότερον ἐργάζηται τὴν ὄψιν.

## Περὶ καύσεως ὀφθαλμοῦ. κεφάλ. ιβʹ.

Εἰ δ' οὐ τούτοις διὰ τῶν προειρημένων βοηθημάτων ἐπιμελείας, παραγίνεσθαι χρὴ ἐπὶ τὴν καῦσιν ἢ τὴν διὰ καυστήρων, τὰς σφαίρας ἐμβάλλοντα, ἢ διὰ φαρμάκων· καὶ πολλῷ χρόνῳ ἑξῆς χωρισμὸς τῶν ἐσχαρῶν γινέσθω. προκενούσθω σῶμα διὰ φλεβοτομίας καὶ καθάρσεως· κακοχύμων γὰρ ὡς ἐπίπαν τυγχανόντων ὀφθαλμικῶν, εἰ μὴ προκενωθῇ τὸ σύμπαν σῶμα, κακοήθη τὰ ἐκ τῶν ἐσχαρῶν ἕλκη γίνονται.

## Δίαιτα ὀφθαλμικῶν. κεφάλ. ιγʹ.

Ἡ δίαιτα ἐν φλεγμονῆς καιρῷ, ἁπλῆ καὶ λεπτὴ καὶ τοιαύτη ἔστω· οἷον χόνδρος πλυτὸς καὶ πτισάνης χυλός· ἄρτος διὰ θερμοῦ. εἰ δὲ χρονίζει φλεγμονὴ συγχωρητέον καὶ σαρκῶν ὀρνίθων μεταλαμβάνειν καὶ ἰχθύων πετραίων. σιτίων δ' ἀποσχέσθωσαν τῶν λεπτῶν χυμῶν διὰ τὰ παραλαμβανέσθω· καὶ δριμυφαγία ἐκ διαφόρων σκευασμάτων. ἰδίως μέντοι κάππαρις ἐσθιομένη μετ' ὀξυμέλιτος ἁρμόζει τοῖς ὀφθαλμικοῖς. οἶνος ἔστω μὴ πάνυ παλαιός. κιρνάσθω ὕδατι ἐν ᾧ ἀπεσβέσθη σίδηρος πολλάκις πεπυρακτωμένος. τὸ πλεῖον γυμνασίοις πεσόντων χρώμενοι αὐτοῖς τῶν τροφῶν ἀθροίζουσιν ὅλου σώματος. ταῦτα πλεοναστικῶς ἐν περιπάτοις καὶ διαίταις. καὶ τινὲς οἳ δ' ἐκ μόνων τοῦ τ' ἀπλασμένους τῆς διαθέσεως καὶ ἀνώρια πάσχουσι μὲν ὑπὸ τῆς διαθέσεως ἰδίως δ' ἡ ἐπὶ ἵππου. δῆλον δὲ ὡς καὶ ἀναφωνήσεις εὐκαίρως παραλαμβανόμεναι, ἄκρως αὐτοὺς ὠφελοῦσι.

## Ἐπιμέλεια ἐφ' ὧν ὁ ὀφθαλμὸς ψυχρὰν ἔχει δυσκρασίαν ἢ δὲ ξηρὰν θερμήν. κεφάλ. ιδʹ.

Ἐπίστασθαι δ' ἀναγκαῖον, ὡς ἐνίων ὀφθαλμοὶ ψυχρὰν κέκτηνται δυσκρασίαν καὶ διὰ τοῦτο δέονται θερμαίνειν δυναμένων. ἐκχεῖται

ἡ γαστὴρ τὴν ἐναντίαν αὐτῆς πάσχουσα δυσκρασίαν· ἢ καὶ
χωρίς τινος οἰκείου πάθους δέχεται ἐκ τοῦ χοληδόχου πόρου τὴν
ξανθὴν χολήν· κἂν τοῦτο πολλάκις κατὰ τὴν γινομένην δυσπεψ-
ίαν καὶ διαφθορὰ ὁ σπλὴν βλάπτεται· ὅτι γὰρ ὁλοψυχίας αἰ-
σθήσεως γινομένης μετὰ βάρους περὶ σπλῆνα ἡ γαστὴρ χολώδης ἐ-
μέτων ἐκκρινεῖ· τινὰ καὶ ταῦτα μὲν οὖν ἡμῖν ἡ θεραπεία παρα-
τάττη καὶ δυσέφικτος γίνεται τοῦ μὲν σπληνὸς θάλπεσθαι κατα-
ναγκάζοντος· τῆς δὲ κοιλίας ἢ καὶ τοῦ παντὸς σώματος ψύχεσθαι
δεομένων καθ' ἕνα καὶ τὸν αὐτὸν καιρόν· ὅπως οὖν ὡς ἐνὶ μάλι-
στα διαφύγοιεν τὴν ἑκατέρου τοῦ πάσχοντος βλάβην πειρᾶσθαι,
καθ' ὅσον οἷόν τε ἐστὶν ἀπάγειν αὐτοὺς ἀπὸ λύπης καὶ φροντί-
δος καὶ θυμοῦ καὶ σφοδρῶν κινήσεων· καὶ πολλῶν ἀσιτιῶν καὶ
κακοσιτιῶν· ἅμα μὲν τῇ κενώσει τὸν χολώδη χυμὸν διὰ τῶν
ἀλύπως καθαιρόντων φαρμάκων· στηρίζειν δὲ καὶ ῥωννύειν τὸ
στόμα τῆς γαστρὸς ὅπως μὴ δέχοιτό τι τῶν ἐπιρρεόντων εἰς αὐτὸ ἐκ
τοῦ ὅλου σώματος· ἀλλ' ἡ στήριξις αὐτῆς διὰ τῶν δυσφθάρτων
γίνεται· περὶ ὧν ἐν δευτέρῳ λόγῳ προείρηται· ἀρκέσει δ' αὐτοῖς
ποτὲ ἄρτον προσενέγκασθαι βραχὺ σὺν ἐλαίαις λευκαῖς ἢ κολυμ-
βάσιν διψᾷ τὸ πίνειν ἐὰν βραδύνωσιν κατὰ τὸ λουτρὸν καὶ
τὸ ἄριστον πρὸς τὸ μὴ ἐκχολοῦσθαι· βέλτιον δ' ἐστὶν εἰ πρὶν ἐκχο-
λοῦσθαι λύοιντο ἀσιτίαν· μετὰ ἄριστον δὲ σιτία διδόσθω σύμμετρα
τῇ ποσότητι καὶ ποιότητι· ἀλλ' ὅπως ὁ σπλὴν ἀβλαβὴς δια-
μένοι προσήκει τι τῶν ψυχομένων καὶ θερμῶν μετ' εὐστομίαν διδόναι
πρὸ τοῦ· καὶ ἁπλῶς ὅλως κατὰ διδόναι ἕκαστον ταῖς εὐστομίαις καὶ δυνα-
μένα ψυχρά· οἷον θριδακίνην καὶ σέριν ψυχρὸν καὶ ὅμοια· προϋπο-
στρωννύμενα γὰρ τοῖς ψυχροῖς τὰ μὴ ψύχοντα ἀβλαβῆ σπλῆ-
να διαφυλάττει ἐκ τῶν ὕστερον προσφερομένων ψυχρῶν ἐξ ὧν
ῥώννυται τὸ στόμα γαστρὸς καὶ ἐπανορθοῦται ἡ ἐν αὐτῇ θερμὴ
δυσκρασία· κάλλιστον οὖν ἐκ πάντων ῥοιὰν λαμβάνειν
ἢ μήλων ἢ ἀπίων βραχύ· ἤ τινος τῶν εὐστομάχων· ὁμοίως δὲ καὶ
μετὰ δεῖπνα διαίταν· προσήκει δὲ καὶ διὰ τῶν ἔξωθεν ἐπιθε-
μάτων βοηθεῖν τοῖς οὕτω διακειμένοις· ψυχρὰ δ' ἔξωθεν κοιλίᾳ
ἀβλαβῶς, μήλινον ἔλαιον καὶ ῥόδινον ἅτε δὴ αὐτῶν κηρωτὴ
προσλαβόντα φύλλα μαστίχης ὀλίγον καὶ ποτὲ ὀμφακίου· ἡ μὲν οὖν θερ-
μὴ κοιλία διὰ τῶν εἰρημένων παραμυθεῖται· τῷ δὲ σπληνὶ προσ-
άγειν τὰ θερμαίνοντα οἷά ἐστι πολυάρχα καὶ τὰ ἀτταλικά·

Ἐπιμέλεια τῶν ὑπὸ βηχὸς ἐνοχλουμένων τοῖς σπληνικοῖς· κεφάλαιον ιε·

Εἰ δὲ συμβῇ ὑπὸ βηχὸς ἐνοχλεῖσθαι τοὺς σπληνικούς· εἰ μὲν ὁμογενῆ
τὰ πάθη τύχοι κατὰ ἀμφότερα τὰ σπλάγχνα· ὥσπερ εἰ τύχοι τοῦ τε

σπληνὸς

ἐπ' ἄλλου

σπλῆνα καὶ τὸν πνεύμονα κατὰ καιρὸν πάσχουσι, καὶ γλίσχροις χυμοῖς ὑγροῖς ἢ ἄλλῳ τινὶ ψυχρῷ νοσήματι κατέχονται· τὸ διὰ τοῦ ὄξους πρὸς διαφορητικὸν ἐστὶ φάρμακον, σφόδρα ὠφελεῖ μάλιστα τὸν τοῦ σπληνὸς καὶ τοὺς ὑδεριῶντας ἢ ἀσθματικοὺς οἱ αὐτὸ ἀδεῖ(?)· εἰ μὲν οὖν ὅμοια τὰ πάθη τύχοι, τοῖς ὁμοίοις ἰᾶσθαι συμφέρει· διαφόρων δ' ὄντων αὐτῶν, διαφόροις φαρμάκοις χρηστέον· οἷον αὐτίκα τοῦ μὲν σπληνὸς ὑπὸ πάχους καὶ γλίσχροις καὶ ψυχροῖς ὑγροῖς κάμνοντος, τῆς δὲ βηχὸς ὑπὸ λεπτοῦ καὶ δριμέος κατάρρου γινομένης· εἰ μὲν οὖν γένηται καὶ μὴ σφόδρα κατεπείγοι ὁ κατάρρους, ἀπέχεσθαι συμφέρει τῶν παχυνόντων τὸ ῥεῦμα φαρμάκων· οἷον ἐστὶ τό τε διὰ κωδυῶν καὶ τὸ διὰ σπέρματος τεῦχος καὶ τὰ ὅμοια· σφοδροτέρου δ' ὄντος τοῦ κατάρρου καὶ δριμέος, καὶ κίνδυνον ἔχοντος τοῦ πνεύμονος ἀπολοῦντος, χρῆσθαι μὲν τῷ διὰ κωδυῶν· ἐπιτίθεσθαι δὲ ἐπὶ τοῦ σπληνὸς τὰ λεπτύνοντα τῶν ἐπιθεμάτων· ἀνάγκης μὲν οὔσης μεγάλης μὴ ἐπικειμένης, τῶν μὲν ναρκωτικῶν ἀφεκτέον· ἐπιτιθέναι δὲ τῇ κεφαλῇ σὺν ὀξυροδίνῳ γλοιώδη ποιούμενον τῶν διὰ σπερμάτων τινὰ τεύχων· βέλτια δ' αὐτῶν εἰσὶ πρὸς τὴν τοιαύτην χρείαν οἱ κροκώδεις ὀνομαζόμενοι· λειωθέντων γὰρ μετ' ὄξους καὶ ῥοδίνου εἰς γλοιώδη σύστασιν καὶ ἀναληφθέντων πτύγματι ἐρίου καὶ ἐπιτιθέμενοι ἐπὶ τοῦ βρέγματος, παχύνουσι τὸ λεπτὸν τοῦ ῥεύματος, ἅμα τοῦ διαχεῖν τε καὶ δριμεῖαν ἐν κεφαλῇ ἐπιψύχειν ποιότητα· παύουσι τε καὶ τὰς βῆχας καὶ ὕπνον ἡδὺν ἐμποιοῦσι. ὠφελεῖ δὲ μετὰ τοῦτο τοὺς βήττοντας ἅμα τῷ κεκακῶσθαι τὸν σπλῆνα καὶ θηριακὴ πινομένη νεωστὶ ἐσκευασμένη διὰ τὸ ὄπιον.

Ἐπιμέλεια ἐφ' ὧν μείζων σφόδρα ἐστὶν ὁ σπλὴν καὶ σκληρός. κεφάλ. ιϛ'.

Ἔνιοι σπληνικῶν ἀμέτρως ηὐξημένον ἔχουσι τὸν σπλῆνα ὡς μὴ μόνον ἤπατος ψαύειν καὶ βουβώνων, ἀλλὰ καὶ κυρτοῦσθαι διὰ τὴν στένωσιν, καὶ τὴν ἐν καρδίᾳ ζωτικὴν δύναμιν βλάπτειν μεγάλως καὶ εἰς ἀσθένειαν ἄγειν· ὥστε ψυχόμενον τὸ πᾶν σῶμα δηλοῦται καὶ τὸ ἧπαρ, τὸ αἷμα λεπτότατον καὶ ὑδαρέστατον τῆς αὐτῶν γίνεσθαι· τούτους μάλιστα μὲν παραιτεῖσθαι τὴν θεραπείαν· ἀναγκασθέντες δὲ προνοεῖσθαι ἀπὸ τῶν ἀμυδροτέρων ἄρχεσθαι βοηθημάτων προλέγοντες ἐπικινδύνως αὐτοὺς ἔχειν· μήτε δὲ φαρμάκοις σφοδροῖς ἔνδοθεν ἢ ἔξωθεν προσφέρειν μήτε κινεῖσθαι ἀθρόαν τινά, ἀλλὰ κατὰ βραχὺ τοῖς ἁπλουστέροις χρωμένους τοῖς δὲ διὰ στόματος καὶ τοῖς ἔξωθεν ἀναλαβόντων ὡς οἷόν τε διὰ τῆς κατ' ἄλλην διαίτης τὴν τῆς δυνάμεως ἀρρωστίαν, εἶτα ἐπὶ τὸ κρεῖττον προκόπτοντας αὐτοὺς θεασώμεθα, ἰσχυροτέροις χρησόμεθα βοηθήμασι κατὰ βραχὺ προστιθέντες αὐτά.

πξ

## Περὶ ἰκτέρου ἐκ τῶν Ρούφου καὶ Γαληνοῦ

### κεφάλαιον ιζ'.

Ἴκτερος ὀνομάζεται ἀπὸ ἐμφερείας τῆς πρὸς τὸ ζῶον ὃ καλεῖται ἴκτις· ἔστι δ' ἀγρία γαλῆ χρυσίζοντας ἔχουσα ὀφθαλμούς. ἴκτερος δέ ἐστιν ἀνάχυσις περὶ τὸ σῶμα τοῦ χολώδους χυμοῦ· τῆς διακριτικῆς δυνάμεως ἢ τῷ νικηθῆναι καὶ διαχωρίζειν καὶ διαπέμπειν εἰς τὰς συνήθεις ἐκκρίσεις οὐ δυναμένης· καὶ διαπεπέμφθαι τὴν ἁπλῆν τοῦ ἥπατος εἶναι διάθεσιν· καὶ παντελῶς δ' ἁπλῆ τις ὁ ἴκτερος ἥπατος εἶναι διάθεσις τῶν ἰκτερικῶν· ὁρᾶται γὰρ πολλάκις μηδενὸς προσόντος τῷ ἥπατι καὶ τὸ δέρμα γινόμενον ἐν ταῖς κρισίμοις ὤχρας ἀνάχυσι, καὶ χωρὶς πυρετοῦ ἐνίοτε ἐκχεομένου τῶν νοσημάτων· ὁρᾶται καὶ χωρὶς πυρετοῦ ἐνίοτε ἐκχεόμενον ἀλλόκοτον ὁποῖα λέγομεν τὸ αἷμα κατά τινα διαφθορὰν ἀλλόκοτον· ὁποία καὶ ἰοβόλων θηρίων δακόντων γίνεται· δηχθείς γάρ τις ὑπὸ ἐχίδνης τὴν χρόαν ὅλου σώματος ἐξ ἐμπλάστρου(?) νοσῶν καὶ πίνων ἐχίδνης τὴν θηριακήν, τάχιστα ἰάθη. θαυμαστὸν οὖν οὐδὲν συνεχῶς τὴν θηριακήν, τάχιστα ἰάθη· θαυμαστὸν οὖν οὐδὲν τῇ αὐτῇ συμβαίνει πολλάκις ὡς ἰκτεριώδεις τὸ χρῶμα γίνεσθαι· καὶ ἀλλοίωσιν τῆς κατὰ φύσιν κρά-σεως τοῦ ἥπατος ἀλλοιωθῆναι τῆς κατὰ φύσιν κρασεως τὸν τοιαύτην γενέσθαι κακοχυμίαν· καὶ φαίνεται σαφῶς ἐνίοτε ὅμοιον ὠχρολευκότεροις πόαις ὅλον σῶμα γινόμενον· ἐνίοτε μολιβδώδη ὥσπερ καὶ διὰ σπλῆνα τοιαῦται γίνονται χροιαί· μελαίνεσθαι τὰ ἐν ἥπατι· ἀτονοῦντος δηλονότι σπληνὸς καὶ μὴ ἕλκειν εἰς ἑαυτὸν ἐκ τοῦ ἥπατος τὸν μελαγχολικὸν κατὰ συνήθειαν ἕλκειν εἰς ἑαυτὸν ἐκ τοῦ ἥπατος τὸν μελαγχολικὸν χυμὸν καὶ ἐκκαθαίρειν τὸ αἷμα· γενήσεται δὲ καὶ ἴκτερος καὶ δι' ἀτονίαν τῆς χοληδόχου κύστεως ἕλκειν εἰς ἑαυτὴν τὸ χολῶδες κατὰ συνήθειαν καὶ ταύτης μὴ δυναμένης· ἐκχωρεῖ δὲ καὶ πληρωθείσης τὴν χοληδόχον κύστιν μὴ δύνασθαι κενωθῆναι διὰ τὴν ἔμφραξιν ἢ ἀτονίαν τῆς εἰς ἔντερα ὑπερπλήρωσιν· πολλάκις δι' ἔμφραξιν ἢ ἀτονίαν τῆς εἰς ἥπαρ ἐκ τῶν ἀναστομουμένων ἀγγείων ὀχετεύει τὸ χολῶδες ὑγρόν ἀναφερόμενον· ἐπισκεπτέον τοίνυν ἐν τοῖς ἰκτερικοῖς παθήμασι τὴν τῶν διαχωρουμένων ἰδέαν· ἐπὶ ἐνίων μὲν γὰρ ἰκανῶς ταῦτα ὀξεῖ τῷ διαχωρουμένων ἰδέαν φαίνονται κεχρωσμένα τῇ ξανθῇ χολῇ διαχωρήματα φαίνονται καὶ θαυμαστῶς κεχρωσμένα τῇ ξανθῇ χολῇ· καὶ ἐφ' ὧν μὲν λέγω κρίσεως ἀγαθῆς ἐν πυρετοῖς ταῦτα· ἐφ' ὧν γὰρ λέγω κρίσεσιν ἀγαθαῖς ἐν πυρετοῖς ἀποκριθεὶς ὁ χολώδης χυμὸς πρὸς τὸ δέρμα διαχωρεῖται καὶ ἄχρα κατὰ φύσιν ἔχειν φαίνονται· ὅτε δ' ἀπύρετοις ἀγαθαῖς καὶ ὤχρα κατὰ φύσιν ἔχειν φαίνονται. ὅτις δ' ἀπυρέτοις ἀγαθὰ ἴκτερος ἐστὶ βάρους τινὸς αἴσθησιν εἶναι κατὰ δεξιὸν ὑποχόνδριον ἴκτερος ἐστὶ βάρους τινὸς αἴσθησις εἶναι κατὰ δεξιὸν ὑποχόνδριον· ὅσοις δὲ νόσοι ἔμφραξιν ἢ πλείον εἶναι τῆς χοληδόχου κύστεως· ὅσοις δὲ ἐμφράξεων ἢ πλεῖον εἶναι τῆς χοληδόχου κύστεως, τῶν αὐτῶν βάρους ἢ ὀδύνης αἴσθησιν περὶ τὸ ὑποχόνδριον γένηται, τῶν αὐτῶν βάρους ἢ ὀδύνης αἴσθησις περὶ ὑποχόνδριον· μήτε δ' ὀδύνης μήτε ναι αἴτιον τῆς κακοχυμίας εἶναι νομιστέον· μήτε δ' ὀδύνης μήτε βάρους αἰσθήσεως γινομένης περὶ τὰ ὑποχόνδρια μήτε πυρετοῦ βάρους αἰσθήσεως γινομένης περὶ τὰ ὑποχόνδρια μήτε πυρετοῦ

περι-

πεπηγνυμένου, τοῦ αἵματος ἐν παντὶ τῷ σώματι πρὸς χολῶδες με-
τραπέντος ὁ ἴκτερος γίνεται· κυανοειδέστερον δὲ μᾶλλον
τούτοις γίνεται δέρμα καὶ ξηρότερον· ἐφ' ὧν δὲ μελαγχολικὸς
χυμὸς συνανεδόθη τῷ αἵματι, χαλεπώτερον ἔχουσιν οἱ τοιοῦτοι·
παρακολουθεῖ γὰρ αὐτοῖς δυσθυμία, ἀπορία, ἄλγησις καὶ δῆξις περὶ
τὴν καρδίαν· δύσπνοιά τε καὶ ἀποστροφὴ πρὸς τὰ σιτία· καὶ
μελάνων οὔρων ἐκκρίσεις· ἔνιοι δὲ καὶ χλιαίνονται ἐκ διαλει-
μμάτων τινῶν τὸ σῶμα· τὰ δὲ σκύβαλα μελανίζει
κατὰ τὴν χροιὰν καὶ μᾶλλον τούτοις ξηραίνεται ἡ κοιλία· τοῖς
δὲ δι' ὠχρὰν χολὴν γινομένοις ἰκτερικοῖς, δῆξις μὲν οὐδεμία τῆς
περὶ καρδίαν συνεδρεύει· ἀλλ' οὐδὲ τοιαύτη ἀποστροφὴ πρὸς
τὰ σιτία· ἀμβλυτέρα μέντοι πως ποσὸν γίνεται ἡ τῶν σιτίων
ὄρεξις· καὶ τὰ μὲν σκύβαλα λευκὰ ἐκδίδοται· τὰ δ' οὖρα κρο-
κίζοντα· ἀλγοῦσι μέντοι δακνόμενοι· κοινῶς δὲ πᾶσι τοῖς
ἰκτερικοῖς συμβαίνει, ὄκνος πρὸς τὰς κινήσεις· καὶ πρὸς μὲν γλυ-
κέας τροφὰς ἀλλοτρίως ἔχουσι· τὰς δὲ πικρὰς οὐ πάνυ ἀ-
ποστρέφονται· καὶ πεφαντασιωμένοι εἰσί· κνησμώδεις τε συνε-
χῶς παντὸς σώματος καὶ ἱδροῦσι δυσχερῶς· τὰ δὲ λευκὰ τῶν
ὀφθαλμῶν καὶ τὰ συνεγγίζοντα κροτάφοις τοῦ προσώπου
μόρια, καὶ τὰ ἄλλα, διακεχρωσμένα τὴν ὠχρότητα· καὶ αἱ ὑπὸ τὴν
γλῶτταν φλέβες πεπληρωμέναι εὑρίσκονται· καὶ διακεχρωσμέ-
νον τὴν πλεονάζοντα χυμόν.

## Θεραπεία ἰκτερικῶν κεφάλ. ιη.

Θεραπεία ἰκτερικῶν· οἱ μὲν οὖν ἤδη ἄλλως λύ-
ομένου λέγω κρίσεως ἀγαθῆς γινόμενοι ἴκτεροι οἱ ἐπὶ ἑβδόμῃ λυ-
σιν πυρετοῦ ῥᾳδίως παύονται λουτροῖς χρωμένων τῶν θερμῶν γλυ-
κέων ὑδάτων· καί γε διαφορητικοῖς ἐπιθέμασι καὶ πάσῃ τῶν
ἀραιούντων δέρμα ὡς χαμαιμήλινον ἔλαιον· ἀνήθινον· ἴρινον·
γλήχωνον· ἀμαράκινον· καὶ ἡ λιβανωτὶς δὲ πόα ἑψομένη τῷ
ἐλαίῳ, διαφορητικὸν αὐτὸ ἱκανῶς ἐργάζεται· καὶ σύμπασαν
τούτων ποιεῖ τῶν προσηκόντων ὑγρότητα ἅμα καὶ μετρι-
ωτάτων τοῦ τῶν πλεοναζόντων χυμῶν δυναμένων· ἐπὶ δὲ τῶν ἄλλως γινο-
μένων ἰκτέρων περὶ τὸ ὅσα δύο μέγιστα βοηθήματα, φλεβοτομία
καὶ κάθαρσις· ἐφ' ὧν μὲν πλῆθος σὺν ὀξύτητι αἵματος σὺν τῇ χο-
λῇ ἐν παντὶ τῷ σώματι· καὶ ἐφ' ὧν περὶ ἧπαρ καὶ σπλῆνα ὀδύνη ἢ
διάτασις ἐνοχλεῖ· οὐδὲν γὰρ φλεβοτομίας ἐπιτηδειότερον ἢ μη-
δὲν ἕτερον κωλύοι· μεμνημένους δὲ κενοῦν ἀπὸ τοῦ μὴ κα-
ταβάλλειν τὴν δύναμιν ὑπὸ τῆς ἀφθόρας κενώσεως· οὐκ ἂν
ἐπι-

ἐπιτήδειος δ' οὐδὲ κλυστήρ, εἰ ἐκ φλεβοτομίας κωλύοιτο. μετὰ
φλεβοτομίαν ὠφέλιμος παραλαμβανόμενος ὁ κλυστήρ. ἐκ δὲ
τῆς σκυβάλων κενώσεως δύσπνοιαν ἐπικουφίζων καὶ ἐθίζων
τὰ ἔντερα καὶ τῶν δακνόντων ἥκει ἐπ' αὐτὰ τῶν ὑγρῶν κατὰ τὴν
σών ἐπιφάνειαν γενομένην ἔκδοσιν. αἱ δὲ καθάρσεις μᾶλλον
οἰκειόταται τῇ νόσῳ, ὥς φησιν ὁ Ῥοῦφος. χρὴ δὲ τοῖς ἐδέσμα-
σι καὶ πόμασι καὶ φαρμάκοις παραλαμβάνειν χυμοὺς καὶ
ἐκφρακτικὰ ταῖς ἐμφράξεσι. εἶτα διδόναι φάρμακον ξαν-
θῆς χολῆς ἢ μελαίνης ἀγωγόν. ἰσχυρότατα δ' ἔσω τὰ διδόμενα τοῖς
ἰκτερικοῖς καθαρτήρια. διὰ γὰρ τὴν ξηρότητα κοιλίας, τὰ ἀσθε-
νέστερα τῶν καθαρτηρίων οὐδὲν κατὰ τοῦτο ἀνύει. διὸ οὐ χρὴ κατ' ἀρ-
χὰς καθαίρειν πρὶν λεπτῦναι τοῖς ἐκφρακτικοῖς τὴν χολὴν
καὶ ἀγαγεῖν αὐτὴν ποσῶς κατὰ ἔντερα. ἐνίοτε γὰρ βλάβης μεγί-
στης αἴτια γίνονται καθαρτήρια κατ' ἀρχὰς διδόμενα. προσήκει
τοίνυν τοῖς ἐκφρακτικοῖς πρότερον κεχρῆσθαι τοῖς ῥηθησομένοις μετὰ
βραχύ. καὶ μετὰ τὸ λεπτῦναι καὶ ἐκφράξαι ὡς προείρηται, διδόναι
τὸ κατάλληλον καθαρτήριον ἰσχυρόν. ἀφ' ὧν δ' οὐδὲν ἤνυσε
τὸ πρότερον δοθὲν καθαρτικόν, αὖθις ἰσχυρότερον τῶν ἐκφρακτι-
κῶν φαρμάκων ποτίσας ἐκ διαλείμματος πάλιν μετὰ ἡμέρας
τρεῖς καθαῖρε βιαιότερον φησὶν ὁ Ῥοῦφος. ὡς ἐπὶ τὸ πολὺ καθαρ-
θέντες, αἷμα διῆξει σφοδροτάτη χολὴν ἐκκρίναι κυανίζου-
σαν μᾶλλον ἢ πρὸς ξανθήν. ἐγὼ μὲν οὖν φησὶ μίσγων εὐφόρ-
βιον ἐπιθύμῳ ἀλόῃ πρὸ τεθρηκινον καὶ δαύκου σπέρμα κα-
θαίρω τοὺς ἰκτερικούς. ἄριστα δ' αὐτοὺς καθαίρει καὶ τοῦτο.
πεπέρεως μακροῦ γρ. θ΄. πεπέρεως μέλανος γρ. ε΄. σκαμμωνίας γρ. ς΄
ἀμμωνιακοῦ γρ. δ΄. μαράθου σπέρμ. γρ. α ∠. σελίνου σπέρμ. γρ. β ∠
καρώου γρ. δ΄. ἀνίσου γρ. γ΄. μίξας τὸ ἀρκοῦν ὥστε γενέσθαι πλοίου
παχέα. ἢ δίδου κάρυου ποντικοῦ μέγεθος μετὰ κοχλιαρ. ὄξους
λευκοῦ καὶ ὕδατος θερμοῦ τὸ ἴσον. κατὰ δὲ τῶν μελαγχολικῶν
παραλέγεται τῇ δόσει ἐπιθύμου λεπτοτάτου γρ. τρία. σφόδρα
γὰρ καλὸν καὶ τοῦτο. κολοκυνθίδα μεγάλην τρήσας ἄνωθεν
καὶ ἐκκενώσας τὸ σπέρμα· ἐάσας δὲ τὸ γναφαλῶδες ἐν
αὐτῇ ὅλον, ἔμβαλε οἶνον παλαιὸν γλυκὺν καὶ ἔα διανυκτε-
ρεῦσαι. ἕωθεν δὲ διηθήσας ἀκριβῶς διὰ ῥάκους τὸν οἶνον
καὶ θερμάνας δίδου πίνειν τοῖς ξανθοχόλοις· κατὰ δὲ τῶν
μελαγχολικῶν προσεμβάλλειν χρὴ τῷ γλυκεῖ οἴνῳ ἐπιθύμου γρ. ς΄
καὶ τοῦτον οἶνον ἐμβάλλειν τῇ κολοκυνθίδι καὶ διδόναι ὡς προείρηται.
καὶ ἡ τῆς κυκλαμίνου ῥίζα λεία πινομένη μετὰ τῶν ἐκφρακτικῶν

βοηθήματα ἐπὶ τῆς διαθέσεως ταύτης ἐστὶν ἐκκαθαίρειν μὲν τὰ σπλάγχνα καὶ τὸ
ἐν ὅλῳ δέρματι χολὴν ἐκκρίνειν δι' ἱδρώτων. ὅθεν συμφέρει
χρὴ μετὰ τὴν τροφὴν καὶ τῶν ἱδρώτων ἐκκρίσει διὰ σκεπάσεως καὶ θάλψ-
εως ἐπὶ κλίνης. ἡ δὲ ὑγιεία δόσις ∠ δ. μετὰ μελικράτου.
ὑποπτευούσης δὲ φλεγμονῆς περί τι μέρος τῶν σπλάγχνων
πρῶτον ἐμβροχαῖς καὶ καταπλάσμασι κεχρῆσθαι δεῖ. καὶ μετὰ
ταῦτα κηρωταῖς καὶ ἐπιθέμασι τοῖς πρὸς φλεγμονὰς τῶν
σπλάγχνων προειρημένοις. κρεῖσσον δὲ μίσγειν τοῖς ἄλλοις
λιβανωτοῦ διασπορὰν. σχοίνου ἄνθος ἀψίνθιον ἀρτεμισίαν
ἀβρότονον σπήγανον καρδάμωμον χαμαιπίτυν. σκόρδιον
πόλιον χαμαίδρυν. τούτων ἕκαστον πινόμενον, οὖρά τε κινεῖ
ὅπερ τῇ νόσῳ μέγιστόν ἐστιν ἀγαθὸν καὶ ταῖς φλεγμοναῖς
τῶν σπλάγχνων συνεργεῖ. καὶ σικύαις χρηστέον ἐπὶ μὲν τοῦ ἥπατος
περιχρίοντες κούφαις. ἔπειτα δὲ καὶ μετὰ ἐγχαράξεως. ἐπὶ δὲ τοῦ σπλη-
νὸς πάντως μετὰ ἐγχαράξεως. αἱ γὰρ κοῦφαι τὸν σπλῆνα οὐδὲν
ὠφελοῦσι. φάρμακα δὲ πινόμενα ἐπιφανῶς ὀνίνησι τοὺς ἰκτερικοὺς
ἐπὶ τῇ διαθέσει, μάλιστα τὰ διουρητικά ἐστιν. οἷον σχοίνου ἀφέψη-
μα ἀδιάντου καὶ τὰ ὅμοια. ἐπιτήδειον δὲ καὶ ἀψινθίου ἀπόβρ-
εγμα καθ' αὑτὸ καὶ μετὰ νάρδου ἰνδικῆς. καὶ χαμαίδρυος καὶ γλήχωνος
ἀφέψημα καὶ καλαμίνθης. καὶ περιστερεῶνος ὀρθοῦ καὶ ὀξαλίδα
ἐστὶ δὲ λάπαθον ὀξυζόμενον οὗ οἱ κλάδοι πυρροὶ σὺν
τοῖς φύλλοις. ὁ καυλὸς στρατιώτου μέσος σπέρματος καὶ ῥί-
ζα ὠχρά. τοῦτο καὶ καθ' ἑαυτὸ ἐσθιόμενον καὶ τὸ ἀφέψημα
τῆς ῥίζης ἀποζεσθὲν καὶ πινόμενον ταχὺ βοηθεῖ. βοηθεῖ δὲ καὶ
τὸ ἥμερον λάπαθον καὶ ἡ τῆς ἀγχούσης ῥίζα. ζυγοδαύκου ῥίζα
χαμαιπίτυος λιβανωτίς ἀριστολοχία. βραχὺ δὲ θαυμαστῶς
ἑρπύλλιον ὑποστικόν καὶ ἄλλα πλεῖστα τοιαῦτα. τούτων δ' ἕκαστον
ἑψῶν εἰς ἀποζέσιν ἐν ὕδατι δίδου πίνειν ~~ἐν ὕδατι~~ σὺν
οἴνῳ γλυκεῖ. ἢ κόπτων καὶ σήθων δίδου ἑκάστου ὅσον ∠ α.
ποτὲ δι' ἀκράτως καὶ ὁ χυλὸς τοῦ φύλλου τῶν ῥαφανίδων ἀκράτῳ
γλυκεῖ ἢ οἰνομέλιτι κιρνώμενος. δύο μὲν κυάθων τοῦ χυλοῦ.
ἑνὸς δὲ τοῦ οἴνου. δίδοται δὲ πάνυ ὠφελίμως καὶ τῶν κιχορίων
ὁ χυλὸς καὶ τῆς σέρεως. ἐπὶ μὲν τῶν πυρεσσόντων καθ' αὑτόν.
ἐπὶ δὲ τῶν ἀπυρέτων μετὰ οἴνου. καὶ τῆς κράμβης ὁ χυλὸς ὁμ-
οίως καὶ τοῦ ἐλαφείου κέρατος τὸ ῥίνισμα ὅσον κοχλιάριον. πρό-
σφατον ἄνισον ἄσπρον ῥόον. ἐπιτήδειος δὲ καὶ ἡ χαμαίμηλος
καὶ ἡ λευκάνθεμος καὶ τὸ βούφθαλμον. Ἄλλο πολλῶν πεῖραν
δεδω-

διδαχός. ἀφρονίτρου λευκοῦ < β. βρέχων ἐν οἴνῳ παλαιῷ γλυ-
κεῖ κυάθοις δυσὶν ἐν ἀλλ[illegible] καὶ [illegible] εἰς ὕπαιθρον ὅλην τὴν
νύκτα δίδου πίνειν ἐφ' ἡμέρας γ' ἢ δ'. ἄλλο παράδοξον.
[illegible] ἐν [illegible] λειότατα ποιήσας μετὰ σμύρνης [illegible] κυ-
άμου μέγεθος δίδου πίνειν μετὰ γλυκέος ἢ οἰνομέλιτος καὶ τῇ ἑξῆς
ἐγχρίσει τὸ [illegible]. ποιεῖ δὲ καὶ χωρὶς σμύρνης διδόμενα ἐφ' ἡ-
μέρας γ'. χρῶ θαρρῶν. [illegible] πρὸς ἰκτερικούς ποιεῖ καὶ
ἡ [illegible] θαυμασίως. ἀμυγδάλων πικρῶν κεκαθαρμένων
< δ'. ἀνίσου [illegible] κόμης ἀν < β. νάρδου [illegible] ἀσάρου ἀν < α'
κόψας σήσας τὰ ἄλλα. τὰ δ' ἀμύγδαλα λεάνας σὺν ὕδατι
ἀναλάμβανε τροχίσκον καὶ δίδου < α' μεθ' ὑδρομέλιτος κυάθων
τριῶν. τὰ δὲ πινόμενα φάρμακα, εἰ δυνατὸν πάντα ἐν βαλα-
νείῳ διδόσθω μενόντων [illegible] ἐμβαινόντων ἐν θερμῷ ὕδατι.
τὸ δὲ πλεῖον προσέχειν τῇ ἀναληπτικῇ ἀγωγῇ δι' ἧς ἀνα-
λαμβάνεται ἡ διακριτικὴ δύναμις, καὶ εἴ τι [illegible] ἐν
μέρος εἰς [illegible] ἀνάγεται. [illegible] καθαρτικὰ δια-
[illegible]. [illegible] τὰ γυμνάσια καὶ αἱ αἰῶραι καὶ τὰ
ἀλείμματα καὶ ἱδρωτοποιίαι ἐν τοῖς ξηροῖς πυριατηρίοις
καὶ ἐν ἡλίῳ καὶ ἐν βαλανείοις ἀνατρίβοντας τὸ σῶμα νίτρῳ λειο-
τάτῳ κεκαυμένῳ, καὶ τρυγὶ οἴνου ξηρᾷ κεκαυμένῃ λειοτάτῃ.
κάλλιστον δὲ καὶ [illegible] καὶ λίβανον ἴσα σὺν ἐλαίῳ ἀλειφόμενα
καὶ ἡ λιβανωτὶς ποία ἑψομένη σὺν ἐλαίῳ καὶ ἀλειφομένου ἐλαίου.
σιτία δὲ πάντα τμητικὰ ἔστω καὶ λεπτυντικά, ὅσα ἐν τοῖς
περὶ λεπτυνόντων ἐν [illegible] εἴρηνται ἐν [illegible] λόγῳ. ὀρ-
νίθων μὲν τὰ ὄρεια. ἰχθύων δ' οἱ πετραῖοι. ὀστρέων δ' οἱ πρό-
σφατοι ἐχῖνοι. λάχανα τὰ διουρητικώτερα. μάλιστα δὲ ὀξαλὶς
ἴντυβα [illegible] σμύρνιον σέλινον [illegible]. –
τῶν δ' ἡμέρων ἡ κράμβη [illegible] καὶ ὁ ἀσπάραγος αὐτῆς.
ῥαφανίδες. σκόροδα ὠμὰ καὶ ἑφθά. κρέα τὰ ἄγρια τῶν ἡμέρων
[illegible]. ἔμβαμμα δ' ὄξος, ἐν ᾧ ἀριστολοχία καὶ [illegible] ἀπε-
βράχη. ὀπωρῶν δ' ἀπέχεσθαι. τραγήματα ἀμύγδαλα σύμμετρα
γρ. λευκοί — καὶ [illegible] ὀλίγοι. καὶ [illegible] καὶ
μάλιστα ἀφέψημα αὐτῶν πινόμενον σὺν [illegible]. ἐσθιέσθωσαν δὲ
νῆστις [illegible]. τῶν δ' οἴνων οἱ λευκοὶ καὶ
γρ. παλαιοί — [illegible] πάνυ [illegible]. πανταχοῦ δὲ τὸ
μέτριον ἄριστον. εἰ δέ τι [illegible] τοῖς ἰκτερικοῖς πρὸς [illegible]
καὶ ὀφθαλμοὺς καθαροὺς φανέντων [illegible] καὶ [illegible]
τὸ εἰωθὸς ἀποδιδούσης. [illegible] ἐν μηδενὶ [illegible] μὴ τε

διαίτης

δίψης ἐνοχλούσης καὶ συντόμως φάναι πάντων τῶν προειρημένων συμπτωμάτων παυομένων. ἐπιλιμπανομένης δὲ κακοχροίας περὶ ὀφθαλμούς, χρηστέον τοῖς ἐρρίνοις. ἰσχυρότατον δὲ πάντων τὸ ἐλατήριον σὺν γάλακτι γυναικείῳ ἐγχεόμενον· ποιεῖ καὶ ὁ κυκλαμίνης χυλὸς καὶ τὸ μελάνθιον μετ᾽ ὄξους. ἀσθενέστερος δέ ἐστιν ἀναγαλλίδος χυλὸς καὶ σεύτλου ῥίζης χυλός. καθαίρει δὲ ἡ κυκλάμινος πλεῖστα τὴν μύξαν. ἐλατήριον δὲ φλέγμα καὶ χολήν. πάντων δ᾽ εὐτονώτερον ἐστὶν αὐτῶν τίθεμεν τὴν χάλκανθον ἀνιεμένην γάλακτι γυναικείῳ καὶ ἐγχεομένην ταῖς ῥισί· θεράσει γὰρ ἀποστάζουσαν ἐκ ῥινῶν χολὴν καταχωρεῖ. διὰ δὲ κατέχειν ἐν στόματι ἐν τῷ ἐγχεῖν τὸ φάρμακον, ὀξύκρατον ὑδαρές. βέλτιον δὲ πάντων τὴν κυκλάμινον ἐγχεῖν πρὸς τὸ τὰ πρῶτα κινεῖσθαι καὶ ὕστερον δοῦναι τὴν χάλκανθον.

## ΠΕΡΙ ΚΑΧΕΞΙΑΣ ἈΡΧΙΓΕΝΟΥΣ

### κεφάλαιον ιθ

ἐλαίῳ καὶ ὕδατι. κόψας τὰ δ'. ἁλὸς χόνδρ. α'. κόπτε ἕκαστον ἰδίᾳ καὶ ὁμοῦ. λιπαίνων
ἐλαίῳ κομιδῇ τὸ ὅλον. ποίει σφαιρία καρύου ποντικοῦ μέγεθ. δίδου α' ἢ γ'. καὶ οὐ μὴ ἅ-
ψεται αὐτοῦ κακὸν θανάσιμον φάρμακον. Καὶ ἵνα πηγάνου οὐγγ. δ' προσμίσγουσι.
Στράτων κοινόν φησι βοήθημα παντὸς θανασίμου φαρμ. προφυλακτικὸν τοῦτο.
Πηγάνου φύλλ. β'. ἐν ἄλλ. η'. κάρυα βασιλικὰ β'. ἰσχάδ. β'. ἁλὸς χόνδρ. α'. ταῦτα νῆστι
προεσθίειν δίδου· ὑπ' οὐδενὸς ἀδικηθήσεται θανασίμου φαρμ.

## Ἀντίδοτ. Ἀσκληπιάδ. πρὸς θανάσιμα προφυλακτικὴ προδιδομένη. ἐπιδιδομένη δὲ διαγνωστική.

Ἀρκευθίδων. Λημνίας σφραγίδος ἀνὰ ℥ β'. λεάνας ἀναλάμβανε ἐλαίῳ ἢ
μέλιτι. καὶ ἐν χρείᾳ ὅσον καρύου ποντικοῦ μέγεθ. δίδου πίνειν ἀπὸ βαλανείου μετὰ μελικρ.
κυάθ. β'. φαρμάκου δὲ μηδεμιᾶς ὑποκειμένης φθοροποιοῦ δυνάμεως, μένει οὐκ ἀνεμέ-
ται. ἐάν τι θανάσιμον δοθῇ, ναυτίαν κινεῖ· ἐμετὸν ἀναγκάζει· ὥστε δοθὲν δηλητήριον
ἐκκρίνεσθαι σὺν αὐτῷ. τινὲς δὲ τῶν ἀρκευθίδων τὸ διπλοῦν τῆς Λημνίας σφραγῖδος
βάλλουσι. μετ' ἐλαίου ὀμφακίνου ἀναλαμβάνοντες χρῶνται ὁμοίως.

## Πῶς σημειωτέον τοὺς δηλητήριον εἰληφότας. Κεφάλ. μη'.

Σημειοῦσθαι χρὴ καὶ διακρίνειν τοὺς ἔτι εἰληφότας ἐκ συνεδρευόντων καὶ προσδοκωμένων
οἷον εἰ ἀπὸ παραστάσεως προσφορᾶς ὑγιαίνοντες, ἄφνω περιπέσοιεν συμπτώμασι
ποικίλοις· μάλιστα μετὰ προσφορὰν βρωτοῦ ἢ ποτοῦ ἀσυνήθους ὄντος καὶ συνήθους,
οἷον εἰ δὲ ... τυχὸν ἢ ἀναγωγὴ δυσώδους αἵματος· ἢ δυσουρία ἢ στρόφοι ἢ νυγμοὶ
... ἢ λυγμὸς ἢ φλυχ-
... εἰς τὸ ἐκτός. ἢ πυρωδῶν ἢ ... ἢ ἄμετρος ἱδρώς· ἢ ἕτερα ἐκκρινόμενα
... ἢ οἰδηματώδη ... ἔμφασιν φαρμάκου ἔχει τινά· ταῦτα
... δυσώδης ἢ ... ἀναγωγὴ δυσώδους αἵματος
... ἐν ἄλλοις ... ἢ πυρωδῶν ... ἢ ...
ἢ ἀπόρροια ... ἢ ὀδύνη ἐν βάθει ... λυγμός· σπασμοί, φλυκταί-
νας ἀναβρώσεις· ναρκώδης διαδρομή· νυγμός· ... λυγμός· σπασμοί ... δυσωδίας πλήρεις.
... οἰδημάτων· ... ἔμφασιν ... αἰφνιδίου ... ὑγιαίνοντι μετὰ
καὶ φαρμάκου τινὸς ποιότητος ἔμφασιν ... τοῦτον ἠπίστασθαι.
... πεφαρμακεῦσθαι ... δηλητηρίου.

## Περὶ κοινῶν βοηθημάτων καὶ ... δηλητηρίου. Κεφάλαιον ν'.

Ἤδη ληφθέντος δηλητηρίου ἀγνοουμένου ἢ ἀμφιβαλλομένου δοθέντος ἢ ἰδίως βοηθή-
... πάντων κοινῶς ὠφελοῦσι. Χρηστέον τοῖσδε. ... δοθέντος
... φαρμάκου ... ἐν τῇ ἄνω κοιλίᾳ ὄντος καὶ διὰ τοῦτο δηγμὸν ἐμποιοῦντος καὶ ναυ-
τίαν ἢ ἕτερα συμπτώματα ἐμεῖν πρὸ παντὸς ἀναγκάζωμεν ἢ αὐτόθεν ἢ ...
... ὕδατι θερμῷ δίδου· ἢ μετὰ
... χλιαροῦ ... ἢ βούτυρον ... σὺν ὕδατι ... ἢ πηγάνου χυλοῦ.
ἀφέψημα μετ' ἐλαίου ἢ ... ἢ λινοσπέρμου ἢ πιτύρων ἢ ... χυλοῦ.
ἢ κνίδης ... ἀφέψημα ἕκαστον μετ' ἐλαίου. ἐμέσαντα ῥαφανῖδας
... ὕδατι χλιαρῷ δίδου πίνειν. μὴ
δίδου ἐσθίειν πολλάς ... σὺν ὕδατι ... καὶ πάλιν ἐμεῖν κέλευε. μετὰ τὸ αὐτάρκη
παρόντων τούτων, νίτρον σὺν ὕδατι δίδου ... ἢ σίλφιον ἢ ῥαφανίδα ἔχοντα. τι ...
ἐμέτων, ... τὰ ὑπογεγραμμένα ἢ σίλφιον ἢ ῥαφανῖδα ... ἐμεῖν ἀναγκαστέον ἢ αὐθορμήτως, ἢ
... εἰ ἕτερα συμπτώματα εἴη ... ἐμεῖν ἀναγκαστέον ... εἰ δὲ διὰ
δι' ὕδατος χλιαροῦ μετ' ἐλαίου ἢ βουτύρ. ὕδατι καὶ μέλιτι ἢ ζωμῷ ... εἰ δὲ διὰ
... ὑδρορροδίνῳ ἢ πτισάνης χυλῷ ἢ πιτύρων ἢ ... ἢ λινοσπέρ-
ματ

μασι ἢ ἀφεψήματι μαλάχης ἢ κνίδης ἀφεψήματι ἢ ἐλαίῳ συγκινοῦντα τὰ ἐμέ-
τα ἢ χυλόν. διδόναι ποικίλας καὶ πλείστας τροφὰς εἰς κόρον ἢ μετ' αὐτὰς ἐπὶ ἀριστερὰ
καὶ δεξιὰ ἀνωπόδας κεφαλὴν κάτω μετεωρίζοντας. μετὰ δὲ τὴν αὐτάρκη ὁμοίως ποτίζε τὰ
γραφησόμενα κοινὰ βοηθήματα. δίδου καὶ τὸ διὰ ἀρκευθίδων καὶ λημνίας προγραφέν. εἰ
συμπτώματα μετὰ πυρώσεως εἶεν καὶ δίψης, τὰ μάλιστα ψύχοντα ἀναλαμβανόμενος καὶ
μετὰ κιρνῶντα καὶ ἐμπλάσσοντα. εἰ δὲ μετὰ περιψύξεως καὶ σπασμοῦ καὶ νάρκης, τὰ
θερμότερα μάλιστα δίδου. τὰ μέσα, εἰς μέσην διάθεσιν. εἰ φθάσαν εἰς ἔντερα
ὑποβιβασθῇ δηλητήριον, καὶ στρόφους περὶ ὀμφαλὸν καὶ δηγμοὺς ἀπεργάζεται, κλυστῆρι πρα-
ϋντάτῳ κενωτέον τὴν κάτω κοιλίαν. κατὰ τούτων ὥσπερ κἀπὶ ἐμέτων στοχαζόμε-
νον τὰ διάφορον συμπτωμάτων καὶ δριμυτέροις ἢ παραμυθητικωτέροις χρώμενον κλύσμασιν,
οἷον τῷ δι' ἀφεψήματος μαλάχης ἀλθαίας τήλεως πιτύρων φοινίκων ἐλαίου
καὶ ὁμοίων. ἢ τῷ διὰ κενταυρίου ἀριστολοχίας ἀγριοσικύου κολοκυνθίδος καὶ νίτρου
δυσφιλέστατα (?) μάλιστα καὶ ὁμοίων. δοτέον ἐσθίειν τοῖς μὲν ῥαφανίδας καὶ πράσα καὶ
σκόροδα κρόμμυα τάριχον. καὶ πίνειν οἶνον τεθερμασμένον ἢ ἐλαίου θερμοῦ καὶ ζέμα
ναρδοστάχυος. σηπίων ἄμεως καὶ ὁμοίων. καὶ θερμὰ διουρητικά. τοῖς δὲ ἀδίαντον καὶ κορίου
ἀπόβρεγμα καὶ ὅμοια. εἰ δὲ κύστιν ὁρμήσοι δηλητήριον, ἐγκαθίσμασι χρῶ δι'
ὑδρελαίου χλιαροῦ καὶ ζέμασι πραέσι καὶ τοῖς ἐναφεψηθεῖσι τῷ ὕδατι τήλεως λινοσπέρμου
ἀγρίας μαλάχης ἢ ἡμέρου καὶ ἄμεως σπέρμα. καὶ ποτίζειν αὐτὸ μάλιστα τὸ ἄμεως
σπέρμα ἢ σηπίων ἢ μαράθου ἢ ναρδοστάχυος καὶ παραπλήσια εὐώδη καὶ ἀπαλύσσα διουρητικά.
εἰ δάκνοιτο κύστις σικύου σπέρμα κεκομμένας λεάνας, δίδου κοχλιάριον α΄ μετὰ γλυκέος κε-
κραμένου. ὁμοίως εἰ ἑλκοῖτο σφόδρα ἡ γαστήρ τὸ αὐτὸ δίδου ἀπεχόμενος πάσης
θερμότητος προσαγωγῆς. χρῶ καὶ τοῖς ἐπὶ κανθαρίδι καὶ βουπρήστεως ῥηθησομένοις
τοῖς ἰδίοις (?) ἐπαγομένων. ἐγκαθίσμασι χρῶ διὰ ζέματος ἀλθαίας ἢ ἀγρίας
μαλάχης τήλεως λινοσπέρμου καὶ ὁμοίων σὺν ἐλαίῳ. ἐσθίειν ἰχθύας δίδου. ῥοφήματα
διὰ μέλιτος πάντα εὔχυμα καὶ τρυφερά. ᾠὰ λάχανα καὶ τὰ διὰ γάλακτος. ἀπεχέ-
σθω πάντων θερμῶν. εἰ δὲ καὶ φάρυγγα ἐκδεδαρμένα ἤδη δηλητηρίου, ἐμβρο-
χαῖς χρηστέον καὶ ἀλείμμασι διὰ βραχέως ἐλαίου, καὶ εἰς ἔλαιον ἢ ὑδρέλαιον ἐμβαίνειν. εἰ
ἀπὸ ὕλης ἐμβροχαῖς χρηστέον καὶ ἀλείμμασι καὶ ἐγκαθίσμασι τοῖς διὰ θερμοῦ ὑδρελαίου
καὶ ὑγραῖς κηρωταῖς καὶ χρίσμασι καὶ καταπλάσμασι. τὰ μὲν ὑγραίνουσι καὶ πραΰ-
νουσι τὸ πυρῶδες καὶ ἀμβλύνουσι. τὰ δὲ ἐκθερμαίνουσι τὴν περίψυξιν. ἢ ἀ-
ναξηραίνουσι τὴν σῆψιν. καὶ ἁπλῶς ἐπὶ πάντων, ἐναντίως τῷ βλάπτοντι
ἐνεργοῦσι. καὶ κατὰ σχέσεις ἢ καὶ ἐκκρίσεις καὶ διαφορητικαῖς δυνάμεσι χρῶ.
τροφαῖς εὐαναδότοις καὶ ἐφεψημέναις τοῖς μετὰ μέλιτος καὶ ἰχθύσι νεαροῖς τρυφεροῖς καὶ
πτηνοῖς εὐπέπτοις. πόμασιν οἴνῳ λευκῷ κιρρῷ ὑδατώδει μετρίως. εἰ δὲ περὶ
κεφαλὴν ἀναδράμοι δηλητηρίου δύναμις, καὶ κάρον ἢ βάρος ἢ σφυγμοὺς περὶ αὐτὴν
ποιήσει ἢ τὰς αἰσθήσεις ἀμβλύνοι. ὅλως ἀεὶ κοιλίαν ὑπακτέον κλυστῆρι
οἰκείῳ τῷ ἁπαλῷ. ἐν ἄλλοις ὅλως τὸ πρῶτον κοιλίαν ὑπακτέον κλυστῆρσι διὰ τή-
λεως λινοσπέρμου ἀλθαίας σικύου ἀγρίου ῥίζης μάλιστα. εἶτα πταρμικοῖς χρηστέον
διὰ στρουθίου πεπέρεως εὐφορβίου. τοῖς τε ῥινὶ ἐγχέειν, ποτὲ κυκλάμινον ἢ ἐλατηρίου
χυλόν. ποτὲ δὲ ὀξυρόδινον ἢ χυλὸν κηρίου (?) μετὰ κρόκου λεαίνοντες. ὀσφραντὰ ῥινὶ
προσάγειν δι' ὀποβαλσάμου καὶ κάστορος μετὰ ὄξους λεαινόμενα ἢ διὰ μόσχου ἢ καφουρᾶ
καὶ ἴων καὶ μανδραγόρου καὶ ὁμοίων. πρὸς τούτοις, πᾶσι εἰρημένοις προφυλακτι-
κοῖς βοηθήμασι χρηστέον. τῷ τε διὰ καρύων, ἰσχάδων πηγάνου ἐλαίου καὶ τῷ
διὰ τῶν ἀρκευθίδων καὶ τῆς λημνίας σφραγῖδος. ἔτι γε μὴν ὡς ἐπὶ πάντων χρη-
στέον (?) μετὰ τὸ γενόμενον θηριακῇ χρηστέον ἀντιδότῳ ἢ τῇ δι' ἐχιδνῶν ἢ μιθριδά-
του ἀντιδότῳ ἢ ταῖς ἄλλαις πρὸς ἰοβόλα αὐτὰ δόντες. μικρὸν πρὸ τῶν συνήθων, κοχλιάρια δύο
τοῖς αὐτοῖς τοῖς θηρίοις καὶ κοινῶς πρὸς πάντα δηλητήρια ποιοῦσι. κοινὸν
πρὸς πάντα θανάσιμα ποτὰ ?? σπέρμα πινόμενον μετὰ οἴνου καὶ ἐλαίου. λημνία
σφραγὶς σὺν οἴνῳ. ἐξόχως τὸ βοήθημα. ἀναγκαῖα ἐκ δεξιᾶς (?) ... κάρυα βα-
σιλικὰ μετὰ ἰσχάδων καὶ πηγάνου ἐσθιέτω. ἢ ἀφεψήσας δίδου πίνειν

[Margin, beside line 15: περὶ γαλακτουμένου (?) πρόσφατον]

[Margin, beside line 9 from end: μετ' οἰνελαίου]

ἀφόδευμα καὶ ἐμείτω. πρὸς δὲ τὰ μετὰ ψύξεως γινόμενα συμπτώματα, δεῦ,
μέλι μετ' ἐλαίου δίδου ἀβρότονον. ξύσματα σὺν μέλιτι. ἠρύγγιον ῥίζαν. καὶ σικύου ἀγρί-
ου βρυωνίας ῥίζαν. καστόρ. πράσου χυλόν. λάσαρ. σμυρνίου. ὀποπά-
νακα. ὀπὸν κυρηναϊκόν. πηγάνου ἀγρίου σὺν μέλιτι. πολίου σκορδίου. βετονίκης
ἑκάστου ∠ α' μετ' οἴνου ἢ ὀξυμέλιτος. ἐν δὲ ὅλως. ἐπὶ τοῖς μετὰ περιψύξεως σπα-
σμοῖς, καὶ καστόριον μετ' οἰνομέλιτος καὶ ὀπὸς κυρηναϊκός. ὀποπάναξ. πράσου χυ-
λός. πόλιον. καλαμίνθη. ἀγριοπηγάνου σὺν μέλιτι. ξύσματα μετ' οἰνομέλιτος. βα-
σιλικὰ κάρυα. σμύρνα. ὀποβάλσαμον. κεδρία καὶ ὅσα τοιαῦτα. τοῖς
δ' ἐγκαιομένοις, γάλακτος πόσις πολλή. ὠὰ ὠμά. ὑδροσόδινον καὶ ὅσα
κι... ποιεῖ προσεχέστερον καὶ ἐλαιούμενον. καὶ τότε ἕκαστον λίαν εὔαρ-
στον βοηθεῖ. ἀριστολοχίας ῥίζαν δίδου. πρὸς πάντα τὰ δηλητήρια ἀποτρέπουσα. ἐπὶ
πικρίας πολλὰς ἀντιλαβοῦσα τῆς γεύσεως, μετὰ φύσιν ἔχειν αὐτούς. ἐπεὶ δὲ γλυ-
κύτητος προφαρμακευόμενοι εἰσί. τοὺς δὲ ἐπὶ δηλητηρίω βιαίω ἀπο-
θνῄσκοντας σαρκοφάγου συναγαγεῖν προσκεύασεν αὐτοὺς τοὺς αὐτοὺς στρόφους
ταχέως πολλοί. θεραπεύονται καὶ ἐν λουτρῷ καταπλαττόμενοι μετὰ βρώσεως ἐξεμέ-
σωσι. τούτοις ἐπάν φαρμάκων ἐπὶ τρεῖς ἡμέρας ὁμοίως διδόμενον. ἔτι τὰ πα-
ρὰ λόγον βρώσεως γλίχονται, ἀπεχομένους τὰ εὐθύς. ποιεῖ μεγάλως,
ὅτι τῆς κοιλίας περιγραφὴν πεπλησμένος ὄγκος καὶ ξηραινόμενος καὶ ἐν τῷ
γ... ἀπογεννώμενος καὶ πινόμενος καὶ ὁ τῶν ἐλάφων κοιλία καὶ ὁ τῶν τριγλῶν ζω-
μός. ταῦτα δὲ καὶ ἐπὶ τῶν ἰοβόλων ποιεῖ.

## ΠΡΟΣ τοὺς κανθαρίδας εἰληφότας. κεφ. να'.

Κανθαρίδες ἀπὸ καμπῶν τῶν πρὸς τῇ συκῇ. πεύκη. ἀπίδια καὶ
κυνάκανθη γεννῶνται, σκώληκες. εἶτα πτερωθεῖσαι. κανθαρίδας εἰληφόσι
πυρώδης ἀνάδοσις ἐπὶ ῥῖνας γίνεται πίσσης ἐοικυῖα ὀσμή. περὶ
στόμα ὡς ἢ κεδρίας, στόμα σφόδρα ποιοῦντα καὶ γλῶτταν δάκνει. στόμαχον δὲ
δηγμὸς στομάχου κοιλίας νεφρῶν μάλιστα κύστεως. ἐνίοτε αἵματος
ἐκκρισις τῶν οὔρων καὶ κοιλίας προσέρχεται μετὰ δηγμῶν ἰσχυρῶν
ὁ κατὰ στόμα κοιλίας τόπος ὀδυνᾶται σφόδρα ὡς δοκεῖν χόνδρον ξι-
φοειδῆ ὀδυνᾶσθαι. φλεγμαίνει δεξιὸν ὑποχόνδριον. ἔπειτα δυσουρία.
ἰσχουρία προσέρχεται. δαπανᾶται αὐτοῖς τὸ ὁρατικὸν ὀφθαλμῶν. παραφο-
ροῦσι ῥιπταζόμενοι ἀπὸ τόπου εἰς τόπον. βοηθεῖ ὡς ὅτι τάχιστα οἶνον
διδόναι γλυκὺν μετ' ἐσθίειν μὴ παλαιῶν προσβραχέντων θερμῷ ὕδατι
ἢ μᾶλλα λεπτῶν θέντων ἢ σικύου σὺν μέλιτι λελειωμένον ὁμοίως. καὶ γάλα
συνεχέστατα διδόμενον μετὰ μέλιτος ὀλίγου πρὸς τόν. ὕστερον δὲ καθαίρον-
το νοσοβόλητον. ἐνίοτε στέαρ χηνὸς ἢ ὀρνίθιον πρόσφατον τήξαντας
ἐπὶ πινομένοις ἢ γῆς σαμίας ∠ α' μετὰ μελικράτου ἢ λιβανωτοῦ ∠ α'.
διδόναι καὶ ζωμὸν λιπαρὸν χοίρειον ἢ χήνειον ἢ περιστερεῖον, καὶ κρέα ὀρ-
νίθεια ἢ ἄρνεια. ἢ ἐκ φάκια πίονα καὶ τὸ φύτα καὶ ἐγκέφαλος χοίρειος.
ἐπὶ πλεῖον ζωμὸν δίδου ἔσφαλον, ἄχρις ἂν πρὸς ἔμετον ὁρμήσῃ. καὶ
πινέτω οἶνον γλυκὺν λιπαρὸν κεκραμένον πλεῖστον. πίνων ἕκαστον
ἐμείτω. πολλάκις τὸ αὐτὸ ποιείτω. μετὰ ἔμετον ἐνιέσθω διὰ κλυ-
στῆρος γάλα νοσοβόλητον ἢ χυλὸν πτισάνης. ἢ ἄλικος ἢ ὀρύζης ἢ
στέαρ ... ἢ λινοσπέρμου μετὰ στέατος χηνὸς ἢ ὀρνίθου. ἐκλυθεὶς ἢ διάξη
... γινομένων διδόναι συνεχῶς γάλα βόειον νοσοβόλητον πίνειν καὶ ...
ἐμείτω ἢ ἀμπέλου βλαστὴν κόψας δίδου μετὰ γλυκέος κεκραμένου
αὐτῷ

ἀντιπαθῶς βοηθεῖ ὡς οὐδὲ ἕτερον· κανθαρίδων πτερὰ καὶ πόδες μετὰ γλυκέως πινόμενα· γλήχων νεαρὸς λεῖος μεθ' ὕδατος πινόμενος· ἢ χαμαιπίτυος ῥίζα λεία μετὰ γλυκέως πινομένη κάλλιστα ποιεῖ καὶ πρὸς βουπρήστιν· ποιεῖ δ' ἐπ' ἀμφοῖν καὶ ἡ πιτυοκάμπης μάλιστα μετ' ὠῶν ἴβων πινόμενον· δίδου θηριακῆς δὲ ἐχούσης βραχὺ ἢ τῆς μιθριδ(ατείου)· παυσαμένων συμπτωμάτων, κατάπλαττε τὸ ὑποχόνδριον κριθίνῳ ἀλεύρῳ μετὰ μελικράτου· καὶ τὸ πᾶν σῶμα ἐλαίῳ κυπρίνῳ ἢ γλευκίνῳ χρίσαντας, ἐπιστάζειν ἐν λουτρῷ· καὶ μᾶλλον ἐν τῇ ἐμβάσει χρονίζειν· τροφαῖς εὐπέπτοις καὶ ἀδήκτοις ἐπὶ χρόνον ἱκανὸν κεχρῆσθαι καὶ οἴνοις γλυκέσι καὶ γαλακτοποσίαις.

## ΠΕΡΙ Βουπρήστεως. Κεφάλ. ΝΒ.

Εἶδος ἐστὶ κανθαρίδος ἡ βούπρηστις, βρωμώδης κατὰ ὀσμὴν καὶ γεῦσιν· ταύτην εἰληφόσι παρέπεται ἄλγημα στομάχου καὶ κοιλίας σφοδρόν· ἐμφυσᾶται τὸ κοιλίας στόμα καὶ γαστήρ· ὅλον σῶμα ἐξοιδεῖται ὡς ἐφ' ὑδεριῶντων καὶ ἐμπίπραται· καὶ τὰ οὖρα ἐπέχεται· βοηθεῖ ἅπαντα τοῖς κανθαρίδ(ας) εἰληφόσι· ἰδίως δὲ μετὰ τοὺς διὰ λιπαρῶν ζωμῶν καὶ γλυκέως ἐμέτους καὶ τὰς διὰ κλυστήρος κενώσεις, ἀφ' ὧν μάλιστα σῦκα ξηρὰ λιπαρὰ ἐσθιόμενα καὶ ἀφέψημα αὐτῶν μετ' οἴνου πινόμενον· ἐν ἀρχῇ ὄντος κινδύνου, βάλανοι θηβαϊκαὶ ἐσθιόμεναι· καὶ ἀφέψημ' αὐτῶν πινόμενον μετὰ γλυκέως ὠφέλιμον καὶ γάλα μέν· ὠφελιμώτατον τοῖς δὲ καὶ τοῖς κανθαρίδ(ας) εἰληφόσι μετὰ μέλιτος πινόμενον· τὸ ἐξ αὐτῶν τῶν μαζῶν θηλάζειν συνεχῶς γυναικεῖον γάλα.

## ΠΕΡΙ πιτυοκάμπης. Κεφάλ. ΝΓ.

Πιτυοκάμπης ποθείσης ὀξέως πόνος περὶ στόμα καὶ οὐρανίσκον γίνεται· γλώσσης φλεγμονὴ ἰσχυρά· στομάχου ἄλγημα καὶ κοιλίας καὶ ἐντέρων, ἰσχυρὸν μετὰ κνησμώδους περὶ τὸ δέρμα αἰσθήσεως· πύρωσις κατὰ ὅλον σῶμα καὶ ἄση· βοηθεῖ καὶ τὰ ἐπὶ κανθαρίδ(ων) εἰρημένα· ἰδίως, μήλινον ἔλαιον συνεχῶς πινόμενον αὐτὸ κοινῶς καὶ ἐμούμενον.

## ΠΕΡΙ ἀσπαλάκων

Εἰ θέλεις ἀσπάλακας διαφθεῖραι, εἰς καμίνιον ἢ ἄλλο τι τοιοῦτον σκεῦος στενὸν ἔμβαλε ἄχυρα καὶ κεδρίας τὸ ἀρκοῦν καὶ θεῖον· θὲς εἰς τόπον ἔνθα ὁ ἀσπάλαξ κατοικεῖ· καὶ τὰς μὲν λοιπὰς τρυμαλιὰς μικρὰς φράξον· ἵνα μὴ δι' αὐτῶν ἐξέλθῃ ὁ καπνός· κατὰ δὲ τῆς μείζονος δι' ἧς πνεῦμα εἰσρυήσεται, θὲς τὸ κάτω τῆς καμίνου καὶ στόμωσον ἵνα συναρμόσῃ τῇ ὀπῇ· φύσα ὡς διὰ καπνοῦ πᾶσαν κεδρίαν καὶ θεῖον ὀσμὴν εἰσβάλῃ καὶ ἀποπνίξαι τὸν ἀσπάλακα· καὶ περιελθὼν ἑκάστου ἀσπάλακος τὸν φωλεὸν καὶ τοῦτο ποιήσας, πάντας διαφθερεῖς.. Περὶ

## ΠΡΟΣ ΚΑΜΠΑΣ ΚΑΙ ΣΚΩΛΗΚΑΣ. ΚΕΦ. ΝΔ.

Εἰδέναι δεῖ ὅτι κάμπαι οὐκ ἐν αὐτοῖς τοῖς στελέχεσιν ἐμφωλεύουσιν, ἀλλ' ἔξωθεν ἐπιποῦσαι καταβλάπτουσι φύλλα. σκώληκες δὲ ἔνδον τῶν δένδρων τρεφόμενοι, ταῦτα ξηραίνουσιν. οὔτε κάμπαι οὔτε σκώληκες ἅψονται δένδρων, ἐὰν γράψας ἐπὶ πιττάκιον τοῦτον τὸν ψαλμὸν ... καὶ δήσας ὡς τὸ ξύλον προφυλαττόμενον παρὰ τοὺς διεξόδους ὕδατος, ὃ τὸν καρπὸν αὐτῶν δώσει ἐν καιρῷ αὐτοῦ· καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται. ἀλλὰ φυλαττόμενα οὐ βλάπτουσιν αἱ κάμπαι ἢ σκώληκες, ἐὰν σικύου ἀγρίου ῥίζαν ἀποβρέξας ἐν ὕδατι, ἐν τούτῳ τὰ σπέρματα βρέξῃς· ἢ κόψας καὶ μίξας ὕδατι, ἐν αὐτῷ φυλαττόμενα βρέξον. ἢ γράψας εἰς ὄστρακον, ῥίψον ἐν τόπῳ, δήσας ὡς ξύλον προφυλαττόμενον· ἢ ἄσφαλτον καὶ θεῖον ὑποκάπνιζε δένδρα καὶ διαφθαρήσονται κάμπαι καὶ σκώληκες. Ἄλλο. οὐχ ἅψονται κάμπαι λαχάνων ἐὰν λαβὼν κλήματα ἀμπέλου καύσῃς, εἶτα τὴν κονίαν βάλῃς εἰς ὕδωρ ἡμέρας γ΄. εἶτα καταρράνῃς τὰ λάχανα. σκώληκες μάλιστα διαφθαρήσονται οἱ καλούμενοι ... βολβίτων καπνισθέντων. ἀλλ' οἱ χαλβάνην ἢ κέρας ἐλάφου ἢ ... κρίνου ῥίζαν ἐν ἀμπελῶνι θυμιάσαντες, ἀναιροῦσιν οὐ μόνον τὰ αὐτὰ ζωΰφια ἀλλὰ καὶ ἕτερα. Ἄλλο. κάμπας διαφθερεῖς συκῆς τέφραν καταπάσας. μάλιστα ἐὰν μόνον οὖρον καὶ ἀμόργην ἐξ ἴσου μίξας καὶ ζέσῃς πυρί, ἔπειτα ψύξας καταρράνῃς λαχάνοις πάσας διολέσεις. Ἄλλο. ἐξ ἄλλου κήπου κάμπας λαβὼν ἐν ὕδατι ἑψήσας σὺν ἀνήθῳ, ὕδωρ ψυχρὸν καταρράνε λαχάνοις ἀλλὰ σπέρμα κρομμύων καὶ τοὺς μύκητας καὶ τῆς καρύας φυλλα θυμιῶν ἀποκτενεῖς αὐτάς. Ἄλλο. σκώληκες οὐ βλάψουσι δένδρα ἐὰν μίλτον λημνίαν καὶ ὀρίγανον μεθ' ὕδατος λειώσας, ῥίζας ἀλείψῃς. δεῖ καὶ σιδήρια ἀγκιστροειδῆ ποιοῦντας διὰ χαραδρῶν τῶν ἐν στελέχεσιν ... Ἄλλο. ψώραν τὴν βοτάνην περίξ τοῦ κήπου κάπτειν. καὶ θνήσκουσιν αἱ κάμπαι. τὰ δὲ ποιὰ σκορόδων φύλλα χωρὶς κεφαλῶν καπνιζόμενα ὡς ἀτμίδα εἰς ὅλον τὸν κῆπον πέμπειν.

## ΠΕΡΙ ΑΙΛΟΥΡΩΝ. ΚΕΦΑΛ. ΝΕ.

Αἴλουρος ὀρνίθων οὐχ ἅψεται ἐὰν κρεμασθῇ ὑπὸ τὴν πτέρυγα αὐτῆς ἄγριον πήγανον

## ΠΕΡΙ ΣΑΛΑΜΑΝΔΡΑΣ. ΚΕΦ. ΝΣΤ.

Σαλαμάνδρα ζῶόν ἐστιν ὅμοιον ἀσκαλαβώτῃ, τραχύτερον τῶν σαυρῶν ... Διαβαίνει διὰ πυρὸς καιομένου, οὐδὲν παθοῦσα, τοῦ πυρὸς σχιζομένης καὶ ὑποχωρούσης αὐτῇ τῆς φλογός. εἰ ἐμμένοι πυρὶ ἐπὶ χρόνον τινά, δαπανηθείσης τῆς ἐξ αὐτοῦ ψυχρᾶς καὶ μυξώδους ... ὑγρότητος, καίεται. φασὶν αὐτὴν βάρος ἔχειν, ὅ ἐστι σβεστικὸν καὶ ἐναντίον τοῦ πυρός. πρὸς

πεται τοῖς λαβοῦσι σαλαμάνδραν, γλώσσης φλεγμονή· διανοί-
ας ἐμποδισμός· τρόμος μετά τινος νάρκης καὶ ἐκλύσεως· πελιοῦται
αὐτοῖς τινα μέρη σώματος κυκλοτερῶς ὡς πολλάκις καὶ σηπό-
μενα ἀπορρεῖν· πρὸς τοῦτο οὖν οἱ ὅπιλοι λευκοί φαίνονται μετὰ σμύρ-
ειτα ξυθέν· ἐπιλαμβάνειν μετὰ σηπίας καὶ ῥύσεως ψυχρόν· δο-
τέον δὲ τὰ περὶ κανθαρίδων εἰρημένα καὶ ἐμετίζειν· ἰδίως
πιτυΐνην ῥητίνην λείαν μετὰ μέλιτος δίδου ἐκλείχειν· ἢ χαλβάνην
μετὰ μέλιτος ἢ στροβίλια λεῖα μετὰ ἀφεψήματος χαμαιπίτυος
ἢ κνίδης φύλλα συνεψηθέντα κρίνοις μετ' ἐλαίου· ἢ ὠὰ χελώ-
νης μετὰ αἵματος αὐτῆς δίδου ξηροῦ μετὰ μελικράτου ἢ ὕδρας ὧν·
παραδόξως ποιεῖ δὲ αὐτοῖς βατράχων ζωμὸς συνεψηθεὶς μετὰ
ἐρυγγίου ῥιζῶν· χελώνης ἄκρα κρέα ζωμευόμενα ποιοῦν δίδου.
ἔοικε δὲ ὅτι καὶ ἄσφαλτος ἀντιπαθεῖν καὶ τίτανος.

## ΠΕΡΙ ΘΑΛΑΣΣΙΟΥ ΛΑΓΩΟΥ· ΚΕΦΑΛ. ΝΖ.

Ὁ θαλάσσιος λαγωὸς εὑρίσκεται ὡς ἐπίπαν μεταξὺ τῶν
τευθίδων, ζῷον μικρὸν βρωμῶδες ὀσμὴν ἔχον· παρέπεται τοῖς τοῦ-
τον εἰληφόσι· γεῦσις μὲν ὡς ἰχθύος βρωμώδους· μικρὸν ὕστερον
κοιλίας ἄλγημα· χροιὰ σώματος δὲ ἰκτεριώδης ἐκφαίνεται ÷ προσβαν-
νοσήσις κακίας καὶ θαλάσσιον οὖρον οὐρεῖται· ἐνίοτε αἱματώδη· ἐστὶ δὲ,
τα ναυτιώδεις γινόμενοι ἐμοῦσι χολώδη αἵματι μεμιγμένα καὶ ποικί-
λα ἰχθύος ἀποπλυμάτων ὄζοντα· σάρκες αὐτῶν τηκόμεναι ὑπερ-
βολῇ· ἱδροῦσι δυσώδη· ἀποστρέφονται καὶ μισοῦσι ἰχθύων ἅ-
παντα χωρὶς καράβων ÷ εἶτα μολυβδώδης γίνεται μετ' οἰδή-
ματος προσώπου· ἐμπίπραται τὰ σφυρά· αἰδοῖον ἐν οἰδήσει
γινόμενον, ἐπέχει οὖρα. Δοτέον αὐτοῖς γάλα ὄνειον νεόβδαλτον μετὰ
γλυκέος συνεχέστατα ἢ βόειον· ἢ μαλάχης ἀφέψημα καὶ ὁμοίως-
σαν· ἔπειτα δίδου κυκλαμίνου ῥίζης λείας ∠ δ. μετ' οἴνου κεκραμένου
ἢ ἐλλεβόρου μέλανος ∠ α. ἢ σκαμμωνίας ∠ α. ἐν ὀξυμέλιτος β. μετὰ βο-
είου γάλακτος ἢ μελικράτου· ἢ ῥοιῶν πυρῆνας· ἢ κεδρίδας λείας μετ' οἴνου
καὶ πιτύας ὑγρᾶς· ἢ κεδρίαν ὀλίγην μετὰ γλυκέος δίδου ἐκλείχειν.
Δίδου καὶ χηνὸς αἷμα ὅτι ἔνθερμον πίνειν μετὰ γλυκέος ἢ ῥαίδον.
ἢ χελώνης αἷμα μετ' οἰνομέλιτος πίνειν καὶ κόσσυ· ἐὰν ἐσθίωσι καρ-
κίνους συνεχῶς καὶ τὰς καρίδας· ἰχθύων τε ἐπιθυμῶσι· σημεῖον
σωτηρίας τὸ δύνασθαι ἰχθύων φαγεῖν.

## ΠΕΡΙ ΦΡΥΝΟΥ ΚΑΙ ΠΟΣΑ ΕΙΔΗ ΑΥΤΟΥ ΚΕΦ. ΝΗ.

Φρύνου ἐστὶν εἴδη δύο· ὁ μὲν κωφός ἐστιν· ὁ δὲ, οὐ κωφός ἐστιν
ἀναιρετικός· οὗτος νέμεται περὶ καλάμων λόχμας δένδρων, δι' οὗ σκευάζε-
ται τὸ δηλητήριον· παρέπεται λαβοῦσι πυρετός· ἐμπίπρησι τὰ ἄκρα
καὶ πάλλει ἄσθματι καὶ δυσπνοίᾳ συνέχεται ὁ λαβών· οἰδηματοῦ-
ται σώματος μετ' ὠχρότητος καὶ εὐτασμένης πυρώδους καὶ
στόματος δυσωδία καὶ λυγμός· ἐνίοτε τοῦ σώματος ἀπόλυτος ἀκρισι-

ἔσ

ἐπεὶ οὖν βοηθεῖται μετὰ τῶν διουρητικῶν, ἔμετον λαμβάνοντες ἄκρατον τῷ πολλῷ· ἢ πιτύαν μετ' οἴνου· καὶ ῥίζας καλάμων ἐν οἷς αὐτοὶ νέμονται φρῦνοι, κόψας μετ' οἴνου δίδου πίνειν· ἢ γῆς ἐχέτου φυομένης κυπέρου, ὅσον < α μετ' οἴνου ἢ θαλασσίου ὕδατος· ἢ θαλασσίας χελώνης αἷμα μετὰ πιτύας λαγωοῦ καὶ κυμίνου δίδου σὺν οἴνῳ· ἢ τῶν φρύνων λιμναίων δίδου φαγεῖν· ἐναργῶς ὠφελεῖ. πλῆσον πυρὸς ἢ κλίβανον ἢ φοῦρνον καὶ ἀναστομώσας τὸ πῦρ καὶ ἐνθεὶς πλίνθον, κάθιζε κάμνοντα καὶ ἱδροῦν ἔα ἐπὶ πολύ· ἅπαξ καθεζέσθωσαν συνεχῶς περιπατείτωσαν βραχύ· γυμναζέσθωσαν δὲ καὶ ἐν αὐτοῖς ναρκώδεσι· ἔργον δὲ σφόδρα τούτοις αὐτοῖς γυμνάσιον καὶ λουέσθωσαν καθ' ἡμέραν.

## ΠΕΡΙ τῶν εἰληφότων βάτραχον τὸν ἐν τοῖς χόρτοις

### Κεφάλ. νθ.

Τοῖς βάτραχον ἔλαφον ἄφωνον εἰληφόσι παρέπεται ἀνορεξία· στόματος καθύγρασμός· ναυτία· ἔμετος· καρδιωγμός· θεραπεύονται οἴνῳ πολλῷ ποτιζόμενοι σὺν τοῖς ἀρώμ. κουφόλιθος· αἰνοῦσι πᾶσι. οἱ δὲ ὀπῷ κυρηναϊκῷ· ἢ λασαρίῳ· σιλφίῳ· κυμίνῳ· πηγάνῳ· καὶ τοῖς ὁμοίοις.

## ΠΕΡΙ καταπόσεως βδελλῶν· βατράχου· ἀσκαλαβώτου

### Κεφάλαιον ξ.

Βδέλλαι καταποθεῖσαι σὺν ὕδατι, προσφύονται φάρυγγι ἢ στομάχῳ κατά τινα τόπον ἢ στόματι κοιλίας· πρῶτον ἡσυχῇ ἐκμυζῶσι τὸ αἷμα· πληρούμεναι δ' ἀποφράττουσι δίοδον τῶν καταπινομένων· ὑπερπληρωθεῖσαι δέ, τὸ ἐκμυζώμενον αἷμα ἔξω προχέουσιν ὡς φαντασίαν αὐτοῖς ἔχειν αἵματος ἀναγωγῆς· αἱ αἰσθήσεις γινομένης κατὰ τόπους ἐκμυζήσεως, σημεῖον δὲ ἔσω τὰς βδέλλας καταπεπωκότας· εἰ μὲν οὖν ἐν ἡλίῳ κατανοοῦντι τὸ στόμα φαίνονται, σαφῶς καθέλκω ἢ τριχολάβῳ καὶ βδελλάγρᾳ αὐτὰς ἐκβαλλέτω· ἀποβάλλει ταύτας καὶ ἅλμη συνεχῶς κατὰ βραχὺ ἑψημένη καὶ πολλῷ μᾶλλον ὀξάλμη προσλαβοῦσα ἁλός· ἢ χιὼν σὺν ὄξει διαλυομένη· καταρροφουμένη συνεχῶς· ἀναγαργαριζέσθωσαν νίτρῳ μεθ' ὕδατος γλυκέος ἢ θαλασσίῳ ὕδατι ἢ λαγωκυμίνῳ μετ' ὄξους ἢ νάπυϊ ἢ ὑσσώπῳ ἢ ὀριγάνῳ ἀναγαργαριζέσθωσαν· εἰ κάτω πρὸς στόμα γαστρὸς ἐμπροσφύωνται, δίδου μὲν πίνειν τὰ προειρημένα πάντα χωρὶς ἀκάνθου· χρηστέον τοῖς κοιλίαν λύειν δυναμένοις ἢ καθαρτηρίῳ· σὺν ἐκκρίνειν εἰωθόσι τοῖς διαχωρήμασιν· ἡμεῖς διὰ σκορόδων πολλῶν βρώσεως, ἐκβαλόντες αὐτάς, οὐδενὸς τῶν προειρημένων ἐδεήθημεν· χλωρὰν λαβόντες τὸ ἐξ εἰ ἀπορούμενοι σκορόδων, κρόμμυα ἢ πράσα ἢ καλαμίνθην χλωρὰν κεκομμένον λαμβάνειν χρή. εἰ δὲ ἐν μυκτῆρσιν ἐνέχοιτο ἡ βδέλλα, δι' ἐρρίνων θεραπεύειν ἅτινα συντίθενται δι' ὄξους δριμέος καὶ μελανθίου καὶ βορβόρου ἰατρικοῦ· διὰ πυρίτιδος δὲ μήλης ἐρχομένου καὶ ὠθουμένου κατὰ στόματος, ἡ ῥινὶ καὶ ὁμοίων. βατράχου δὲ τῷ βρόγχῳ προσφαγέντος ἢ χόρτης λαθούσης ὑποθέν μυκτῆρι, ἔνθα ἐστὶν ἡ βδέλλα· ταῖς δὲ τῷ βρόγχῳ προσφαγεῖσαις φυκίας καὶ ἀορασίας, ἐκβαλλέτω ὅλως· ἐμβιβάσαι δὲ τὸ πάσχοντα εἰς θερμὸν ἐμβασὶν μέχρι τραχήλου καὶ διδόναι διακρατεῖν ἐν στόματι ψυχρότατον ὕδωρ καὶ ἀλλάσσειν συνεχῶς· ἐξελεύσονται γὰρ ἡ βδέλλα πρὸς τὸ ψυχρὸν προθυμίᾳ· ἐκφεύγειν τοῦτον καὶ σταφὶς καὶ ὄξος καὶ βάτραχον μικρὸν εἰ καταπίοι τις· εἰ δ' ἀνεξέστασε τοῦτον καὶ γαστρὶ ἐμποιοῦντα, καὶ ὕδωρ πολὺ νῆστις πίοι, συναπεμέσει τῷ ὕδατι. καὶ τῆς γυναικὸς τρεῖς ἀσκαλαβώτας καταπιούσης καὶ τρία κατὰ πία οἴνου ἀκράτου πιούσα, ἐξήμεσεν αὐτούς.

ΠΕΡΙ

## Περὶ ἐφημέρου κεφάλ. ξα.

Τοῖς ἐφήμερον λαβοῦσιν, ὃ ἔνιοι κολχικὸν ἢ βολβὸν ἄγριον καλοῦσι, αὐθήμερον ἢ ἀναιροῦν· ἔστι δὲ ὥς φασί τινες σύνθετον· οἱ δ' ἁπλοῦν λέγουσι φάρμακον. παρέπεται οὖν τούτοις κνησμὸς ὅλου σώματος ὡς ὑπὸ σκίλλης ἢ κνίδης ἠρεθισμένοις ἀναδέχονται· καυσοῦνται τὸν στόμαχον μετὰ βάρους ἱκανοῦ· προϊόντος δὲ τοῦ πάθους κατὰ κοιλίαν φέρεται αἱματώδη ξύσματι μεμιγμένον· βοηθητέον καθάπερ λοιποὺς σαλαμάνδρας εἰληφότας δι' ἐμέτων καὶ κλυσμῶν συνεχῶν· πρὸς δὲ τὸ μὴ ἐγχωρῆσαι τὸ φάρμακον· δίδου ῥοιᾶς σιδίων ἢ φύλλων αὐτῆς ἀφέψημα σὺν γάλακτι πίνειν· ἢ ἀμπέλου ἕλικας κεκομμένας ἢ βάτων ἀκρεμόνων ἢ μύρτων ἀφέψημα μετὰ οἴνου· ἢ ὀρίγανον σὺν γάλακτι μόνης ἢ βάτων ἀκρεμόνων· ἢ σταφίδα λιπαρὰν λεάνας δίδου σὺν γάλακτι· θαυμαστῶς ποιεῖ· βδελλοστάχνια ἢ σταφίδα λιπαρὰν λεάνας δίδου σὺν γάλακτι καὶ κατεχόμενον ἐν στόματι ὡς ἄλλῳ μὴ δέξεσθαι βοηθήματι· ἢ γάλα νεόβδαλτον πινόμενον σὺν ἐλαίῳ καὶ κατεχόμενον ἐν στόματι· πολύποδες ζέμα ἢ κυμάτων· ποιεῖ δὲ ταῦτα καὶ κάσταν. τὸ ἐν τοῖς μετὰ οἴνου ποθέν· πολύποδες ζέμα ἢ κυπαρίσσου.

## Περὶ δορυκνίου ἤτοι στρύχνου μανικοῦ κεφ. ξβ.

Δορυκνίου ῥίζης < α' πινομένη φαντασίαν μόνην ἀποτελεῖ ἀβλαβῶς· δύο δὲ < ποθεῖσαι, ἐξίστησι τὸν δὲ μανιωδῶς τριῶν ἡμερῶν ἢ τεσσάρων ἐπὶ τὸν πόντα· καὶ ἀναιροῦσι· καὶ διὰ τοῦτο ἔνιοι στρύχνον μανικὸν ἐκάλεσαν. γίνεται ὥσπερ γάλακτος ποιότης ἐν στόματι· παρακολουθεῖ πολὺς λυγμὸς συνεχής· γλώττης ὑγρότης· ἄλγημα στομάχου· στρόφος κατὰ κοιλίαν· μυξώδους αἱματώδους ἀναγωγὴ ἀθρόα· ῥιπτασμός· ξυσματώδη φέρεται. βοηθεῖ πρὶν τούτοις παρακολουθῆσαι μετὰ ἐμέτων γάλα ὄνειον ἢ αἴγειον νεόβδαλτον πινόμενον συνεχῶς· καὶ κλυσμοὺς μελικράτου· γλυκὺς οἶνος χλιαρὸς μετὰ ἀνίσου πινόμενος· ἀμύγδαλα πικρά· στήθη ὀρνίθων καθεφθὰ καὶ ὁ ζωμὸς αὐτῶν· κάραβοι, ἀστακοί· καὶ ὁ ζωμὸς πάντα κογχύλια ὠμὰ καὶ ὀπτὰ ἐσθιόμενα. τινὲς ἕτερον εἶναι δορύκνιόν φασιν ὃ καὶ ταὐτὸ ἐστὶ τῷ αὐτοῦ ζωμὸς πινόμενος. τοῦ δὲ μανικοῦ στρύχνου τὸ ἀναιρεῖν πάντα πόντα ἐκ σημείων καὶ μανεῖσαν τῇ δ' ἡμέρᾳ.

## Περὶ ἀκονίτου. κεφάλαιον. ξγ.

Τὸ ἀκόνιτον ἀπὸ τόπου, ἀκονίστου ὀνομάζεσθαι, ὅ τινες εἰρηνικὸν ἀγρίαν καλοῦσιν· ἐμφερές ἐστι ῥιζίον ἀγρώστει, ὃ καὶ φαρμακίδα φασὶ διὰ τὸ σιναγρίαν. εὐθέως δὲ ἐν τῷ πίνεσθαι γλυκαίνει τὴν γλῶτταν μετά τινος στύψεως τὰ γευσάμενα αὐτοῦ· ὕστερον δὲ πικραίνεται στόμα καὶ σὺν δήξει τῶν χειλέων παραζέσεως· εἶτα ὕστερον μικρόν, πικραίνεται στόμα καὶ ὁ πόνος πλευρῶν· θώρακος βάρος καὶ ὑποχονδρίων· ἐνεχολοῦνται καὶ καρδιωγμὸς καὶ πόνος πλευρῶν· φθορὰ γίνεται μετὰ πνευμάτων πολλῶν μέχρι τῆς ὀσφύος καὶ ὑπὸ τὸν ὀμφαλόν· ὀφθαλμοὶ ταραχώδεις γίνονται καὶ βαρύνεται κεφαλή· κρόταφοι πάλλονται· ὀφθαλμοὶ ταραχώδεις· προϊόντος τοῦ κακοῦ, τρόμος, παλμός· οἴδησις περὶ ὀφθαλμοὺς δακρύουσι· προϊόντος τοῦ κακοῦ, βοηθητέον μετὰ ἐμέτους καὶ κλυσμοὺς ποτίζοντες τοῦ σώματος ἐπακολουθεῖ. βοηθητέον μετὰ ἐμέτους καὶ κλυσμοὺς ποτίζοντες ἀψίνθιον, ἀβρότονον, χαμαίδρυς ὀρίγανον πήγανον πράσον· ἀψίνθιον· ῥίζα ἀβρότονον, χαμαιπίτυν μετὰ οἴνου. δίδου ὀποβαλσάμου < α' μετὰ οἰνομέλιτος γάλακτος νεοβδάλτου ἢ μετ' οἴνου ἢ πιτύαν λαγωοῦ ἢ λαγωοῦ ἢ ξίφου μετ' ὄξους· ἢ σιδήρου σκωρίαν ἢ αὐτὸν σίδηρον ἢ χρυσὸν ἢ ἄργυρον ἢ λίθον μυλίτην διάπυρα ἐν οἴνῳ σβέσας δίδου πίνειν εὔθερμον οἶνον ἢ κονίαν στακτὴν σὺν οἴνῳ ἢ νεοσσὸν ὄρνιθος λιπαρὸν ἕψησον καὶ καταπίεσας ἐν τῷ ὕδατι ἄχρις ἂν ὀστᾶ μόνα καταλειφθῇ, δίδου ζωμὸν πίνειν μετ' οἴνου ἢ καθ' αὐτόν. ποιεῖ καὶ μόσχος λιπαρὸς ζωμὸς μόνος πινόμενος ἢ μετὰ πηγάνου καὶ ἐμούμενος· ἰδίως ταῦτα τοῖς ποιεῖ χαμαιπίτυς πινομένη· καὶ κάστορ. ἶρις. πήγανον. τινὲς φασὶν ὑπὸ μηδενὸς τούτων βοηθεῖσθαι.

γρ. χειλῶν

## Περὶ μέλιτος τοῦ ἐν Ἡρακλείᾳ Πόντου γινομένου.

κεφ.

## Κεφάλαιον ξδ

Τοῦτο μὲν παθὲν ἢ βρωθὲν αὐτὰ ἀποτελεῖ ἅπερ ἀκόνι-
τον· ἐν δὲ Ἡρακλείᾳ γεννᾶται ἀκόνιτον· ἐξ οὗ καὶ συλλέγονται ἐκθέσα-
ντες τὰ μέλη· ἁρμόσει οὖν αὐτοῖς αὐτὰ βοηθήματα τὰ προειρημένα, περὶ ἀκο-
νίτου καὶ μάλιστα πήγανον ξηρὸν μετὰ οἰνομέλιτος πινόμενα· φασὶ τὰ τοῖς
κόποις φαγόντων γενόμενα ζῶα, μαίνεσθαι ὁμοίως.

## Περὶ κορίου. Κεφάλαιον ξε

Κόριον παθὲν φωνὴν δασύνει· παραφροσύνην μανιώδη ἐπιφέ-
ρει καὶ τὴν ἀπὸ μέθης ὁμοίαν ζῶ τοὺς αἰσχρολογεῖν τοὺς σεμνοὺς ποιεῖ· ἡ ἀποφορὰ
ὄζει τὸ δ' ὅλον σῶμα ἢ ὀσμὴν κορίου ἐξ ἐκχυθέντων· βοηθεῖ ἔμετος διδ-
όμενα· καθ' ὅλον σῶμα ἢ ὀσμὴ κορίου ἐξ ἐκχυθέντων· ᾠὰ
δ' αἰγείρινον καὶ οἶνος ἄκρατος σὺν ἀψινθίῳ πινόμενος καὶ καθ' ἑαυτόν· ᾠὰ
εἰς ἓν κενωθέντα καὶ χλιανθέντα καὶ σὺν ἅλμῃ ἑψόμενα· καὶ ζωμὸς λι-
παρὸς ἁλμυρὸς ἐγχελύων· ἀλεκτορίδων· χοιρείων μετὰ γλυκέος· ἀ-
ψίνθιον ἐν οἴνῳ ἢ ὄξει πινόμενον καὶ ζέμα ναρδοστάχυος ἢ πηγάνου ἢ θύμβρας
ἢ καλαμίνθης.

## Περὶ ψυλλίου. Κεφ. ξς

Ψύλλιον παθὲν ἐπιφέρει ψύξιν ὅλου σώματος καὶ νάρκην
μετ' ἐκλύσεως καὶ ἀδημονίας· βοηθεῖ δὲ τοῖς κόριον πεπωκόσιν ἢ κώ-
νειον· οἶνος γλυκὺς ὁ ἀπὸ ληνοῦ εἰ παρείη λίαν ἐπιτήδειος πινόμενον
βοηθεῖ· αἱ κανθαρίδες μετ' ὀλίγου γλυκέος ἐπεὶ καὶ κόριον ψύλλιον
κώνειον τὰς κανθαρίδας εἰ ληφθῶσιν ὀνίνησι.

## Περὶ κωνείου. Κεφάλ. ξζ

Κώνειον παθὲν ἐπιφέρει σκοτώματα καὶ ἀχλύν, ὡς μηδ' ὁρᾶν, ἀλόγον
λυγμὸν καὶ διανοίας παραφορὰν καὶ ψύξιν· ἐσχάτως δὲ πνιγ-
μὸς βλάπτειν· λυγμοὶ καὶ διανοίας παραφορὰν καὶ ψύξιν· ἐσχάτως δὲ πνίγονται σπασμοὶ· λαμ-
μός· νωθρότης καὶ πελιδνότης· ἐπὶ τέλει δὲ σπώμενοι, πνίγονται στενούμενοι· λαμ-
βάνοντες τὴν κατ' ἀναπνοὴν πνεύματος· κατ' ἀρχὰς μὲν οὖν διεμεῖν
βαλόντες· τὸ δ' εἰς ἔνθα προλιπανθῇ κοὶς κλυσμῷ σὺν
ἐξ ὕδατος αὐτὸ κομιστέον· τὸ δ' ἐπὶ μέγιστον βοήθημα ἐστὶ τὸ γλυκέως
σὺν ἐγχείρησιν· εἶτα ὡς ἐπὶ μέγιστον βοήθημα ἐστὶ τῆς γλυκέως
ἄκρατος πόσις ἴσον· ἐν τοῖς μεταξὺ τῆς ἀκράτου πόσεως διαστήμασι,
ξουλενταλόνδον ναρδοστάχυος ἢ ἀψινθίου μετὰ πεπέρεως καὶ πηγάνου· ἢ κασ-
τόριον ἢ γάλα ὄνειον νάρδου σταχ. ἢ ἀψίνθ. μετὰ πεπέρ. καὶ πηγάνου· ἢ κασό-
ρια καὶ πήγανον καὶ ἡδύοσμον σὺν οἴνῳ· ἢ ἀμώμ. ∠ α· ἢ στύραξ· ὁμοίως
καὶ πέπερι μετὰ κνίδης σπέρμ. σὺν οἴνῳ ἢ δάφνης φύλλ. ἢ σίλφιον
ἢ λάσαρ· ἢ ὀπὸν κυρηναϊκὸν ἢ πήγανον ἢ σέλινον· σπέρμ. ἢ ἴρεως ῥίζαν
ἢ ζέσεις μασσαλεωτικοῦ σὺν οἴνῳ γλυκεῖ πάντα· ἢ νίτρον μεθ' ὕδατος
πολλοῦ· καὶ θερμαίνειν τὸ ὅλον σῶμα μάλιστα τὰ ὑποχόνδρια· κινεῖν δὲ
σφοδρότερον· τρέχειν ἀναγκάζειν· ἱστοροῦσι τινὲς ἐπὶ τούτοις ὀλίγον
κανθαρίδων μετὰ γλυκέως διδόμενον ὠφελεῖν· συμβάλλεσθαι οὖν ὡς
τῶν κανθαρίδων κώνειον ἀντιπαθὲς διδόμενον· φασὶ πρὸς κώ-
νειον τὴν ἰσχὺν κόπτειν μετ' οἴνου ὀνήσιμον καὶ τὸ αἷμα τὸ ξηρὸν
ἢ καὶ χοίρειον καὶ μη-
κωνίου λάπαθον δι' ἐπιπλέου ἐπὶ κοιλίας σὺν λ
κλύζειν ταύτην.

## Περὶ ὀποῦ καρπάσου. Κεφ. ξη

Ὁ καρπάσου ὀπὸς παθεὶς κάρον ἐπιφέρει καὶ ἀμαυρώσεις
ἀναισθησίαν ἄνευ πόνου καὶ περιιδρώσεις· πνιγμὸν ὀξὺν σὺν ὀλεθρίου
ἀναισθησίας ἀναβολῇ· βοηθοῦνται ὑφ' ὧν οἱ κώνειον πεπωκότες καὶ
τὸ τεξικὸν· καὶ τὸ ἐφήμερον.

ΠΛΔ Ξ
ΣΟ

## ΠΕΡΙ ΣΜΙΛΑΚΟΣ Ἢ ΘΥΜΗΛ. Ἢ ΤΑΞΟΥ ΛΕΓΟΜΕΝΗΣ. ΚΕΦΑΛ. ΞΘ

Σμίλαξ ἡ καλουμένη θύμηλον, παρὰ Ῥωμαίοις τάξον, ποθεῖσα τοῖς ληφθεῖσι ψύξιν ὅλου σώματος, πνιγμὸν, ὀξὺν θάνατον. βοηθεῖ δὲ καὶ τούτοις τὰ τοῦ κωνείου.

## ΠΕΡΙ ΣΑΡΔΟΝΙΟΥ. ΚΕΦΑΛ. Ο

Ἡ σαρδόνιος πόα εἶδος οὖσα βατραχίου, παραφορὰν διανοίας ἐπάγει τοῖς ληφθεῖσι καὶ σπασμόν, σύνολκήν τε τῶν χειλῶν, ὥστε γέλωτος φαντασίαν παρέχειν. ἀφ᾽ ἧς διαθέσεως καὶ ὁ σαρδόνιος γέλως οὐκ εὐφήμως ἐν τῷ βίῳ κωμῳδεῖται. σύμπτωμα γάρ ἐστι χαλεπόν, νόθῳ γέλωτι προφάσει ἀπιστίας θάνατον πορίζόμενον. ἁρμόζει πιεῖν μετ᾽ ἐμετόν, μελίκρατον πολὺ διδόμενον καὶ γάλα, ἐμβροχὴ λιπαρὰ ὅλου σώματος διὰ θερμῶν, τινῶν ἀλειμμάτων. καὶ ἐμβιβάζειν εἰς θερμαίῳ θερμῷ, ἀναλείφειν, ἀνατρίβειν ἱκανῶς μετὰ τὴν ἔμβασιν. καὶ ὅλως ὡς πρὸς σπασμοὺς ἐνεργεῖν ποτίζοντας καστόριον σὺν γλυκεῖ καὶ τὰ παραπλήσια.

## ΠΕΡΙ ὙΟΣΚΥΑΜΟΥ. ΚΕΦΑΛ. ΟΑ

Ὑοσκύαμος ληφθεὶς παραφροσύνην ὁμοίαν μέθῃ ἐπάγει τοῖς ληφθεῖσι, ῥιπτασμὸν μετὰ διαστροφῆς, ἔκλυσιν λειποθυμιώδη. τοῖς γίνεται ὀφθαλμῶν ἐρύθημα, καὶ αἰδοῖα καὶ ταῦρον κνησμώδη. τοῖς ἔκλυσιν σφυγμοῦ καὶ διατάσεις παρακοπῆς. διέξεις ὅλων καὶ κνησμὸς ἐν ἀρχῇ. εἶτα πόνος. ἐστὶ καὶ παράλυσις, δοκοῦσι μαστιγοῦσθαι ὑπό τινων τὸ σῶμα. θεραπεία ἐστὶ μελίκρατον πολλῷ ποτιζόμενοι καὶ γάλακτι, μάλιστα ὀνείῳ. εἰ δὲ μή γε αἰγείῳ ἢ βοείῳ καὶ σύκων ξηρῶν ἀφεψήματι. σταφυλίνου σπέρμα ἁρμόδιον καὶ ὄξος ὠσμα λεῖον μετὰ γλυκέως πινόμενον. ἁλμυρὸς οἶνος σὺν ἐπιμιγεῖ ὕδατι προσφάγω, καὶ γλυκεῖ. κνίδης σπέρμα ὁμοίως ἢ φύλλα ἐν γάλακτι ἑφθά, ἢ κιχώριον καὶ κάρδαμον δίδου ἐσθίειν ἢ μετ᾽ οἴνου πίνειν. μέγιστον βοήθημα ταῦτα. δίδου καὶ ῥάφανον καὶ νάπυ, κρόμμυα, σκοροδόπρασα. ἁρμόδια σκορόδου χρὴ ὡς οἶνον πέψωσι. ὠφελοῦνται γάλα γυναικεῖον θηλάζοντες.

## ΠΕΡΙ ΜΑΝΔΡΑΓΟΡΟΥ. ΚΕΦΑΛ. ΟΒ

Τὴν μανδραγόρου ῥίζαν, οὐδεὶς ἂν λάθοι διδούς. τριβόμενα γὰρ ὑγρά, ὀσμὴν βαρεῖαν καὶ ναυτιώδη παρέχει τινά. καὶ γεῦσιν ἐμπικρόν ἐστι καὶ ἀηδές. ὅτι καὶ πλῆθος διδόμενον αὐτῆς καὶ τὰ μὲν ἄλλα δυσχερῆ ἀπεργάζεται. τὸ δ᾽ ἀναιροῦν χρονιοῦσαν τοῖς ληφθεῖσι. πινόντες ῥίζαν, οἱ μὲν νωθεῖς καὶ παρειμένοι καὶ ἔκλυτοι γίνονται. καὶ κατενεχθέντες εἰς βαρὺν ὕπνον καρώδη καταφέρονται. ἀνακαλούμενοι μόλις ὑπακούουσι. διεγειρόμενοι συντόμως καταπίπτουσι. οἱ δέ τινες θερμοὶ μὲν οὐδ᾽ ὅλως γίνονται. διανοίᾳ δὲ παραφερόμενοι, βραδέως εἰς ληθαργώδη καταφορὰν παραφέρονται. θεραπεύειν χρὴ τοὺς τοιούτους ταραττομένους

μένους μετὰ τὸν ἔμετον, χωρὶς πόματος ἢ γλήχωνα λειότατον μεθ' ὕδα-
τος θερμοῦ ποτίζοντα ἢ τοῖς δυναμένοις τὴν κάτω κοιλίαν ἐκλύειν. τοὺς
δ' ὑπὸ βάθους διακατεχομένους μετὰ τὸν ἔμετον ποτίζειν ὀρίγανον μετὰ
σὺν ὕδατι ψυχρῷ· πάνυ γὰρ βοηθοῦσι. διδόναι καὶ ἀψίνθιον σὺν
γλυκεῖ κεκραμένῳ. ἐμβρέχειν κεφαλὴν δι' ὄξους καὶ βαλσάμου ἢ κε- γρ. δι' ὀξυροδίνου.
δρίας. διεγείρειν συνεχῶς. ὀσφραντὰ προσάγειν ῥινὶ καστόριον· πήγα-
νον· γλήχωνα μετ' ὄξους. καὶ τὰ ἐπὶ ὀπίου προσφέρεσθαι. μανδραγόρου δὲ μῆ-
λα ἀκριβῶς πεπανθέντα ἐσθίεσθαι ὑπό τινων ἀβλαβῶς· χωρὶς πόματος καὶ
ἐπὶ πλεῖον τῶν δεόντων βεβρωθέντα, ὕπνον ἐπιφέρει [illegible] τῶν κατὰ φύσιν· ἄωρα
δὲ καὶ ὠμότερα σὺν πόματι μάλιστα ἐσθιόμενα κίνδυνον μέγιστον ἐπι-
φέρει. παρέπεται γὰρ ἐσθίουσιν αὐτὰ πύρωσις περὶ ἐπιφάνειαν σώματος·
στόμα· γλῶττα ξηραίνεται, ὡς μηδ' ὅλως οἷόν τε [illegible] τὰ
μέρη. χασμῶνται δ' ἀεὶ στόματι ἐγχάσκοντες ἀπαύστως τὸ ἄσθμα. μὴ βοη-
θούμενοι δὲ τάχιον, σπώμενοι θνήσκουσι. βοηθούμενοι δ' ὁμοίως ἐπὶ
[illegible] δι' [illegible] ἀνθράκων, σπαίρων ὀχληρὸν [illegible]
[illegible]. σφόδρα [illegible] καὶ νηχόμενοι ὕδατι ψυχρῷ καὶ
ἐγχρονίζοντες ἐν αὐτῷ.

## Περὶ ὀποῦ μήκωνος. Κεφάλ. ογ.

Ὀπὸς ἐπὶ τῆς τοῦ μανδραγόρου ῥίζης προείρηται. ὅλως οὐδὲ τὸ μή-
κωνος ὀπόν τις ὑγιαῖνον τι διδοὺς λάθοι διὰ τὴν [illegible] ἰδιότητα καὶ
πικρίαν καὶ τῆς ὀσμῆς ἀτοπίαν· καὶ ὅτι πλάνην ἐστὶ τὸ πρὸς ἀναίρεσιν
διδόμενον. ὅταν οὖν τινες ἑκουσίως τοῦτο φάρμακον πιόντες ἢ [illegible]
[illegible] ἐκφαίνειν, ἢ καὶ βουλόμενοι [illegible] ἀδιανοήτως [illegible]
[illegible] ἐπιγνωσθήσονται. παρακολουθεῖ τοῖς τοῦτο λαβοῦσι καταφορὰ
[illegible] βλέφαρα· θώρακος
ὑπνώδης. ὀφθαλμῶν κοῖλανσις. δυσκινησία [illegible] ὡς ἐνίοτε ὑπ' αὐτῶν
[illegible] καταψύξεως καὶ κνησμοῦ [illegible] ὅσοι [illegible] δι' ὅλου σώμ-
ατος διεγείρεσθαι αὐτούς. γλώσσης ἐμποδισμός. ὅσοι [illegible] χείλη. λυγμὸς
ἐκδίδοται αὐτοῖς. [illegible] ἢ κάτω γένυς. οἰδήματα χείλη. ὑπόχυ-
[illegible]. διαστροφὴ ῥινός. ὠχρίασις. πελίωσις ὀνύχων. ὑπόχ-
[illegible]. ἀνασπασμός. ἀναπνοὴ ψυχρὰ πυκνή. ὑγρά. ἐκ [illegible]
[illegible] ῥωσμός. ἐπὶ [illegible] σπασμός. βοηθεῖ τούτοις δὲ μετὰ τὸ [illegible]
ματα καὶ κλυσθῆναι [illegible], ὀξύμελι πινόμενον καὶ ὄξος
[illegible] καὶ [illegible] πολὺς μετ' [illegible]
θερμοῦ καὶ [illegible]. καὶ οἶνος κιρρὸς παλαιός, ἄκρατος πολὺς μετ' [illegible]
[illegible] καὶ νίτρον μεθ' ὕδατος. ὀρίγανον σὺν [illegible]
[illegible] καὶ κασσίας. καὶ [illegible] ἀψίνθιον ἢ καστόριον σὺν ὀξυμέλιτι. θύμ-
[illegible] ἀγρίου [illegible] ἀφέψημα μετ' οἴνου. [illegible] καὶ τούτους [illegible] κέδρια
[illegible] καὶ ὀριγάνου ἀφέψημα μετ' οἴνου. [illegible] ὀσφραντοῖς διεγείρειν. κεφαλὴν [illegible]
βραχὺ κεκαυμένην καὶ ὁμοίοις ὀσφραντοῖς διεγείρειν. [illegible] καὶ ἐμβρ-
μοῖς, [illegible]. μὴ ἐᾶν ὑπνοῦν. ἀλλὰ διαφορεῖν καὶ ἐμβι-
βάζειν εἰς θερμὸν ἐμβασὸν καὶ πυριᾶν. λούειν διὰ κνησμὸν καὶ συμ-
[illegible] αἵματος τὴν ὑπὸ ψύχους. μετὰ [illegible] διδόναι λιπαροὺς ζωμούς
καὶ μηκὸν [illegible] ὡς [illegible] ἐλληφόσιν
ἀφέψημα [illegible] διδόμενον πρὸ ἐμέτου καὶ μετ' ἔμετον.

## Περὶ τοξικοῦ. Κεφάλαιον οδ.

Τοξικὸν ἐν διαφόροις διαφορεῖν ἔστι; δοκεῖ ὀνομάζεσθαι ἐκ τῶν
τοξευμάτων ἢ [illegible] ὑπὸ βαρβάρων ἐν αὐτῷ χρίεσθαι.

σὺν-

ζωνθεῖον ὄξει παρ' ἐνίοις. παρακολουθεῖ τοῖς πεπωκόσιν αὐτό, χειλῶν καὶ γλώσσης φλεγμονή· πάθος ξηρόν· ῥῆξις ὅλων· λοξὰ βλέπουσι· τρίζουσι τοὺς ὀδόντας· μανία ἀκατάσχετος καὶ ὄψεις ποικίλαις ὑποβάλλουσι φαντασίαις· ὥστε διὰ τοῦτο δυσιάτως ἔχειν. σπανίως σώζεσθαί τινα τῶν πεπωκότων. διὸ δεσμοῖς συνέχειν αὐτούς· ἀναγκάζειν γλυκύ μετὰ ῥοδίνου πίνειν καὶ ἐμεῖν πλῆθος κατ' ἐκεῖνο· ἔπειτα ζωμὸν χηνὸς νεοσσοῦ λιπαροῦ διδόναι καταρροφεῖν. βοηθεῖ γογγυλίδος σπέρμα πινόμενον· ἰσώτερον ἢ τῆς πενταφύλλου ῥίζα· τράγου αἷμα ἢ αἰγός· δρυὸς φλοιὸς σὺν γάλακτι λεανθείς· κυδώνια μῆλα ἐσθιόμενα ἢ τὸ ἀφέψημα αὐτῶν καὶ γλήχωνος πινόμενον· ἄμωμον· βαλσάμου καρπὸς σὺν οἴνῳ. εἴ τις ἐκφύγοι κίνδυνον, κλινοπετὴς διαμένει χρόνῳ πολλῷ· ὑπολειπομένης ἀκαταστασίας τῶν λογισμῶν λεπτοῦ χρόνου παραμένει.

## Πρὸς τοὺς ἰξίαν πιόντας. κεφάλ. οε'.

Ἰξία καὶ ὕλειος χαμαιλέων πινομένη ὠκίμου τὴν γεῦσιν καὶ ὀσμὴν ἐοικυῖαν ἔχει· ἐπιφέρει γλώσσης ἰσχυρὰν φλεγμονὴν καὶ παρακοπήν· τὰς ἐκκρίσεις ἐπέχουσι πάσας· βορβορυγμοὺς λειποθυμίας ἐπάγουσι διὰ τὸ μὴ ἐκκρίνειν τι. βοηθεῖ μετὰ τὸ ἱκανῶς ἱκανῶς ἐμέσαι καὶ ὑπαγωγῆς γαστρὸς διὰ κλυστῆρος· ἀψινθίου ἀπόβρεγμα πινόμενον σὺν οἴνῳ πολλῷ ἢ ὄξει ἢ ὀξυμέλιτι ἢ πηγάνου ἀγρίου ῥίζης ἢ τραγοριγάνου ἀφέψημα σὺν τινι προειρημένων ἢ σὺν γάλακτι. ἢ ῥητίνη τερεβινθίνης καὶ νάρδου καὶ σιλφίου ἀν. ὀβολ. α' σὺν οἴνῳ· ἢ καστορ. πηγάν. τερεβινθιν. ἀν. ∠ α'. ἐν ἄλλῳ ὀβολ. α'.

## Περὶ χαμαιλέοντος. κεφάλ. ος'.

Χαμαιλέοντος ποθέντος γίνεται δηγμὸς κοιλίας μετὰ βορβορυγμοῦ· διαστροφὴ προσώπου· ἀφώδης ὄγκος· γλώσσης οἴδημα· παλμοί· ναρκώσεις ὅλου σώματος· ἀφωνία. τοῖς δὲ λευκὸν πεπωκόσι πνιγμὸς ἐπιγίνεται. θεραπεύονται πάντα τοῖς ἐπὶ μυκήτων εἰρησομένοις. δίδοται δὲ τὸ ἐλατήριον καὶ στύλλου χυλὸν καὶ πυρίνης πιτυάνης χυλὸν μετὰ γλυκέος· ἀψινθίου ἀπόβρεγμα· νίτρον μετ' ὀξυμέλιτος· ἐμεσάτωσαν πλεονάκις· δίδου πίνειν γάλα νεόβδαλτον· κλύζε κοιλίαν ὀλιγάκις κλύσμασιν οἷς ἔγκειται καὶ ἀλθαία· πυρία ὑποχόνδρια καὶ θάλπε.

## Περὶ μυκήτων. κεφάλ. οζ'.

Μυκήτων οἱ μὲν τῷ γένει βλάπτουσι· οἱ δὲ τῷ πλήθει. βλάπτονται οἱ φαγόντες πνιγμοὺς ἐοικότας ταῖς ἀγχόναις· οἷς εὐθέως δεῖ βοηθεῖν πρὶν κρατηθῆναι· ῥαφανῖδας διδόντας πολλὰς φαγεῖν ἢ πηγάνου φύλλ. διδόναι πίνειν νίτρον μετ' ὀξυκράτου χλιαροῦ ἢ ὀξυμέλιτος ἐναφεψηθέντων τοῖς ὑσσώπου· θύμου· ὀριγάνου· ἀναγκάζοντας ἐμεῖν. θαυμαστῶς βοηθοῦσι κονίαν κληματίνην ῥινημένην πίνοντες καὶ μάλιστα εἰ ἐξ ἀχράδων ξύλων κεκαυμένων εἴη γεγεννημένη· ὄξους προσεμβαλλομένου καὶ νίτρου. καὶ συνεψόμεναι ἀχράδες ἢ φύλλα δένδρου μύκησιν ἀφαιροῦνται τὸ πνιγῶδες καὶ προεσθιόμεναι βοηθοῦσι. πίνεται ὠφελίμως ἀριστολοχίας ∠ α' σὺν ἀψινθ. μετ' οἴνου καὶ μελισσόφυλλ. μετὰ νίτρ. πάνακος ῥίζα σὺν οἴνῳ· κάρδαμον χλωρὸν ἐσθιόμενον ἢ σπέρμα αὐτοῦ πινόμενον. Φιλάγριος φησί, τὴν ἀλεκτορίδων λευκὴν κόπρον ξηρὰν λειώσαντας δώσομεν πίνειν

μετ'

μετ' ὀξυκράτου ἢ ὀξυμέλιτος. ταύτης δὲ καὶ ἡμεῖς πεῖραν ἔχομεν ἐναργῶς βοηθούσης τοῖς ὑπὸ μυκήτων πνιγομένοις. δεῖ καὶ δριμέσι κλυστῆρσι κενοῦν κοιλίαν. ἐπεὶ δέ τινες μύκητες ὑπό τινων ἰοβόλων θηρίων βεβρωθέντες ἢ μολυνθέντες ἢ ἐν τόποις φυόμενοι ἔνθα φωλεύουσι τοιαῦτα ζῷα, οὐ μόνον πνιγμὸν ἐπάγουσιν, ἀλλὰ καὶ ἀναιροῦσιν· ἔνθα δοτέον ἀψίνθιον καὶ σύκων ἀφέψημα πίνειν δαψιλῶς· καὶ ὀρίγανον μετὰ μελικράτου καὶ ἐμείτωσαν· τὰ δ' ἄλλα θηριακὰ πινέτωσαν καὶ ἐμβιβαζέσθωσαν θερμῷ ὕδατι.

## Περὶ αἵματος ταυρείου. Κεφάλ. οη'.

Αἷμα νεοσφαγὲς ταύρου ποθὲν θρομβοῦται κατὰ κοιλίαν, δυσπνοίαν ἐπιφέρει καὶ πνιγμόν. θλίβονται στόμαχον καὶ ἀσθμαίνουσιν ἰσχυρῶς ποιοῦσι. εὑρίσκεται τῶν πιόντων γλῶσσα ξηρά, οὖλα διαβεβρωμένα, θρόμβοι αἵματος μεταξὺ ὀδόντων. ἐπὶ τούτων τῶν ἐμέτων παραιτητέον· προσεσφηνωμένων δὲ τῷ στόματι γαστρὸς θρόμβων, κωλύουσι τὸ ἐμεῖν. διδόναι χρὴ ὅσα διαλύειν δύναται θρόμβους· ὀλύνθους [illegible] συκῆς μάλιστα ἀγρίας πλήρεις ὀποῦ ὄντας μετ' ὀξυκράτου καὶ νίτρου δίδου· ἢ ὀπὸν συκῆς ὁμοίως, ἢ κονίας στακτήν, ἐκ συκίνων ξύλων μάλιστα γεγενημένην. ὁ δὲ τῆς ἢ τοὺς ἀκρέμονας συκῆς λειώσας δίδου σὺν ὀξυκράτῳ καὶ νίτρῳ. ὁ δὲ τῆς ἀγρίας συκῆς καρπὸς καὶ ξηρὸς ἑψόμενος καὶ τὸ ἀφέψημα λύει θρόμβους. δίδοται ὠφελίμως καὶ σιλφίου ῥίζα μετ' ὄξους καὶ ἀμάραντον καὶ κράμβης σπέρμα καὶ κονύζης φύλλα μετ' ὀξυκράτου καὶ κονίας. κλύζειν κοιλίαν κλυσμοῖς δριμέσι καὶ ὀλίγον θερμοῖς.

## Περὶ γάλακτος ἐνθρομβωθέντος. Κεφ. οθ'.

Γάλα ἐμπηγνυσθὲν ἢ ἀθρόως ποθὲν πνιγμὸν ἐμποιεῖ ἐνίοτε ἐνθρομβούμενον. βοηθεῖ πυτία πᾶσα μέν, μάλιστα δὲ λαγωοῦ, πινομένη μετ' ὄξους· καὶ ὁ προσφάτως γάλα πηγνύουσα ἢ πυτία ἐμβληθεῖσα. τὸ δὲ ἤδη θρομβωθὲν διαλύειν πέφυκεν. δίδου δὲ καὶ καλαμίνθης χλωρᾶς χυλόν, ἢ ξηρᾶς φύλλα λεῖα· καὶ ἀρκευθίδας καὶ τὰ προρρηθέντα ἐν τῷ περὶ τοῦ θρομβωθέντος αἵματος διαλυτικά. ἔμετον κἀπὶ τούτων παραιτητέον· καὶ μηδὲν ἁλυκὸν ἐπὶ τούτων προσφέρειν.

## Περὶ γύψου. Κεφάλαιον π'.

Καὶ γύψος ποθεὶς πνιγμοὺς ἐπιφέρει λιθούμενος. διὸ μετὰ τὰ πρὸς μύκητας ἁρμόζοντα βοηθήματα διδόναι ἐπὶ τούτων ἀντιφέρειν δεῖ τὰ πρὸς μύκητας ἀφέψημα ἢ λίνου ἢ σύκων, ἢ τὸ ἔλαιον μετὰ μελικράτου ἢ μαλάχης ἀφέψημα. κλύζειν καὶ τοῖς αὐτοῖς ἀφεψήμασι.

## Περὶ ψιμμυθίου. Κεφάλ. πα'.

Ψιμμύθιον λαθεῖν μὲν οὐ δύναται διὰ χρόαν διδόμενον· χρισθὲν δὲ θερμαίνει τὸν οὐρανίσκον καὶ τὴν γλῶσσαν καὶ τὰ οὖλα· ἔνθα καὶ μέρος τι τοῦ ψιμμυθίου τοῖς οὔλοις ἀπερείδεται. ἐπιφέρει δὲ λυγμοὺς καὶ βῆχας· γλώσσης φάρυγγος ξηρότητα· ψύξιν ἀκρωτηρίων μετὰ παρακοπῆς καὶ δυσκινησίαν. ἁρμόζει διδόναι μελίκρατον ἢ σύκων καὶ μαλάχης ἀφέψημα ἢ γάλα θερμόν ἢ σήσαμον λεῖον μετὰ γλυκέως ἢ κονίαν κληματίνην.

ἢ

ἢ ἴρινον ἔλαιον. πᾶσι γὰρ ἔλαιον διαφυλάττει παραμιγνύειν χρή· ἐμέτωσαν δ' ἀφ' ἑκάστου. ποιεῖ καὶ σκαμμωνία σὺν μελικράτῳ πινομένη.

## Περὶ λιθαργύρου κεφ. πβ'.

Λιθάργυρος ποθεὶς βάρος ἐπιφέρει στομάχῳ· κοιλίας καὶ ἐντέρων μετὰ στρόφων ἐπιλεγομένων εἰλεωδῶν, περὶ τὸν ὀμφαλὸν μάλιστα ἐρειδόντων· ἐπέχεται οὖρα μετὰ παροιδήσεως σώματος· πελιοῦται τὸ ὅλον σῶμα καὶ μολυβδῶδες γίνεται· ἀφραίνεται [illegible] ταχέως παρακολουθεῖ· ἁρμόζει μετὰ τὸν διὰ τῶν ἐμετικῶν ἀφεψημάτων ἔμετον, ποτίζειν μετ' οἴνου ὀρμίνου σπέρμα καὶ σμύρνης τριώβολον, ἢ ἀψινθίου, ἢ σελίνου σπέρμα, ἢ πεπέρεως, ἢ ὑσσώπου, ἢ κύπρου ἄνθη ἢ βλαστούς· ἢ περιστερῶν κόπρον μετ' οἴνου καὶ ἐλαίου, ἢ οἰνομέλιτος καὶ ἐλαίου. εἰ δ' ὑπάρχῃ κοιλία ἐπὶ πολύ, λουτρὰ θερμὰ καὶ ἔα ὕπνα λιπαρά, ὅπως ἁρμόζει ἡ [illegible] καὶ ἔλαιον πινόμενον.

## Περὶ ὑδραργύρου κεφάλ. πγ'.

Ὑδράργυρος ποθεὶς παραπλήσια ἐπιφέρει τῇ λιθαργύρῳ. ἀπαιτεῖ δ' ὁμοίαν τὴν μεγάλην ποιότητα. ὠφελεῖ αὐτοὺς γάλα ὄνειον ἢ σμυρνελαίου πινόμενον συνεχῶς καὶ ἐμούμενον.

## Περὶ τιτάνου καὶ σανδαράχης καὶ ἀρσενικοῦ κεφάλ. πδ'.

Τίτανος, σανδαράχη, ἀρσενικὸν ποθέντα ἀλγήματα κοιλίας καὶ ἐντέρων ἐπιφέρει μετὰ δηγμοῦ ἰσχυροῦ. ὠφελοῦνται πίνοντες μαλάχης χυλόν· ὁμοίως καὶ λινοσπέρματος καὶ ὀρύζης ἢ ἄλικος καὶ ζωμοὺς λιπαροὺς καὶ μελίκρατον. μάλιστα γάλα θερμὸν καὶ συνεχῶς ἀναγκάζεσθαι ἐμεῖν.

## Περὶ θαψίας, κόρου, χαλκηρίου καὶ ἀγαρικοῦ. Κεφάλαιον πε'.

Τῶν δὲ ὠφελεῖν δοκούντων ἐνίοτε καὶ κινδυνεύουσι τῶν προσφερόντων, ὡς θαψία, κόρος, λευκὸς μέλας, ἐλατήριον, ἀγαρικόν. πολλάκις ἐπὶ πνιγμὸν ἐπιφέρει ἢ ὑπερκάθαρσιν· ἀγαρικὸν τῶν τινῶν μὲν ὑπὲρ ἐμετὸν ἢ πρὸς τοὺς εἰργάσατο· τοῖς μὲν οὖν πνιγμὸν ἐν σαλίσιν ὡς ἐπὶ τῶν μυκήτων ἢ ὡς ἐπὶ λευκοῦ κόρου θεράπευται ἐν τρίτῳ λόγῳ· ὑπερκαθαρθέντας τῶν στυφόντων διὰ τῶν βοηθουσῶν δυνάμεων καὶ τονούντων ὡς ἐν τῷ αὐτῷ τρίτῳ λόγῳ θεράπευται.

## Περὶ πηγάνου ἀγρίου καὶ μελανθίου κεφάλ. πϛ'.

Πηγάνου ἀγρίου ἢ μελανθίου βλάβην ἐπάγοντος ὀλιγάκις ῥαδίως καὶ ἀμβλυωπίαν ἀφεψημάτων πινομένων μετὰ πλείονος ἐλαίου ἰᾶται ταῦτα.

Περὶ ψυχροῦ ὕδατος ἢ οἴνου ἀθρόον ποθέντος βλαπτόντων.

Ψυχρὸν ὕδωρ ἀθρόως ποθὲν ἢ οἶνος ἄκρατος γλυκὺς

μαλ

μάλιστα ἀπὸ βαλανείου ἢ δρόμου ἢ συντόνων γυμνασίων, δηγμοὺς καὶ ἀλ-
γήματα ἐπιφέρει· τοὺς τοιούτους οὖν χρὴ φλεβοτομεῖν καὶ διὰ κλυστῆρος κε-
νοῦν·

## ΠΕΡΙ ΤΩΝ ΑΠΑΓΧΟΜΕΝΩΝ· ΚΕΦ. ΠΗ

Τοῖς ἀπαγχομένοις ἔτι ἐμπνέουσι [illegible] τοῦ βρόχου ἀφαιρουμένου βοηθεῖ καὶ φλεβοτομία ἐξ ἀγκῶνος· πότιζε καὶ [illegible] ὄξει ἢ ὀξυκράτῳ καὶ ἐμεῖν ἀνάγκαζε· τοῖς δὲ περὶ τὸν βρόγχον τόποις τοῦ τραχήλου ὑδρέλαιον θερμὸν προσφέρειν ἢ ἀνήθινον θερμόν· ἢ στέαρ χήνειον· καὶ ἐρίοις μαλακοῖς περιλαμβάνειν τράχηλον καὶ θάλπειν·

## ΠΕΡΙ ΤΩΝ ΑΦ' ΥΨΗΛΟΥ ΠΙΠΤΟΝΤΩΝ· ΚΕΦΑΛΑΙΟΝ ΠΘ·

Τοῖς ἀφ' ὑψηλοῦ κρημνιζομένοις βοηθεῖ παραχρῆμα ἀμπέλου κλήματα ἐν ὕδατι ἀπεζεσμένα καὶ πινόμενον τοῦ ὕδατος· ἐὰν δὲ πιὼν μὴ κατάσχῃ, ἀλλ' ἀπεμέσῃ τὸ ποθέν, ἀποθανεῖται· εἰ δὲ [illegible] αἷμα ἐξέμεσε καὶ ὑποπτεύεται ῥῆξις ἀγγείων, δίδου καίοντες κλήματα καὶ σβέσαντες ὕδατι καὶ διηθήσαντες, πίνειν πρὸς διάλυσιν θρόμβων τοῦ αἵματος· μὴ παρόντων κλημάτων, τὴν [illegible] τέφραν ἀποπλύνας, ταύτῃ χρῶ·

## Περὶ τῶν προφυλακτικῶν καὶ προγνωστικῶν ζώων ἐν οἰκίᾳ συνήθως τρεφομένων· Κεφάλαιον Ϟ·

Ἐπεὶ καὶ περὶ προφυλακτικῶν καὶ προγνωστικῶν ζώων παρὰ τοῖς ἀρχαίοις ἀναγεγραμμένα κατὰ τὸν τῆς αὐτῆς προθέσεως λόγον εὕρομεν, [illegible] ἐκλεξάμενος τὰ [illegible] ἐνθάδε παρατέθεικα, ὅπως [illegible] ὁ σύμπας περὶ τούτων λόγος γένηται· Πίσων μὲν [illegible] τὰ περὶ ζώων φησὶ τὸν πέρδικα ἐν οἰκίᾳ τρεφόμενον φωνεῖν· βοᾶν, καὶ [illegible] παραπέμπειν τὸ [illegible] φάρμακα [illegible] ἐν τῇ οἰκίᾳ ἢ ἔργον δηλητήριον· Μενέλαος δέ [illegible] τινὰ γίνεσθαι ἐν τῇ οἰκίᾳ, ἀμύνεσθαι καὶ [illegible] τρεφόμενος ἐν οἰκίᾳ, [illegible] φησί· Σιμωνίδης δέ φησι τὸν ταῶνα τὰ τοιαῦτα πράττειν· [illegible] εἰς τὸν τόπον καὶ βοᾶν προγινώσκοντα φαρμακείαν γεγενημένην [illegible] ἀποσκεδαννύειν ἀπὸ τῶν ἀγγείων τῶν φαρμα[illegible] καὶ [illegible] ἢ φαρμακεία [illegible] ἢ ἀνορύττειν ἐὰν [illegible] φαρμακεία[illegible] Ἀριστόδημος δέ φησι τὸν ἰχνεύμονα ἐν οἰκίᾳ τρεφόμενον τὰς [illegible] φαρμακείας προγινώσκειν· [illegible] κεχωσμένας φαρμακείας [illegible] δὲ ἱστορεῖ τὸν ἄρσενα [illegible] ἐν τῇ οἰκίᾳ τὰ τοιαῦτα· [illegible] τῶν ποιούντων ἢ εἰσφερόντων ἐν τῇ οἰκίᾳ τὰ τοιαῦτα, δὲ [illegible] τὰ προγεγραμμένα καὶ τὰς [illegible] πολυχρήστους [illegible] ὑποτακτέον·

## ΠΕΡΙ ΤΗΣ ΔΙ' ΕΧΙΔΝΩΝ ΘΗΡΙΑΚΗΣ ΑΝΤΙΔΟΤΟΥ· ΚΕΦ. ϞΑ·

Ἀρκτέον ἀπὸ τῆς δι' ἐχιδνῶν θηριακῆς ἀντιδότου, ἣν καὶ γαληνὴν [illegible] ἀπὸ τῆς γραφῆς· πολλῆς οὔσης διαφωνίας περὶ τὰς γραφὰς [illegible] περὶ [illegible] τὰ δὲ γραφῆ· [illegible] τῆς θηριακῆς, [illegible] τῆς ἀνδρομάχου [illegible] εἰς βασιλικὰς [illegible] γίνεται δ' αὐτῆς ἡ σκευασία [illegible] [illegible]

σκευάζειν

σκευάζειν τοὺς σκιλλιτικοὺς ἀρτίσκους· διότι πλειόνων ἡμερῶν δέονται εἰς τὸ ξηραίνεσθαι οἱ καὶ σκευάζονται οὕτως.

## Ἀρτίσκων σκιλλιτικῶν σκευασία. κεφ. σϙβ.

Λαμβάνοντα χρὴ σκίλλαν νεαρὰν εὐτραφῆ πυῤῥὰν, μὴ πάνυ μεγάλην, περιπλάττειν μὴ ὡς ἔθος πηλῷ, ἀλλὰ ζύμῃ καθαρᾷ καὶ διδόναι ὀπτᾶσθαι ἐν φούρνῳ ἐν τοῖς κακάβοις ἐν οἷς οἱ ἄρτοι ὀπτῶνται· εἶτα περικαθάρας καὶ λαβὼν τὰ ἔνδον μέρη τὰ ἁπαλώτατα λέαινε μάλα· ἐπίπασσε αὐτὰ ἀλεύρῳ ὀροβίνῳ ἐξ ὀρόβων κιῤῥῶν νεῶν γεγενημένου, τὸ διμοιρον τῆς σκίλλης ὡς εἶναι τοῦ μὲν ὀρόβου λιτρ. β. σκίλλης λιτρ. γ. ἐνίοτε καὶ ἐξ ἴσου ἀμφότερα μίγνυνται· καὶ ἑνώσας, ἀνάπλαττε λεπτοὺς κυκλίσκους· ἀφραττόμενος ἐν τῷ ἀναπλάσσειν ῥοδίνου ἐλαίου· ξήραινε ἐν σκιᾷ μεταστρέφων αὐτοὺς δὶς τῆς ἡμέρας.

## Ἡδυχρόου μάγματος σκευασία. κεφ. σϙγ.

Μάρου· ἀσάρου· ἀμαράκου· ἀσπαλάθου· σχοινάνθους· καλάμου ἀρωματικοῦ· ἀνὰ < ιβ. ἐν ἄλλοις ιε. φοῦ ποντικοῦ ἀνὰ < ι. ξυλοβαλσάμου· ὀποβαλσάμου· κόστου ἀνὰ < ιβ. ἐν ἄλλοις ιε. φοῦ ποντικοῦ ἀνὰ < ι. ... κρόκου· κασσίας ἀνὰ < κ. ἀμώμου < ζ. σμύρνης τρωγλοδύτιδος· φύλλου· ναρδοστάχυος· κρόκου· ... ἐν ἄλλοις ... μαστίχης < ε. ἐν ἄλλοις ιε. οἴνου παλαιοῦ ... γλυκέος τὸ ἀρκοῦν· τὰ ξηρὰ κόπτε, σῆθε· τὸν κρόκον λέαινε μετὰ οἴνου· ἐπιμελῶς ὕστερον ἐπιβαλὼν σμύρναν καὶ μαστίχην καὶ λεάνας εὖ μάλα ἐπίβαλλε τὸ ὀποβάλσαμον καὶ ἐπίπασσε τὰ ξηρὰ καὶ ἐπίβαλλε τὸ ὀποβάλσαμον καὶ ἐπίπασσε ... ἀφραττόμενος ἐν τῷ ἑνῶσαι, ἀνάπλασσε τροχίσκους λεπτοὺς ἀφραττόμενος ἐν τῷ ἀναπλάσσειν τοῦ οἴνου· καὶ ψῦχε τοὺς τροχίσκους ἐν σκιᾷ, μεταστρέφων αὐτοὺς καθ᾽ ἑκάστην.

## Ἀρτίσκων θηριακῶν σκευασία. κεφ. σϙδ.

Θηριακοὺς ἀρτίσκους σκευάζουσιν οὕτως· ἐχίδνας χρὴ θηλείας λαμβάνειν, μὴ παντὶ καιρῷ τεθηρευμένας, ἀλλὰ λήγοντος ἔαρος, οὔπω ἀρχομένου θέρους· ἢ εἰ ἐπὶ πολὺ χειμέριον τὸ ἔαρ γένηται, κατὰ τὴν ἀρχὴν τοῦ θέρους, οὐ μετὰ πολὺ τῆς τῶν πλειάδων ἐπιτολῆς· πλὴν οὐκ ἐγκυμόνας· ὅσαι δὲ ἐχιδνῶν ἐγκύμονες γίνονται ταύτας παραιτεῖσθαι χρὴ ἐμβάλλειν τῇ σκευασίᾳ· δριμύτεραι δὲ ἑαυτῶν γίνονται αἱ κύουσαι. θηρεύειν οὖν δεῖ ταύτας, ὅτε τῶν μὲν φωλεῶν παύονται, προέρχονται δὲ λοιπὸν ἔξω εἰς τοὺς ὑπαιθρίους τόπους, καὶ οὐκ ἔτι ὅλως ἔχουσι πονηρὸν τὸν ἰόν· ἔνδον δὲ φωλεύοντα ζῶα καὶ κατὰ μηδὲν διαφορούμενα, πονηροτέραν συνάγει τὴν ἐν αὐτοῖς φθοροποιὸν δύναμιν· ἔστω δ᾽ ὑπάρχοντα ζῶα εὐμεγέθη· δίκτυα ὀφθαλμοὺς ἐρυθροὺς ἔχοντα· στενοτράχηλα· πλατυτέραν κεφαλήν· οὐρὰν ἀθρόως εἰς λεπτὸν λήγουσαν· παντελῶς ἀτάρακτον· μέστα περιέρπουσαν· τὸ πρὸς ἀέρα μᾶλλον τὰς οὐρὰς ἔχοντα· οὐρὰν μὴ περιειλοῦντα ἀλλὰ μᾶλλον συστρέφοντα

ὄντα καὶ ἠρεμαῖον τοῦ περιπάτου ποιοῦντα. τούτοις γὰρ τοῦ ἄρρενος
ἡ θήλεια διενήνοχε καὶ τοὺς τέσσαρας κυνόδοντας ἔχειν. τοὺς ἄρρενας
μόνους δύο ἔχοντας, καὶ στενοτέραν κεφαλήν. τράχηλον παχύτερον. πᾶν
σῶμα λεπτότερον. οὐρὰν καὶ βραχεῖ εἰς μείζον λήγουσαν. ὀξυκάθαρ-
ον ὥσπερ ἐχίδνης· οὐδ' ἀσάρκους παντελῶς· φυλάττειν γὰρ τὰς ἄρρενας μᾶλλον
χρὴ εἰς τὴν τῆς ἀντιδότου σκευασίαν. φυλάττειν δ' οὐδὲν ἧττον καὶ
τὰ ἄλλα γένη τὰ προσεοικότα ἐχίδνῃ. προσέοικε ταύτῃ μάλιστα
ἀμμοδύτης· ἤδη δὲ καὶ αἱμόρροος, κεγχρίας καὶ σήψ. διαγνωστέον
τούτους προρρηθεῖσι τοῖς αὐτῶν σημείοις· μάλιστα τῇ χροιᾷ· ξανθὸν γάρ, ὑπό-
πυρρος ἔχιδνα. τἄλλα γένη γραμμώδη εἰσί, ἢ φαιά, ἢ μελανίζοντα. μὴ
ἀμελεῖν δὲ τῶν προρρηθέντων ἐφ' ἑκάστου τῶν ἄλλων σημείων. καὶ δὴ λαβόν-
τα τὰς ἐχίδνας τῷ προρρηθέντι καιρῷ τεθηρευμένας αὐθημερὸν ἢ πάν-
τως περὶ μιᾶς πρότερον ἀποκόπτειν αὐτῶν κεφαλὰς καὶ οὐράς. τοσοῦτον ἀπο-
κόπτοντα, ὅσον ἂν φαίνηταί σοι ἀσαρκότερον. ἐπιβλέπειν χρὴ μὴ μετ'
ἀποκοπὴν εὐθέως ἄναιμα, ἀκίνητα καὶ πάντῃ νεκρὰ ζῷα ἐπὶ γῆς
φαίνηται. τὰ τοιαῦτα γὰρ ἄχρηστα νόμιζε. ἐπὶ ἀποκοπέντων μᾶλλον βλέποις
ἐπιλιμπανομένην τινὰ κίνησιν ἐν λοιπῷ σώματι, καὶ τὸ ἔναιμον ἐπὶ-
πλεῖον τινὰ ἀποστάζειν δυνάμενα. ταῦτα ὡς ἄριστα ὄντα μιγνύναι τῇ
σκευασίᾳ τῆς ἀντιδότου. εἶτ' ἀποδέρειν αὐτῶν ὅλον ἀκριβῶς δέρμα·
ἐξαιρεῖν τὸ στέαρ ὡς ἄχρηστον καὶ τὰ ἔνδοθεν ἅπαντα. καὶ πλύνειν
σάρκας δυσὶ καὶ τρισὶν ὕδασι. μετὰ τοῦτο ἐμβάλλειν ἐν χύτρᾳ καθα-
ρᾷ καὶ ὕδωρ ἐπιβάλλειν σύμμετρον καὶ ἀνήθου χλωροῦ δεσμίδιον, καὶ
ἑψεῖν ὑποκαίοντα ἀμπέλινα ξύλα. ἐπὶ ἀναζέσῃ ἡ χύτρα, εἰωθυῖ-
αν συνεχῶς ἐν τῇ ἑψήσει ἀναβάλλειν τὸ ὕδωρ καὶ ὑπερεκχεῖσθαι τῆς χύτρας,
ἐπιρραίνειν ὕδατι ψυχρῷ ὁσάκις τοῦτο συμβαίνῃ. μέτρον αὐταρκὲς
ἔστω σοι τῆς ἑψήσεως, ὅταν δοκιμάζοντί σοι, αἱ σάρκες ἀφιστῶν-
ται τῶν ἀκανθῶν. τότε ἐπιβάλλειν χρὴ ἁλῶν συμμέτρων, ὡς γευομέ-
νῳ μὴ πάνυ ἁλικὸν φαίνοιτο καὶ καθαιρεῖν ἀπὸ πυρός. εἶτα ἀκριβῶς
χώριζε σάρκας τῶν ἀκανθῶν. ἵνα μή τι σε λάθῃ αὐτῶν ταῖς σαρξὶν
ἐγκείμενον. ἔχειν δὲ χρὴ παρακείμενον λεκανίδιον καθαρὸν ἔχον-
τι τοῦ ζωμοῦ. ἐν τούτῳ ἐμβάλλειν καθαριζομένας σάρκας. ῥᾳδίως
γὰρ ξηραίνονται καὶ δυσλείωτοι γίνονται. ὅταν δὲ καθαρὰς σάρκας
ποιήσῃς, ἐκπιέσας ἀκριβῶς ταῖς χερσί, στάθμιζε. βαλὼν ἐν θυ-
ίᾳ μαρμαρίνῃ τρίβε λεῖα ἰσχυρῶς ἐπὶ πολύ. ἐπιρραίνων κατὰ βραχὺ
τοῦ ζωμοῦ. λειοτάτων γενομένων, ἐπίβαλε ἄρτου καθαρωτάτου νεαροῦ
ξηροῦ μὴ ἐκ παλαιοῦ σίτου ἐσκευασμένου κεκομμένου καὶ σεσησμένου
τὸ τέταρτον μέρος σαρκῶν. ἐνίοτε δὲ τὸ πέμπτον. εἶτα τρίψας αὐ-
τὰ [illegible] τοῦ ζωμοῦ κατὰ βραχὺ ἑνώσας ἐν τῇ λειώσει ἀκριβῶς ταῦτα
[illegible] ἀνάπλαττε τροχίσκους συμμέτρους λεπτοτέρους. παραπτόμε-
νος ἐν ἀναπλάσει ὀποβαλσάμου συμμέτρως. ἐν σκιᾷ ξήραινε,
ἐν οἴκῳ ὑπερῴῳ πρὸς μεσημβρίαν ἢ πάντως γε πρὸς ἄρκτον ἐστραμ-
μένῳ. στρέφειν αὐτοὺς χρὴ συνεχῶς, ὅπως ὁμαλῶς ξηραίνωνται.
καὶ μὴ [illegible] μέρος ὑγρὸν ἐπὶ πολὺ μένον σηπεδόνι περιπεσεῖν κιν-
δυνεύσῃ. ξηροτάτων γενομένων ἀλείψας καλλίστῳ ὀποβαλσάμῳ,
φύλαττε ἐν ἀγγείῳ ὑαλίνῳ καὶ δι' ἡμερῶν τινων ἀπόματτε ὀθονίῳ
τὸ ἐπιτρεφόμενον αὐτοῖς κονιορτῶδες λευκόν. ἐὰν γὰρ τοῦτο

μένῃ

Con

μένη, διατηρήσει αὐτούς.

## Περὶ τῶν λοιπῶν ἐμβαλλομένων ἀντιδότῳ θηριακῇ. Κεφάλαιον ϛε.

Τὰ ἐμβαλλόμενα εἰς τὴν δ' ἀντίδοτον σὺν τοῖς προπαρεσκευασμένοις
τροχίσκοις ἁπλᾶ φάρμακα ἔστι ταῦτα· ἄρτισκοι σκιλλητικοὶ ∠ μη'.
ἀρτίσκοι θηριακοὶ ∠ κα'. ἐν ἄλλοις κδ'. ἡδυχρόου μάγματος ∠ κδ'. πεπέ-
ρεως μέλανος ∠ κα'. ἐν ἄλλοις κδ'. ὀπίου θηβαϊκοῦ προσφάτου ∠ κδ'. ῥόδων ξη-
ρῶν κεκαθαρμένων, σκορδίου κρητικοῦ, βουνιάδος ἀγρίας σπέρματος, ἴρεως
ἰλλυρικῆς ἀφρώδους, ἀγαρικοῦ πόντου λευκοῦ, κινναμώμου ἀνὰ ∠ ιβ'. ἢ κα-
σίας τὸ διπλοῦν τοῦ κινναμώμου. γλυκυρρίζης χυλοῦ ξηροῦ, ὀποβαλσάμου
καλλίστου ἀνὰ ∠ ιβ'. σμύρνης τρωγλίτιδος, κρόκου κιλικίου, ζιγγιβέρεως, ἀφ-
ρασ... προσφάτου, πενταφύλλου ῥίζης, καλαμίνθης ὀρείνης, πρασίου, κό-
μης ἀρμαλ... στοιχάδος κορύμβων καὶ φύλλων, πετροσελίνου μακεδονι-
κοῦ, προσφάτου ἀνὰ ∠ ϛ'. πεπέρεως λευκοῦ ∠ ϛ'. ἢ μέλανος ἀντ' αὐτοῦ ∠ θ'.
πεπέρεως μακροῦ ἀφρώδους, κρίταμου, κρητικοῦ λιβάνου ἄρρενος ἀτμητοῦ, σχοίν-
ου ἄνθους, τερεβινθίνης χίας, κασσίας σύριγγος, νάρδου σ... ἀνὰ ∠ ϛ'. γεντιανῆς
∠ δ'. ἐν ἄλλοις ϛ'. πολίου κόμης, στύρακος καλαμίτου, σεσέλεως μασσαλεωτι-
κοῦ, ἀβροτόνου, θλάσπεως σπέρματος, ἄμεως σπέρματος, χαμαίδρυος κόμης, χα-
μαιπίτυος, ὑποκυστίδος χυλοῦ ξηροῦ, μαλαβάθρου φύλλων, νάρδου κελτι-
κῆς, ἀνίσου, ἀσαδικοῦ, μήου ἀθαμαντικοῦ, μαράθρου σπέρματος, λημνίας
σφραγῖδος, χαλκίτεως ὀπτῆς, ἀμώμου βότρυος, ἀκόρου ῥίζης, ἀβροτ-
όνου ποντικοῦ, καρποβαλσάμου, ὑπερικοῦ, ἀκμαζόντων κόμης, ἀκακίας, σέ-
λεως κόμης, ... καρδαμώμου σπέρματος χωρὶς ἐκτρώσεως ἀνὰ ∠ δ'.
δαύκου κρητικοῦ ∠ β'. ἐν ἄλλοις δ'. χαλβάνης καθαρᾶς, ὀποπάνακος, σαγα-
πηνοῦ, προσφάτου, ἀσφάλτου ἰουδαϊκῆς, κενταυρίου λεπτοῦ κόμης, καστορίου
... ἀριστολοχίας λεπτῆς ἀνὰ ∠ β'. οἴνου παλαιοῦ γλυκέος, ἢ τὸ ἀρκοῦν.
ἢ ξέσται β'. μέλιτος ἀττικοῦ ἀπηφρισμένου λίτρας ι'. ἐν ἄλλοις τὸ ἀρκοῦν.

## Τρόπος σκευασίας αὐτῆς. Κεφάλαιον ϛϛ.

Σκευάζεται ἡ ἀντίδοτος οὕτως. τὰς ϛ ∠ τῆς κασσίας
καὶ τὰς ἑτέρας κδ' ἀντὶ τοῦ κινναμώμου κατ' ἰδίαν κόπτε σὺν τῷ
... καὶ κρόκον πρότερον ἐν τῇ θυίᾳ, λέαινε μετ' οἴνου, δεῖ μάλα-
τα βαλὼν ... ὅταν λειότατος γένηται, ἐπίβαλε αὐτῷ σεσησμένην κασσίαν
καὶ πάλιν λέαινε ἐπιβάλλων τοῦ οἴνου. λειωθείσης κασσίας ἱκανῶς, λε-
άνας κατ' ἰδίαν ἐν θυίᾳ ἑτέρᾳ μικρᾷ τὴν λημνίαν σφραγῖδα μετ' οἴνου
ὀλίγου καὶ τὴν ἄσφαλτον ὁμοίως ἀναλύσας ἐπίβαλε τῷ κρόκῳ καὶ τῇ
κασσίᾳ πάλιν λέαινε ἐφ' ἱκανόν. λεῖπα χορτώδη σὺν τοῖς τροχί-
σκοις πάντα, καὶ τὸ καστόριον κόπτε σὺν ... κοσκίνῳ.
προβρέχε πρὸ μιᾶς ἐν οἴνῳ συμμέτρῳ τὰ ὀπηρὰ πάντα, τεθλα-
σμένα λέγω δὴ ἀκακίαν, σμύρναν, ὀπὸν, λίβανον, ὑποκυστίδος
χυλὸν καὶ γλυκυρρίζης, ὀποπάνακα, σαγαπηνόν, χαλβάνην, καὶ τὸ
... τὸν δὲ στύρακα βαλὼν ἐν θυίᾳ μεγάλῃ πλατείᾳ λέαινε μετὰ τοῦ
... καὶ ἀναλάμβανε κατ' ἰδίαν. εἶτα ἔμβαλε ἐν
ὀποβαλσάμου καὶ ... λέαινε δεῖ μάλα ἐπιβάλλων κατ'
θυίᾳ τὰ προβραχέντα ὀπηρά, λέαινε δεῖ μάλα ἐπιβάλλων κατ'
βραχὺ εἰ δέοι, οἴνου. λειωθέντων τούτων ἱκανῶς ἐπίβαλε τὸν προ-
λειωθέντα στύρακα, κασσίαν, κρόκον καὶ τὰ σὺν αὐτοῖς. ἑνώσας ἀκρι-
βῶς καὶ ε χαλκίτην τὸν δὲ τρόπῳ. λειώσας ἀκριβῶς χαλκίτεως

καλῶς

χαλκίτεως οὐγγ. ϛ΄ ἢ καὶ πλέον· ἔμβαλε ἐν χυτριδίῳ μικρῷ καινῷ πλα-
τυστόμῳ καὶ ἐπίθες ἄνθραξι διαπύροις· καὶ κίνει συνεχῶς τῇ
χαλκίτιν ῥάβδῳ ἔσωθεν· ὅταν ἄρξηται ἐνυγραίνεσθαι καὶ
πηλώδη τινὰ σύστασιν λάβῃ, ἆρον εὐθέως ἀπὸ πυρὸς καὶ
ἐπὶ τῆς γῆς θὲς χύτραν· κινήσας ὡς ἀκριβῶς ἑνωθῆναι
καὶ πλήσας αὐτὴν ἀκριβῶς, ἔα βραχύ· εἶτα ἄρας
τὸ ἐπιπολῆς ξηρότερον καὶ πυρρὸν φαινόμενον καὶ ἀπορ-
ρίψας λάμβανε τὸ μέσον χλωρότερον, μαλακὸν φαι-
νόμενον· στήσας < [illegible] ἔμβαλε ἐν μέσῳ θυΐας ἐν ᾗ τὰ προ-
λειωθέντα ἔθηκας καὶ ἀναλύσας αὐτὰ μετὰ βραχέος οἴνου ἐν ἑνὶ
τόπῳ τῆς θυΐας ἕνωσον ὅλῳ τοῖς λοιποῖς· καὶ ἐπίβαλε τοῦ προ-
απαφριασθέντος μέλιτος βραχύ· ὅταν ἑνωθῇ τοῖς λειωθεῖσιν
ἡ χαλκῖτις καὶ μέλαιναν χροιὰν τὰ πάντα ἀναδέξηται, τότε
ἐπίβαλε τὴν τερεβινθίνην, διαλύσας αὐτὴν πρότερον μετὰ μέλιτος
ὀλίγου· ἑνωθείσης ταύτης ἐπίβαλε τὰ κεκομμένα καὶ σεσησμέ-
να ξηρὰ κατὰ βραχύ, ἐπιβάλλων τὸ λοιπὸν τοῦ μέλιτος· εἶτα
μεγάλῳ διδοὺς ἕνωσιν πάντα ἀκριβῶς ἑνωθέντα ἔμβα-
λε τὴν ἀντίδοτον ἐν ὅλμῳ· καὶ ξυλίνοις ὑπέροις ἐκ ξύλου
βαρυτάτου καὶ λειοτάτου ἐσκευασμένοις, κόπτε ἐν ἡλίῳ
κειμένου τοῦ ὅλμου· εἶτα σκεπάσας ἐπιμελῶς, ἔα· καὶ πάλιν
δι' ἡμερῶν τριῶν ἢ τεσσάρων κόπτε ἐπὶ ὥρας τρεῖς καὶ οὕτω ποί-
ει μέχρις ἂν πληρωθῶσιν ἡμέραι μ΄· εἶτα ἀναλαμβάνων
ἐν ὑελίνοις ἀγγείοις προκεχρισμένοις μέλιτι ὀλίγῳ ἀπηφρι-
σμένῳ, μὴ πάνυ πληρῶν τὰ ἀγγεῖα ἀλλὰ καταλιμπάνων
τινὰ τόπον εἰς διαπνοὴν φαρμάκου· καὶ σκεπάσας,
ἀκριβῶς καὶ ἐπιδήσας φύλαττε· ταῦτα πρὸς ἀρετὴν
φαρμάκου γέγραπται ἅπαντα· τὸ δὲ μέλαιναν αὐτὴν γε-
νέσθαι· τοῦτο γὰρ ὑγιὲς ὅπως εἴρηται· καὶ ὅστις ἀπολυχ-
νεύσας [illegible] φυλακτέον μὲν ἀφροσύ-
νῃ τῆς χειρὸς ταύτης κατασκευάζεται· φυλακτέον μὲν ἀφροσύ
γνωστέον δὲ μηδὲν ἐκ τῆς χειρὸς ὑπαλλάττεσθαι τὴν φαρμά-
κου δύναμιν· γίνεται δ' ἡ ἀποτυχία τῆς χειρὸς τοῦ φαρ-
μάκου διὰ τὴν χαλκῖτιν ὑπὲρ τὸ δέον καιομένην· εἰ μὲν
γὰρ ὀλίγον ὑποκαῇ, ξανθὴν ἀποτελεῖ τὴν χροιὰν τῆς ἀντι-
δότου· εἰ δ' ἐπὶ πλέον ὑποκαῇ, οὐδὲ ξανθὴν, ἀλλὰ βραχὺ
τοῦ κατὰ φύσιν ἐναλλάττουσαν, ποιεῖ τὴν χροιάν· κατὰ μέντοι δὲ
τοῦ κατὰ φύσιν σκευάζεσθαι χρὴ τὴν ἀντίδοτον καὶ ἀνακινεῖν ῥάβδῳ καθα-
ρᾷ· ἵνα μὴ τὸ ἐπιπολῆς ξηραίνηται καὶ τὰ προσομιλοῦν-
τα τῷ σώματι τῆς ὕλης· χρῆσθαι δὲ εἰς τὴν πόσιν οὐκ ὀλίγου
χρόνου· ἵνα ὡραία πρὸς τὴν χρῆσιν γένηται ἡ ἀντίδοτος,
καὶ δεόντως προσφέρηται· πεπλεῖται δ' ὡς ἐπὶ πολὺ τοῦ δωδε-
καμηνιαίῳ χρόνῳ.

Μετὰ πόσον χρόνον αὐτῇ χρῆσθαι δεῖ. κεφ. ϛζ΄.

Εἰ δ' ἔτι ἀκμαιοτέρᾳ τε καὶ ἰσχυροτέρᾳ ταύτῃ χρῆσθαι
θέλεις·

θήγουσαν, καὶ μετὰ μῆνας ἓξ αὐτῆς ἐχρήσαντο· μάλιστ'
ἐπί τε θηριοδήκτων καὶ δηλητηρίων φαρμάκων· ἰσχυρὰν τὸ
τότε βλάβην ἐχόντων, δυναστευούσας καὶ τῆς ἀπὸ φαρ-
μάκου βοηθείας δεόντας..

## Ἐπὶ πόσον χρόνον ἐνεργεῖ. Κεφάλ. ϙη.

Φαρμακοῖ δὲ δυνατῶς φησὶ Γαληνός, ἕως ἐτῶν
λ. ἐπὶ δὲ ἄλλων παθῶν ἐφ' ὧν οὐ τηλικαύτη ἐστὶν ἡ τοῦ
βλάπτοντος αἰτία· ξηροτέρας δι' αὐτῆς γενομένης χρὴ ἐμ-
βάλλειν αὐτῇ μέλι ἐν θυίᾳ καὶ λεαίνειν τῷ δοίδυκι· εἶτα μέλι κάλ-
λιστον ἀπαφρίσαντα, ἐμβάλλειν τὸ ἀντίδοτον καὶ ἐναντί-
α πάλιν ἀναλαμβάνειν· καὶ τοῦτο δεῖ πράττειν ἡνίκα ξη-
ροτέρα ἑαυτῆς γένηται.

## Τρόπος δοκιμασίας αὐτῆς. Κεφ. ϙθ.

Πολλοί τινες δύναμιν κρίναι θήγουσαν, προσδόντες τι τῶν
καθαρτηρίων φαρμάκων. εἶτα δόντες τῆς ἀντιδότου πιεῖν
τούτῳ ταύτης ποιοῦνται σύγκρισιν· εἰ μὲν οὖν εὔτονος εἴη καὶ ἀκ-
μαία οὐδ' ὅλως ἀφίησι καθαρὸν γενέσθαι ἐκνικῶσα τῇ
ἑαυτῆς ἰσχύϊ τὴν τοῦ καθαρτικοῦ φαρμάκου δύναμιν· εἰ δ' οὐ, τότε καθ-
αίρεται ὁ ἄνθρωπος ὡς μὴ τῆς ἀντιδότου λαβών, καὶ δῆλον γίνε-
ται ὅτι ἄτονος ἐστὶ καὶ ἐξίτηλος μὴ ἰσχύουσα κρατῆσαι
τοῦ καθαρτηρίου τὴν ῥύσιν. τινὲς δὲ τῆς μήκωνος ὀπὸν ὅσον
γρ. β. ἐν [illegible] β. λύοντες ὕδατι ποτίζουσι χῆνα ἢ ὄρνιν
ἢ περιστεράν. εἶτα δόντες λύσαντες τῆς ἀντιδότου ὅσον καρύου
ποντικοῦ μέγεθος, [illegible] σώζεσθαι ζῶον καὶ οὐδεμία βλά-
βη παρακολουθεῖ.

## ΠΕΡΙ μέτρου δόσεως καὶ τρόπου λήψεως· καὶ ἐπὶ ποίων νοσημάτων ἁρμόζει.

## Κεφάλαιον Ρ.

Μέτρον δόσεως οὐκ ἔστι πάντοτε τὸ αὐτό· ὥσπερ οὐδὲ τὸ
αὐτὸ ὑγρὸν ᾧ διαλύοντες αὐτὴν δίδομεν· τοῖς μὲν δηλητηρίων
φαρμάκων, ἢ ἰοβόλου τινὸς πληγῆς, ὅσον καρύου ποντικοῦ μέγεθος,
ἀνιεμένην μετ' οἴνου κυάθων τριῶν, οὕτως αὐτὴν διδόναι π[illegible],
τοῖς δ' ἄλλοις πάθεσι καὶ μέτρῳ καὶ ὑγροῖς διαφό-
ροις εἰώθαμεν· τοῖς [illegible] πρὸς τὴν τῶν διαφορὰν ἁρμοζόμενοι καὶ τὸ
[illegible] χρώμεθα· πρὸς [illegible]
ποσότητα φαρμάκων, μετρούμενοι τὸ κατάλληλον ὑγρὸν τῆς
μίξεως κρινόμενοι· οὐ μὲν μόνον πρὸς θηριῶν δήγματα καὶ δηλη-
τήρια βοηθεῖν πέφυκεν· ἀλλὰ καὶ πρὸς πλεῖστα τῶν ἄλλων
παθῶν ἀλεξιτήριον φάρμακον ἐκ τῆς ἐν πείρᾳ [illegible] ὑφ'
ἡμῶν εὑρέθη· κεφαλαίας γοῦν [illegible] ἡμικρανίας καὶ σκοτώμα-
τα ἰᾶσθαι πέφυκε· δυσηκοΐας· ἀμβλυωπίας παύει,
πινομένη· ἐνίοτε [illegible] ὄργανον ἀσθενοῦν [illegible]· τοῖς
ἐπιληπτικοῖς [illegible] βοηθεῖν πέφυκε· ἀσθματικοῖς·

ὀρθο

ὀρθοπνοϊκοῖς μετὰ μελικράτου πινομένη. τέμνουσα· λεπτύνουσα·
διὰ ἀνάγωγα ποιοῦσα τὰ συνεστῶτα καὶ γλίσχρα τῶν ὑγρῶν. βοηθεῖ
προσφάτοις καὶ χρονίαις βηξί. καὶ ὅσοι ἂν ἀλγῶσι τὰ τοῦ θώρακος
μέρη ἢ πλευρῶν, κυάμου μέγεθος πινομένη μετὰ οἰνομέλιτος ἀπυρέ-
τοις· πυρέσσουσι δὲ μεθ' ὑδρομέλιτος. ἁρμόζει καὶ αἱμοπτυϊκοῖς ἐάν τε
ἀπὸ θώρακος ἐάν τε ἀπὸ πνεύμονος ἡ ἀναγωγὴ γίνηται. προσφάτου
μὲν οὔσης τῆς ἀναφορᾶς, μετὰ ὀξυκράτου διδομένη. κεχρονισμένης δέ,
μεθ' ὕδατος κυάθων τριῶν. ἔστι δὲ καὶ ἀλεξητικόν, ὁλκῆς μιᾶς μνου-
σης, ἐν μελικράτῳ προσόλλυε· μιᾶς καὶ ἡμίσους, μετὰ ὀξυμέλιτος. βέλ-
τιον δὲ νάπυϊ πρὸς ἀναγαργαρίζεσθαι. ἔστι τὸ δὲ φάρμακον περι-
φερόμενον νύκτα μεθ' ὕδατος, κυάμου Αἰγυπτίου μέγεθος. ἁρμόζει
καὶ τοῖς ἐπὶ τῆς ἀρτηρίας ἀδήλως κινδυνεύουσι καὶ πρὸς τὰς φωνῆς ἀ-
ποκοπάς, κατ' ἰδίαν πινομένη καὶ ἐν στόματι κατεχομένη. μιγνυμένης
τραχείας διπλῆς μετὰ οἰνομέλιτος ἢ γλυκέος καὶ κατ' ὀλίγον
τῆς προπόσεως κατὰ τὰς νομὰς τοῦ θώρακος πλευραῖς. πολλῷ δ' ἀμεί-
νων γίνεται, εἰ τὸ ὕδωρ ~~τὸ~~ ἀφέψημα εἴη συμφύτου ῥίζης. ἢ δόσεων
κυάμου Αἰγυπτίου μέγεθος εἰς νύκτα ἐξ ἕωθεν. πολλάκις καὶ τὰς περὶ στόμαχον
κακώσεις θεραπεύει καὶ ἀνορέκτους καὶ τροφὰς λαμβάνειν μὴ δυναμένους, εἰς
τὸ προσίεσθαι αὐτὰς ἡ δόσις κατέστησεν. ἐνίοτε καὶ τῶν ἐπιτεταμένων ἀλό-
γως ὀρέξεων, ἀμυντικὸν ὑπάρχει. καὶ τὰς περὶ κοιλίαν ἀτονίας ἀποψίας
ἢ δυσαποψίας θεραπεύει. ὁμοίως τῶν πνευματουμένων στόμαχον καὶ στρεφο-
μένους εὐθέως ἢ κάλλιον ὀδυνωμένους χρονίως. ἢ ἀλεωδεῖς τε εὐθὺς διατιθε-
μένους. παρὰ τὰ καρύου ποντικοῦ μέγεθος μεθ' ὕδατος θερμοῦ. χολερικοῖς διατιθε-
σι γενναίως βοηθεῖ. τονοῦσα τὸ σύγκριμα καὶ ἐπέχουσα τὰ πολλὰ τῶν
ῥευμάτων. μέγιστον αὐτῆς ἔργον πολλάκις ἐπὶ τῶν καρδιακῶν συγκοπτομένων
φαίνεται. ἠρεμωμένων τοῖς πολλοῖς καὶ συνεχέσιν ἱδρῶσι σῶμα καὶ τόνοις ἐκ-
λελυμένον, οὐδὲ τοῦ οἴνου πολλάκις οὐδὲν ὠφελοῦντος ἡ αὐτὴ δοθεῖσα πινομένη καὶ
ἱδρῶτας ἵστησι καὶ δύναμιν πεπτωκυῖαν ὥστε ἐξανίστασθαι ἰσχυρὰν ἀποκαθίσταται.
ἑλμίνθων ἅπαν γένος θαυμαστῶς ἐξάγει τῶν ἐντέρων. καὶ τὰς ἡπατικὰς χρονίας
διαθέσεις ἰᾶται. πολλάκις καὶ τὸν ἴκτερον διά τινα διάθεσιν περὶ τὸ ἧπαρ γι-
νόμενον γενναίως θεραπεύει. τήκει δ' ἐνίοτε τοὺς ἐσκιρρωμένους σπλῆνας, ἐξ-
αναλίσκουσα κατ' ὀλίγον τὴν ἐν αὐτοῖς ῥυπαρίαν καὶ περιττωματικὴν οὐσί-
αν μετὰ ὀξυμέλιτος διδομένη. θρύπτει τοὺς ἐν νεφροῖς λίθους καὶ πᾶν ἐν
αὐτοῖς γεῶδες καὶ ῥυπαρὸν ἀποκαθαίρει ῥᾳδίως μετὰ ἀποζέματος πετρο-
σελίνου. τὰς κύστεως δυσουρίας παύει. τὰς ἐν αὐτῇ ψώρας ἐνίοτε ἰᾶται.
ἀγαθὴ πάντως τοῦ χρονίου ῥῖγος ἀπαλλάξαι. καὶ περιψύξεις καὶ χειμε-
ρινὰς τῶν ἐν ταῖς εἰσβολαῖς ὅτι συνεδρεύουσαν τῶν παροξυσμῶν.
μάλιστα πρὸς τεταρταῖον ἁρμόζει καλῶς ὅταν τις αὐτῇ τεχνικῶς ἢ χρώ-
μενος. ἐγώ φησι Γαληνὸς πολλοὺς τεταρταΐζοντας τῇ ἀρχῇ πάντη χρώ-
μενος, ἀπήλλαξα ῥᾳδίως προκενώσας τῷ ἀπὸ ἐπιθύμου ἐμέτῳ. εἶτα τῇ
ἑξῆς ἐπιδιδοὺς ἀποβρέγματος ἀψινθίου. ἕωθεν οὖν πρὸ ὡρῶν δύο τῆς
ἐπισημασίας δέδωκα τὴν ἀντίδοτον. θαυμαστῶς οὖν ὡς δίδω πολλάκις
ἐπιτυχοῦσαν, ὡς τοὺς ἀνθρώπους ἀνυποστάτους εἶναι τὸν λαβόντα. καιρὸς
χρήσεως, οὐκ ἐν ἀρχῇ τοῦ νοσήματος. ἀλλ' ὅταν πρὸ τῆς κατάστασιν ἐν ὥραις
ἐπιφαίνηται. ἐν ἀρχῇ τοῦ νοσήματος διδομένη καὶ αὐτὴ καὶ πᾶν ἰσχυρὸν φάρμα-
κον, διπλασιάζει νόσημα. δίδοται καὶ ὑδρωπικοῖς μετὰ ἀποζέματος
ἢ τῶν παραπλησίων. μάλιστα τοῖς ἀνὰ σάρκα λευκοφλεγματίας

καὶ

καλουμένους ὑδερικοὺς γενναίως ἔσωθεν ὠφελεῖν· εἰς ὅλον ἀναδιδομένη τὸ σῶμα καὶ πάντοθεν ἐκθλίβουσα τὴν ὑδαρῆ ὑγρασίαν· διόπερ καὶ τοῖς καχέκταις ἄριστόν ἐστι φάρμακον· κεφαλαλγίαις πολλάκις βοηθεῖν πέφυκε, κωλύουσα διαφθορὰν γίνεσθαι σώματι· τοὺς ἰσχιαδικῶς πονουμένους πολλάκις ἐθεράπευσε· παραλύσεις μὲν γὰρ πολλάκις ἐξιάσατο παύσασα· παρίστησι γυναιξὶν ἐπιμηνίους καθάρσεις κινεῖν· νεκρὰ τῶν ἐμβρύων ἐκβάλλειν· ἃ δι' ἀσθένειαν οὐ δύναται φύσις ἀπορρῖψαι· διδόναι δ' ἐπὶ τούτων διὰ γλυκέος ἢ μελικράτου παραμιγνυμένου ἐν αὐτῷ πηγάνου ἢ δικτάμνου κυάμου μέγεθος· ποδαγριῶντας καὶ πάντα ἄρθρα ῥευματιζομένους ὠφελεῖ μάλιστα ὅταν ἐπιδόσεως κατ' ἐκεῖνα παύσηται καὶ στάσιν ἀκμῆς ἔχωσι(?)· παραμυθούμενον γὰρ τὰ ἀλγήματα τοῖς περιόδοις δυναμένοις ἐπιθέμασι, πίνειν διδόναι χρὴ τὴν ἀντίδοτον· ἐξαναλίσκει γὰρ ὑπενεχθέντα ῥεύματα καὶ ἀνακωλύει φέρεσθαι· μάλιστα δὲ τοὺς ὀνίνησιν ὅταν ὑγιαίνοντες λαμβάνοιεν αὐτήν· ἐκδαπανᾷ γὰρ τὰ περιττὰ ὑγρὰ καὶ ὅλην ἀλλοιοῖ σύγκρισιν· πολλοὶ ἐν ἀρχῇ ποδάγρας συνεχῶς πίνειν ἀρξάμενοι ἀπηλλάγησαν τελέως καὶ ἠλευθερώθησαν τοῦ πάθους· θαυμαστὴν ἐστὶν ἀντίδοτον ὅταν αὐτὴν μὴ μόνον σῶμα θεραπεῦσαν βλέπω θαυμάζειν ἐστὶν ἀντίδοτον, ὅταν αὐτὴν μὴ μόνον σῶμα θεραπεύουσαν βλέπω, ἀλλὰ καὶ ψυχὴν πολλάκις ὑπὸ κακῶν διαθέσεων κακῶς ὠφελοῦμεν· ταῖς γοῦν ἐκ μελαγχολίας γινομέναις αὐτῇ κακώσεσι περιττῶς ἀντιστῆναι δυναμένην· ταῖς γὰρ ἐκ μελαγχολίας γινομέναις αὐτῇ κακώσεσι πρὸς τὸ σῶμα ἐπιτήδειον καὶ ἐξαναλίσκον ἐξαιρέτως καὶ ἐκκαθαῖρον φάρμακον· ὥσπερ ἐκτρίβον καὶ ἐξαναλίσκον τὰ τῶν θηρίων· τὴν ὑδροφοβίαν, κάκιστον πάντων μελαίνης χολῆς καὶ τοῦ ἰοῦ θηρίων· ἤ, ὑδροφοβίαν, κάκιστον ἄλλως μέλαιναν χολὴν καὶ θανάσιμον θηρίων· νοσημάτων πολλάκις θεραπεύειν εἴωθε καὶ θαυμαστῶς ἀνταγωνίζεσθαι τῇ νοσημάτων πολλάκις θεραπεύειν εἴωθε· ἐφάνη ἡμῖν ἡ ἀντίδοτος αὕτη καὶ ταῖς λοιμώδεσι τῶν κακῶν συνδρομῆς· ἐφάνη ἡμῖν ἡ ἀντίδοτος αὕτη καὶ ταῖς λοιμικαῖς καταστάσεσι μόνη τοῖς ἁλισκομένοις βοηθεῖν δυναμένη· τοὺς λοιμικῶς κατασκευάσασα καταστάσει· αὕτη γὰρ ὥσπερ πεποιθότας κωλύει ἁλίσκεσθαι λοιμώδει καταστάσει· αὕτη γὰρ ὡς προκαταλαμβάνουσα κωλύει ἀλλοιοῦσθαι λοιμώδει καταστάσει· προσποιεῖ σώματι ἐξαναλίσκουσα τὰ περιττὰ τῶν ὑγρῶν καὶ ἀναθερμαίνουσα τὰ καταψυχθέντα τῶν μερῶν δυσκρασίαν τινὰ καὶ ὑγιεινὴν κατάστασιν τῷ σώματι ἐξαναλίσκουσα τὰ περιττὰ τῶν ὑγρῶν· καὶ ἀναθερμαίνουσα τὰ καταψυχθέντα τῶν μερῶν καὶ τὴν ἔμφυτον δύναμιν τονοῦσα πρὸς τὸ φυσικὰς ἐνεργείας ἐκτελεῖσθαι καλῶς· μάλιστα ἐν ταῖς ὁδοιπορίαις συμβουλεύω τὴν ἀντίδοτον λαμβάνειν ὅταν ψυχροῦ ὄντος τοῦ ἀέρος χειμῶνος ὁδεύωμεν· ἔστω γὰρ ὥσπερ ἀγαθὸν ἔνδυμα τῶν σπλάγχνων, πολλὴν αὐτοῖς θέρμην παρέχειν δυνάμενον· φασὶ γοῦν Μιθριδάτην μέγαν ἐκεῖνον πολεμιστὴν τὴν θηριακὴν μὴ πίνοντα· οὐδέποτε γάρ· ἄλλην δ' ἀντίδοτον μιθριδάτειον ὀνομαζομένην πίνοντα διὰ τὴν ἐκ ταύτης κατασκευασθεῖσαν τῷ σώματι αὐτοῦ δυσπάθειαν, μὴ δυνηθῆναι λαβόντα θανάσιμον φάρμακον ἀποθανεῖν· νικώμενος γὰρ ὑπὸ τῶν ἀντιδίκων, ἠπείγετο ἑαυτὸν ἀνελεῖν· καὶ πιὼν τοῦ δηλητηρίου πλεῖστον οὐκ ἀπέθανεν· ὅθεν καὶ τῶν αὐτοῦ φίλων τινά, ἐκέλευσεν αὐτὸν ἀποσφάξαι· ὁρᾷς γοῦν ὅτι τὰ πολυμιγῆ τῶν φαρμάκων πολλὴν ἰσχὺν πρὸς ἐμποιήσαι δυσπάθειαν τοῖς σώμασιν ἔχει, μάλιστα θηριακή· διδόναι χρὴ φάρμακον ὅταν ὁ πεπονθὼς ᾖ ὁ λαμβάνων καὶ μὴ πλήρης σιτίων· πινέτω νῆστις ὡς ἱκανὸν γίνεσθαι διάστημα πρὸς πέψιν φαρμάκου· ὁ βίβλος οὖν ἅμα ὥραν καὶ χώραν ἐν ᾗ μέλλεις διδόναι φάρμακον· παισὶ γὰρ ὅλως οὐ δώσεις· διόπερ καὶ τοῖς ἀκμάζουσι τὴν ἡλικίαν ἐπὶ πολὺ ἔχουσι φυσικὴν θερμότητα μὴ πολὺ μηδὲ πολλάκις προσφέρεσθαι φάρμακον παραινῶ· ὥσπερ καὶ τοῖς ἤδη παρακμὴν τοῦ βίου ἔχουσι·

καὶ πα

γρ. σύγκρασιν

καὶ πλεῖον καὶ πολλάκις οὐ μεθ' ὕδατος· ἀλλὰ μετ' οἴνου μᾶλλον [illegible]
λευω λαμβανέτω· τῶν παιδίων παντάπασι φυλαττέσθω δὲ τὸ φάρμακον·
μεῖζον γάρ ἐστιν αὐτῆς τῆς δυνάμεως τοῦ φαρμάκου τὸ μέγεθος· διαλύει ῥᾳδί-
ως τὸ σῶμα καὶ σύμφυτον πνεῦμα ταχέως σβέννυσι· ὥσπερ καὶ τὴν λυχνι-
αίαν φλόγα τὸ ἔλαιον τοῦ πυρὸς πλεῖον γενόμενον ὀχλῆσαν σβέννυσι.
κἀγὼ φησὶ Γαληνὸς ἱστόρησα διαλυθὲν παιδάριον ὑπ' ἀγνοίας [illegible] ἂν
τι δοῦναι [illegible] χρήσασθαι· [illegible] αὐτὸ σύμπτωμα [illegible] καὶ τὸ [illegible]
[illegible] νύκτωρ ἀπώλετο παιδίον· [illegible]
[illegible] εἴης φυλάττων χρῆσθαι [illegible] αὐτὸ [illegible]
[illegible] διὰ τὰς ἀπὸ τῆς [illegible]
[illegible] ἔχουσι [illegible]
[illegible] εἶναι [illegible] ἡ θηριακὴ αὐτὴ δόσις.

## Ἄλλη θηριακὴ ἐκ τῶν Μαρκιανοῦ, οἷς συμφωνεῖ ὁ Γαληνός. κεφ. ρα.

Σκευάζονται δι' ἐχιδνῶν καὶ ἄλλαι· ποιοῦσι δὲ καὶ αὐταὶ πρὸς
πάντα τὰ προειρημένα μετρίαν τὴν συνεχῆ [illegible] ὠφέλειαν προειρημέ-
νοι· τινὲς φασὶν [illegible] αὐτοὺς βοηθεῖν δύνασθαι· ἐξαφανίζεσθαι
[illegible] δύναμιν θηρίων· ἐγὼ φημι τὴν αὐτὴν τῆς θηριακῆς [illegible]
[illegible] τὰς ἄλλας δύναμιν· [illegible] ἐξαφανίζεσθαι αὐτὰς τὴν ἰσχύν· πολλὰ [illegible]
[illegible] δύναμιν [illegible] κρείττονα ὥσπερ ὁ χρυσὸς [illegible]
[illegible] θηρία [illegible]
[illegible] διὰ τῆς [illegible] τὴν δὲ συμμετρίαν
καὶ πονηρὰν δύναμιν ἀποτίθεσθαι [illegible] λαμβανέτω· ἰδίως δ' ἄλλων [illegible]
πρὸς τὸ βοηθεῖν [illegible] λύκους λέγω [illegible] λέπρας καὶ [illegible]
[illegible] ἀλφούς· ψώρας ἀγρίας· [illegible]
μάλιστα [illegible] δέρματος [illegible] χρώματα
[illegible] δέρματι καὶ δριμέα, [illegible]
αὐτοὺς [illegible]
ὥστε [illegible] μέχρι [illegible]
τὸ [illegible] φαίνονται· [illegible]
αὐτοῦ [illegible] φλεγματώδη [illegible]
[illegible] ἀναχ [illegible]
[illegible] αὐτοὺς [illegible]
μᾶλλον [illegible] τοὺς λαμβάνοντας· [illegible] αὐτοῖς [illegible]
[illegible] αὐτοὺς [illegible] μᾶλλον [illegible]
[illegible] λαμβάνοντα· μάλιστα [illegible]
[illegible]
[illegible] σῶμα καὶ [illegible]
[illegible] λύσιν [illegible]
[illegible] αὐτοὺς λαμβάνων· καὶ [illegible]
[illegible]
καὶ [illegible]
[illegible] θηρίων φανήσονται [illegible]
[illegible] φαρμακ [illegible] τοὺς ἄλλας
[illegible] μάλιστα [illegible]
[illegible] ἑαυτοῦ [illegible]
[illegible]

μάλιστα

μάλιστα προσμίξαντα αὐτοῖς μυρίους [illegible]· νόσων δὲ πασῶν εἰσὶν ἰα-
ταί· καὶ μάλιστα νεφρῶν· τοὺς γὰρ ἐν αὐτοῖς θραύουσι λίθους· καὶ τοὺς πάνυ τα-
χεῖς νεφροὺς ἀποκαθιστῶσι· σκοτωματικοῖς κεφαλαίαις χρονίαις·
ἐπιληψίαις μηδὲν ἔργον τοῦτο [illegible] ἄκος, εἰ [illegible] ἐνιαυτὸν ὅλον ἐφεξῆς
δέχοιντο αὐτοὺς [illegible]· ἀλλὰ ἰκτερικοὺς χρονίους καὶ σπληνικοὺς, κα-
χεκτικοὺς συνεχῶς [illegible], τοὺς δὲ [illegible]· καὶ ὕδερον ἐξη-
ράναν [illegible] βοήθημα [illegible]· ἤ του δὲ ῥιγοῦν ἐν ὁδοιπορί-
αις ἐν ἀέρι ψυχροτάτῳ [illegible] ἐσθιόμενοι· ῥίγη περιοδικὰ
χρόνια ἀπέχουσι καὶ βήχας τὰς κατάρρους ξηραίνουσι· φθισικοῖς
ἤδη θαυμαστὴν ὠφέλειαν ἀπέδωκαν· κατὰ βραχὺ προστεθέντες ἔδεσμα-
τι· παρειμένους ἡδέως ἀναζωπυροῦσι· ἔγνων γοῦν δι' αὐτῶν κινηθέντας
παραλελυμένους πολλούς· πρὸς ποδάγραν, μάλιστα γὰρ [illegible] καὶ ὅλως πάν-
των ἀρθρῖτιν, ἐν προσεπινενοῆσθαι τούτῳ τὸ ἔδεσμα· χρῆσθαι αὐτοῖς
παραινῶ, ἀπαλλαγέντα τῆς ποδάγρας [illegible]· τινὲς τὰς ἐχίδνας
ὅλας ἀποκτείναντες ξηραίνοντες [illegible] λειώσαντες, πολὺ δὲ αὐτῶν
παρέχουσι τοῖς ἀρθριτικοῖς· τεταρταίους πυρετοὺς καὶ τὰς μελαγχολι-
κὰς παραφροσύνας, οὐδ' ἂν ἐν ποίοις πρὸς ὠφέλειαν [illegible] πρὸ τῆς
προσφορᾶς ἐσθιόμενοι καὶ ἐν διαλείμματι· ἀναιροῦσι [illegible] πο-
δάγριον αὐτοῖς ἀθρόοις [illegible] καὶ ἀποσμήχει τοὺς ὀδόντας· οὐ μό-
νον [illegible] ἀλλ' οὐδὲ σαλεύονται ὁ ὀδοὺς οὐδὲ [illegible]-
θλίβεται οὐδὲ αἱμωδιᾷ· ἔχουσι διαφαρυγγος [illegible] κεφαλῆς περιττ-
ωμάτων [illegible]· καθαίρουσι κεφαλήν· ὀφθαλμοὺς κουφίζουσι· γί-
νεται δι' αὐτῶν σκευασία τόνδε τρόπον· λαβόντες ἐχίδνας με-
γάλας οἵας προειρήκαμεν τὰς εἰδὲ καὶ τὰς αὐτῶν χρόνῳ τεθηρευμένας, ἀρτι-
[illegible]· καὶ μὴ πλέον δύο ἡμερῶν μετὰ θήραν ἐχούσας· ἀλλ' εἰ δυ-
νατὸν καὶ κατ' αὐτὴν ἡμέραν ἐν ᾗ ἐθηρεύθησαν· εἶτα ἐν χύτρᾳ ὀστρακίνῃ
καθαρᾷ βαλόντες [illegible] ἄνωθεν αὐτοῖς [illegible] ἁλῶν κοινῶν πεπλυ-
μένων καὶ [illegible]· ἄμεινον μὲν ἀμμωνιακῶν· εἰ δὲ μὴ παρείη, κοινῶν,
λευκῶν ἡμισυ μόδιον ἰταλικὸν ἐμβάλλειν, τουτέστι λίτρας κ· τοῦτο ποιεῖ
μὴ μεσημβρίας ἀλλ' ἕωθεν· [illegible] θηρία [illegible] δυσχει-
[illegible]· εἰ φηγοῦ δένδρου κλωνίῳ ῥαπίζοις ἔχιδνας, δυσκι-
νητοτέραν [illegible]· καιρὸν αὐτῶν θαυμαστὸν ἐμποιοῦσι· φηγὸς δέ ἐστιν
εἶδος δρυός· ὅταν ὡς εἴρηται τοὺς ἅλας ἐμβαλὼν [illegible] καὶ καταβά-
λῃς ἐχίδνας ὑπερεμβάλλε τοῖς ἁλσὶ τροχίσκους ἐσκευασμένους
τόνδε τρόπον· γεντιανῆς ῥίζης· ἀριστολοχίας στρογγύλης ἀνὰ λίτρας α ς''.
κενταυρ. λεπτοῦ κόμης· πηγάνου [illegible] ἀνὰ λίτρας β· καρδαμώμου
[illegible] ὀρείου ἀνύδρου [illegible] ἀνὰ λίτραν α· πρασίου
[illegible] ἀσφοδέλου καὶ φυράσαι [illegible] ἀναπλάτ-
τοτε τροχίσκους [illegible] πλατυτέρους ἵνα [illegible]· τοὺς δὲ
τροχίσκους [illegible] τοῖς
ἁλσὶ τοῖς [illegible] ἐχίδναις ζώσαις· [illegible] σκίλλας μο-
νοειδεῖς [illegible] ε κατατετμημένας εἰς λεπτὰ,
[illegible] τροχίσκοις, ἔτι δὲ ἡμιμόδιον ἰταλικὸν, τουτέστιν ἔτι δὲ
κ λίτρας ἁλῶν ἄνωθεν, ἐπίβαλε σκίλλῃ τε τροχίσκοις· εἶτα χύτραν
πωμάσας πώματι ἔχοντι τρήματα τρία καὶ λεῖον ἔξωθεν περι-

πηλῷ κεραμικῷ· ἵνα εἰ ῥαγῇ, μηδὲν ἀπόλληται, ἐπιτίθει ἐπὶ τὸ πῦρ.
ἐκ προσθήκης, καὶ ὀλίγον προσοπτῶν τὸν πηλόν· εἶτ' ἀνάζεσον τὴν φλό-
γα μάλιστα συχνοῖς ἢ ἀμπελίνοις τοῖς ξύλοις· [illegible] δὲ τοιοῦτον ἐν
τῷ ἀναφερόμενον διὰ τοῦ μέσου ἀτμοῦ· τὸ μὲν πρῶτον φανήσεται καπνὸς
ἐξιὼν πολὺς ζοφώδης καὶ θολωμένος πάνυ· σημαίνων ὅτι πῦρ ἅπτεται
ἤδη θηρίων· ὅτου δεῖ προσέχειν ἀκριβῶς περαινομένου μὴ πρὶν ἀναπτ-
ῆναι, τοῦ δὲ καπνοῦ κεχρωσμένου ἄξιος ὑπ' [illegible] θηρ-
ίων· εἶθ' ὅταν παύσηται ἀτμός, ἀναβαλλομένην δέ τινα φλόγα λεπ-
τὴν ἴδῃς διὰ τοῦ μέσου, τοῦτο νόμιζε ὡς ἄριστα ὀπτηθῆναι· ὅλω βαστά-
σας ἀπὸ πυρὸς χύτρον καὶ ψύξον [illegible]· εἶτ' ἀνοίξας καὶ [illegible]
τὰ καέντα κόπτε μετὰ τῶν ὑπογεγραμμένων. πηγάνου ἀγρίου σπέρματος οὐγ.
[illegible]· ὀριγάνου κόμης· θύμου κορύμβων ἀνὰ οὐγ. [illegible]· μαράθρου ὀρθίου σπέρμ. ναρδ-
οστάχυος [illegible] [illegible] πρασίου· [illegible] Η πηγάνου
[illegible]· ὀρμίνου σπέρμ. [illegible] ἐν ἀλ. οὐγ. γ̄. γλήχωνος ὀρθίου· ἡδυόσ-
μου σπέρμ. εἰ δὲ μὴ [illegible] ξηρᾶς· [illegible]· σελίνου σπέρμ. οὐγ. γ̄. οἱ δὲ τῆς
ῥίζης αὐτοῦ οὐγ. ς̄. κορίου σπέρμ. στοιχάδος [illegible] ἀνὰ οὐγ. ς̄. [illegible]
φύλλ. οὐγ. δ̄. πετροσελίνου μακεδον. οὐγ. δ̄. ἀμώμ. βότρυος· κασσίας ἐν ἀλ. καὶ [illegible]
[illegible] ἀνὰ οὐγ. γ̄. [illegible]· [illegible]· [illegible] ἀν. λίτρ. β̄. σιλφ-
ίου ἀνὰ οὐγ. γ̄. [illegible] ῥίζης οὐγ. ι̅. ἐν ἀλ. ιβ̄. μάλιστα δὲ [illegible] τὰ [illegible] κοπτόμενα· οἱ [illegible]
ξυλώδη πάντα [illegible] ποιεῖν καὶ μηδὲν ἀπορρίπτειν· κόπτων, [illegible]
[illegible] κοσκίνῳ, δὶς καὶ τρὶς δι' αὐτοῦ κοσκίνου διασήθων· ἵνα ἑνωθῇ [illegible]-
[illegible] γένηται· καὶ ὅλως ἐν ὑαλίνοις σκεύεσιν ἀποτιθέμενος χρήσθω δὲ
μὴ [illegible]· ἀλλὰ μετὰ μ̄ ἡμέρας· [illegible] τὸ φάρμακον ὠφελι-
μώτερον γίνεται· μάλιστα, ἔξω πάσης νοτίδος αὐτοὺς ἐχέτω ξηρούς·
γίνονται δὲ χρώμασι οὐχ ἅπαν μέλανες· ἔγω φησὶ Γαληνὸς [illegible]
καύσω θηρία· ἀλλὰ τοὺς ἐξ αὐτῶν ἀρτίσκους οὓς [illegible] θηριακῆς ὑπο-
δέξασθαι σκευάζεσθαι, ἀναμίξας τοῖς μετὰ θηρίων καιομένοις καὶ αὐτοὺς ἵνα
[illegible] ἐν αὐτοῖς πικρότητα ταύτην ἐν καύσει ἀποβάλοιεν,
[illegible] ἔχοιεν ἐν [illegible] ἀρτίσκων προσβαλὼν [illegible] ἐμπράγμενον [illegible]
καὶ τοσοῦτον μέτρον ἀρτίσκων, ἀπέβησαν ὡς ἀληθῶς οἱ ἄλλοι ἄριστοι· οὐ [illegible]
τῶν [illegible] ἐχιδνῶν, [illegible] ἔχοντες ἐν γεύσει [illegible]
τὸ ἐκ τῆς καύσεως [illegible] ἤδη σοι γενόμενοι, καὶ τὴν δύναμιν πρὸς [illegible]
αν· ἀλλὰ καὶ τῇ ποιότητι ἐν τῇ [illegible] σκευάζουσι δὲ [illegible]
εἶπον ἰδίως αὐτοὺς ποιεῖν. [illegible] ἔχοντες· [illegible] ὅλης τῆς σκευασίας τῶν ἄλλων
μιγνύναι ἀρτίσκων ξηρῶν οὐγ. β̄ [illegible]· οὗτος μὲν οὖν ὁ [illegible] ὅλος τῆς σκευασίας τῶν ἄλλων
[illegible]· [illegible] ποικίλως αὐτοῖς χρῆσθαι· [illegible] τοῖς μὲν αἱμοπτυϊκοῖς διδόντας
[illegible] συμφύτου πετραίου ῥίζης κεκομμένης καὶ σεσησμένης τὸ δι-
τοὺς ἄλλους [illegible] συμφύτου, ἐν τῷ συμφύτῳ· [illegible] δὲ φθι-
σει, τὸ ἕκτον μέρος· οἷον τοῖς [illegible] φαρμάκου, ἐν [illegible] μέρος ἐμβαλεῖν [illegible]·
[illegible] καὶ ἐμπνευματώδει, ἴρεως λειοτάτης ἢ [illegible] τὸ [illegible] μέρος [illegible] ἢ [illegible]
[illegible] χαμαιπίτυν· [illegible]· ῥίζαν [illegible] [illegible] τὸ ἥμισυ τῆς [illegible]
[illegible] ὁμοίως τὸ [illegible]· ποδαγρικοῖς δὲ σκευάζων, τὸ ἥμισυ τῆς [illegible] αὐτῆς λυσσώδεις καὶ
συνεχείας τοῦ σατυρίου [illegible] ἀφαιρεῖν, φυλαττόμενος [illegible] αὐτὰς λυσσώδεις καὶ
λυσιμελεῖς ἡδονάς· τοὺς δ' ἐν νεφροῖς λίθους, ὅτι μάλιστα θρύβουσιν οἱ ἄλλοι
[illegible] λαβόντες ἢ λιθοσπέρμου· εἰ δὲ [illegible] πρὸς τὰ [illegible]
[illegible] τὸ σκόρδιον προσέμ-
[illegible] δύναμιν [illegible], διπλασιάζε ἐν τῇ σκευασίᾳ τὸ σκόρδιον [illegible]
βαλε δὲ καὶ πόλιον καὶ [illegible] αἷμα ξηρότατον· [illegible] δ' [illegible]
[illegible] παιωνίας ῥίζης προλαβόντες ἢ [illegible] κεκαυμένους· ὅπια [illegible]-
χοῦς δὲ μᾶλλον ὠφελοῦσι ἐὰν κάστορ καὶ [illegible] ὀλίγον προσλάβωσι [illegible]

τῶν

τῶν ἀνεζεσμένων. ὀξυωπέστεροι δ' αὐτοὺς ποιεῖ φύλλ. μαλαβάθρ. διπλοῦν ἐμβ-
αλλόμενον τῇ σκευασίᾳ. προσηνέστεροι δὲ τῶν στομάχων γίνονται κασσίας ἄλλος καὶ
κόστου προσλαβόντες. πρὸς μέντοι τὰς ἐμπνευματώσεις κύμινον ἐμβαλε. διου-
ρητικωτέρους δ' αὐτοὺς ποιεῖ δαύκου σπέρμα. τεταρταίων δὲ λυτικώτεροι γίνονται πη-
γάνου ὀρθοῦ καὶ ὀποπάνακος καὶ ὀποῦ κυρηναϊκοῦ ἢ λασερπιτίου προσλαβόντες.
καθόλου δ' ἐπὶ παντὸς ὁ γινώσκων ἀγαθὸν καὶ κατάλληλον τῷ πάσχοντι μορίῳ
τοῦτο τοῖς ἁλσὶν ἐπισκευασθεὶς ἢ τῆς νόσου προσμείξας. οἱ δὲ ἐπιπολὺ πι-
κρότεροι καταπλάσαντες τοὺς ἅλας τῶν συγκαταχωννυμένων ταῖς ἐχίδναις ἀφ-
ἀφελών, τῇ ἀριστολοχίαν ὅλην καὶ σχορόδιον καὶ καρδάμωμον καὶ τὸ ἥμισυ
τοῦ κενταυρίου, ὕστερον μετὰ τὸ λοιπὸν τῶν κοπτομένων ταῦτα συνέμιξα
προσμίξας αὐτοῖς καὶ σπλάδας τὸ ἴσον τοῦ σχορόδου. πικρότεροι μὲν οὖν πρὸς
γεῦσιν ἐγένοντο. χρησιμώτεροι δ' εἰς πολλά μοι εὐλογώτεροι ἐφάνησαν. παραφυ-
λάττειν δὲ τὴν δόσιν αὐτῶν κυουσῶν καὶ τῶν φλεβοτομουμένων καὶ ἐπὶ παιδίων
καὶ τῶν ἀσθενεστέρων τὴν κρᾶσιν· μάλιστα ἐν ὥρᾳ θερινῇ καὶ χώρᾳ θερμῇ· καὶ ἐπὶ
τῶν ὀξέως καὶ ξηρῶς πυρεττόντων.

ἐπὶ τῶν (margin)

## Ἀντίδοτος ἡ Μιθριδάτειος, ἡ τῆς Ἀντιπάτρου καὶ Κλεοπάτρας. Κεφάλαιον ρβ.

Σμύρν. ∠ ζ. ὀβολ. δ. ναρδοστάχ. τὸ ἴσον. κροκ. ∠ ζ καὶ τριώβολον
ὀπίου ∠ δ. καὶ ὀβολ. β ς. στύρακ ∠ ε. ἐν ἄλλ. καὶ ... γ. κασσ. ∠ ϛ. ὀβολ. α. κινάμ-
ωμ. ∠ ζ. ~~...~~ πολίου ∠ ε. καὶ διώβολ. ἐν ἄλλ. ... γ. σχορδίου ∠ ... ἐν ἄλλ. καὶ ... γ.
ζιγγιβ. τὸ ἴσον. κόστου ∠ ϛ. πεπ. λευκοῦ ∠ ε. καὶ διώβολ. πεπ. μακροῦ ∠ ϛ
ἐν ἄλλ. καὶ ... α. σεσέλεως ἀβροτ. ∠ ε καὶ ὀβολ. β. πετροσελίν. ∠ δ καὶ ... α
ἐν ἄλλ. ... α. λίβαν ∠ ϛ καὶ
ἐν ἄλλ. δ. δαύκ. σπέρμ. ∠ ϛ καὶ ... α. κασσίας ∠ ε. καὶ ... α.
... α. ~~...~~ χαλβάν. ∠ ϛ καὶ ὀβολ. α ς. ναρδ. κελτικῆς, μαράθρ. σπέρμ.
φυλλ. ἀνὰ ∠ δ. ἀκόρου ἀβροτ. φοῦ. σαγαπηνοῦ. βαλσάμ. καρποῦ. ὑπερικοῦ
ἴρεως ἰλλυρικῆς. ἀκακίας. κόμμεως. καρδαμώμ. σπέρμ. θλάσπεως, ἐρυσίμου
ἀνὰ ∠ β. ἐν ἄλλ. ἀνὰ ∠ ϛ. λημνίας σφραγῖδος. κύφεως
πηγανίου σπέρμ. ἀνὰ ∠ ϛ. θλάσπεως σπέρματος ∠ ϛ. καὶ ... α. γεντια-
νῆς ῥίζης τῶν πηγῶν σφῆς ἀνὰ ∠ δ. ἀνίσ. ∠ γ. σχοινάνθ. ∠ ϛ ἐν ἄλλ. καὶ
ῥόδων ξηρῶν καθαρῶν. μήου ἀνὰ ∠ δ. ἀνίσ. ∠ γ. σχοινάνθ. ∠ ϛ
... α. ὀποπάνακ. ∠ ϛ. χαλβάν. ὀποβαλσάμ. τερεβινθίν. ... ἀνὰ ∠ ϛ
καὶ ... α. ἀριστολοχίας ∠ α. ἐν ἄλλ. καὶ ... ϛ. πρασίου ∠ α. ὕδατος ... μάννης
ἀνὰ ∠ γ. λιβανωτίδος ∠ γ. μέλιτος ἀττικοῦ ἀπηφρισμένου τὸ ἱκανόν. ἐν
ἄλλ. λίτρ. ϛ. οἶνον δὲ μὴ βάλης. ἀλλὰ προστακέντας ὅπους μέλιτι, ἐμβαλε
λεῖον καὶ τερεβινθίνην ἐπίβαλον, ἐπίπασσε τὰ ξηρὰ κεκομμένα σεσησμέ-
να λεπτοτάτῳ κοσκίνῳ. ἑνώσας πάντα ἀναλάμβανε. δόσις ∠ α.
ἡ τελεία, κρατ. κδ.

## Σκευασία κύφεως. Κεφάλ. ργ.

Ἐμβαλλομένου τῇ ἀντιδότῳ κύφεως γραφή. ἀσταφίδος λιπαρωτάτης
στερεᾶς χωρὶς σπέρματος καὶ γιγάρτων τερεβινθίνης κεκαυμένης ἀνὰ ∠ κδ. σμύρνης
σχοινάνθ. ἀνὰ ∠ ιβ. κινναμώμ. ∠ δ. κροκ. ∠ α. βδελλίου. ναρδοστάχ. κασσίας
ἀνὰ ∠ γ ς. ἀσπαλάθ. ∠ β ς. κυπέρων. ἀρκευθίδων μεγάλων ἀνὰ ∠ γ ς
οἴνου χαλαμ. ἀρωματίτ. ∠ θ. μέλιτος τὸ ἀρκοῦν. ἀρκοῦσι μέλιτος ... γ. οἴνου
τῶν ὀσμῶν βραχύ. σμύρνην. βδέλλιον. καὶ ἀποκεχαυμένην τερεβινθίνην,
λεία μετ' οἴνου ὡς μέλιτος ὕγρου ἔχει πάχος. εἶτα σταφίδας ξηρὰς λεῖα
θλάσας ὁμοῦ μετὰ, ἐπίβαλε· καὶ συλλεάνας, ἐπίχεε μέλιτος τὸ ἀρκοῦν, ἤτοι
... γ. εἶτα ἐπίπασσε λεπτά. ἀνάπλασσε τροχίσκους. χρῶ.

ὑπόκειται

ὑποκαίεται δὲ ἡ τερεβινθίνη, τὸν δὲ τρόπον· βαλὼν ταύτην εἰς λο-
πάδα, εἶτα ἐπιβαλὼν ὕδωρ τριπλάσιον αὐτῆς ἢ πλέον, τίθει ἐπὶ τὸ πῦρ·
εἶτα μηλώτῃ κινῶν· ἐὰν δ᾽ ὕδωρ δαπανηθῇ καὶ ψαφαρὰ γένηται
ἡ τερεβινθίνη ὥστε δακτύλοις ἀποκλᾶσθαι, ἀρκούμενος χρῶ εἰς τὸ
τῆς ἀντιδότου σκευασίαν· εἰ δὲ δαπανηθέντος ὕδατος, ἔτι μαλακω-
τέρα φαίνοιτο, ἐπίβαλε ἕτερον ὕδωρ, καὶ πάλιν ὑπόκαιε μέχρις
ἂν ψαφαρὰ γένηται· δίδοται τὸ κῦφι καθ᾽ αὐτὸ χρησίμως, τοῖς
ἧπαρ ἢ πνεύμονα ἢ νεφροὺς ἢ τι ἕτερον σπλάγχνον ἡλκωμένον ἔχουσι
ἢ ἐμπεφραγμένον.

## Περὶ χρήσεως τῆς ἀντιδότου· κεφάλ. ρδ.

Ἡ μὲν δόσις τῆς προγεγραμμένης μιθριδατίου, καρύου ποντικοῦ
τὸ μέγεθος· τοῖς μὲν νέοις, κυάμου αἰγυπτίου· παραλαμβάνεται καὶ μετ᾽ ἄλλων μιγνυμένη ἐπὶ τῶν
μείζον πληγῶν· τοῖς ἀπυρέτοις, ἐν οἴνῳ δίδοται ἢ οἰνομέλιτι ἢ κονδίτῳ, ἐπὶ τῶν
μὴ ἐμπεφραγμένων τὸ ἧπαρ· πυρέσσουσι δὲ ὕδατι ἢ μελικράτῳ· ποιεῖ δὲ πρὸς ῥευματισμὸν
στομάχου καὶ θώρακος καὶ πρὸς πάσας ἐν βάθει σώματος γινομένας χρονίας διαθέσεις
καὶ κοιλίας ἀπεψίας· πρὸς φθισικοὺς· πρὸς τὰς κοιλίας ἐμπνευματώσεις καὶ κοιλιακοὺς
καὶ δυσεντερικοὺς ἰᾶται· ἐπανάγει τὰς ἀμβλυνομένας ὀρέξεις· εὐχροίαν ἐμποιεῖ σώματος·
ἰᾶται· τὰς ἐν νεφροῖς καὶ κύστει λίθους· ἰᾶται δυσουρίαν· τὴν ἐκ μέλαινας χολῆς ἀνιστᾶσα· ἐκβάλλει
ἔμβρυα νεκρά· πρὸς τἆλλα γυναικεῖα πάθη ἁρμόδιος· ὀξυδερκεῖς-
τέρους, κατασκευάζει λαμβάνοντας· πλείονα δύναμιν προσειλημμένως ἔχει, εἰς
τὸ μὴ συγχωρεῖν ὑπὸ θανασίμων βλάπτεσθαι φαρμάκων· οὗ ἕνεκα
παρὰ μιθριδάτου συνετέθη·

## Ἀντίδοτος ἡ ἔσδρα τοῦ προφήτου ἤτοι

### διδασκάλου· κεφάλαιον ρε.

Ἀμώμου ℥ ιβ· σχοινάνθου ℥ θ· ἐν ἄλλ. ∠ θ· πυρέθρου ℥ ς· ἐν ἄλλ. [illegible] μώμου
ἀμώμου ℥ ιβ· σχοινάνθ. ℥ θ· ἐν ἄλλ. ∠ θ· πυρέθρ. ℥ ς· ἐν ἄλλ.
∠ ς· κινναμώμ. ℥ ς· ἢ κασσίας τὸ διπλοῦν· σμύρν. τρωγλοδύτιδος ℥ ιβ·
ἐν ἄλλ. ιη· στύρακ. πεφρυγμένου ℥ ιβ· ἐν ἄλλ. ιη· πετροσελίνου· δαύκου σπέρματος ἀνὰ ℥ ς·
ἀβρότονον ℥ ς· ἐν ἄλλ. λ· ὑποκιστίδος χυλοῦ ℥ θ· ἴρεως ἰλλυρικῆς ἀβ-
ρασαχάνθ. ℥ ς· ἐν ἄλλ. λ· ὑποκυστίδ. χυλοῦ ℥ θ· λιβάν. ℥ ιη· ἐν ἄλλ. ℥ α·
ῥοῦ ℥ ις· μαράθρ. σπέρμ. ℥ ς· βδελλίου ℥ θ· λιβάν. ℥ ιη ἐν ἄλλ. ℥ α·
θλάσπεως ℥ ς· ὑοσκυάμ. σπέρμ. λευκοῦ ℥ κζ· μήκωνος σπέρμ. ℥ λ·
ναρδοστάχυος ℥ ιβ· πηγάνου σπέρμ. ὠκίμου σπέρμ. ἀνὰ ℥ γ· ῥοὸς μαγειρικοῦ ℥
ς· ἐν ἄλλ. ιε· καρδαμώμου σπέρμ. χωρὶς εὐζωμώνης· εὐφορβίου ἀνὰ ℥
ς· ὀπίου ℥ κζ· πεπέρεως ℥ λ· ἐν ἄλλ. λιτ. α· ῥόδων ξηρῶν ℥ θ·
σπαθάλ-
φυλλ. λαχάν. λυκίου ἰνδικοῦ· καρυοφύλλ. βασιλικοῦ ἀνὰ ℥ ιβ·
σάμ. ℥ κδ· ἀνθύλλης γαστρὸς ℥ ς· κόστου ἀρισκομένης ἐν θήκη
κοιλία ℥ ς· ἐν ἄλλ. γ· μήου ἀθαμαντικοῦ ℥ ς· ἐν ἄλλ. ις· μήου ἄνθους
℥ α ∠· ἐν ἄλλ. δ ∠· γῆς κιμωλίας· ναρδ. κελτικ. κόστου γεντιανῆς
ἀνὰ ℥ ιβ· ἀρτεμισίας χυλοῦ ℥ κ· ὀξέως φύλλ ℥ θ· ῥόδων ῥοδο
δάφνης ℥ ς· ἐν ἄλλ. ις· καστορ. ℥ γ· ἐν ἄλλ. ιβ· ἡδυχρόου μάλαβ. ℥ θ
ἀνισίου ℥ ς· σίνωνος ℥ ιη· ἀμμωνιακοῦ θυμιάματος ℥ ιβ· ἐντολὲ κιττο
φυλ. ℥ ιβ· ἐν ἄλλ. καὶ κασσίας ℥ θ· καὶ ἀνήθου σπέρμ. ℥ ς· οἴνου παλαι
οὗ δεῶ δε, τὸ ἀρκοῦν· μέλιτος ἀπηφρισμένου πεφθέντος λιτρ. ε ἢ ς· σκευ-
άζεται δὲ τρόπον· τὰ ξηρὰ πάντα σὺν τῷ κρόκῳ· κασσία ἡδυχρόῳ

κόπτε

κόπτε· ὕστερον δὲ εἰς ποταμὸν χειμῶνα. βρέχε δὲ οἴνῳ, ὄπιον· σμύρναν ἴσον
χρυσίδα βδέλλιον· λύκιον· ἀμμωνιακόν· τὴν δὲ φαγέδαιναν περιδίαν βρέχε·
τῇ δ᾽ ἑξῆς λεῖε ἐν θυΐᾳ τὰ φύλλα τῆς ῥοδοδάφνης καὶ τὴν ῥίζαν· ἀναλαβὼν λεῖε
φαγέδαιναν εὖ μάλα· εἶτ᾽ ἐπίβαλε αὐτῇ τὰ πετάλωθέντα καὶ χυλὸν ἀφ
λέμισίας· ἑνώσας ἱκανῶς ἐπίβαλε μέλι ἀπαφρισθὲν καὶ λειανθὲν ἐπιπολύ·
πρὸς τὸ μὴ ψυγῆναι τὴν φαγέδαιναν· εἶτα [illegible] τὰ κοπέντα ξηρὰ
ἑνώσας ἱκανῶς, [illegible] χλιαρῶς· ταῖς δ᾽ ἑξῆς ἡμέραις λεῖε ἐν ἡλίῳ ἐφ
ἡμέρας ζ ἢ θ. ἀναλάμβανε ἐν ὑελίνοις ἀγγείοις μὴ πληρῶν τὸ ἀγγεῖον·
ἀλλὰ καταλιμπάνων τόπον εἰς διαπνοήν. ἢ δὲ χρῆσον αὐτῇ.
πρὸς ἰοβόλων θηρίων πληγάς. δίδου κυάμου μέγεθος μετ᾽ οἴνου κυάθου ἑνὸς πρωΐ,
καὶ εἰς κοίτην· καὶ ἐπίχριε αὐτὴν τῷ δήγματι· ἀκίνδυνος ἔσται ὁ δηχθείς. πρὸς θανάσιμα
φάρμακα εἰληφότας μετ᾽ ἐμέτους καὶ μετὰ ἐμετὸν δίδου καρύου ποντικοῦ μέγεθος ἕωθεν καὶ εἰς κοίτην μετ᾽
οἴνου. προσλαμβανομένη οὐ συγχωρεῖ βλάπτειν γενεάς ὑπό τινος δηλητηρίου. πρὸς κεφαλ-
αλγίαν ἀναλύσας ἐξ αὐτῆς ὀξυμέλιτι, χρίε μέτωπον· δίδου πίνειν εἰς κοίτην φασή-
λου μέγεθος σὺν ὕδατι ὀλίγῳ καὶ ὀξυμέλιτι. πρὸς μανιομένους δίδου εἰς κοίτην
κυάμου μέγεθος κεκραμένου μετὰ ὀξυμέλιτος· ἀναλύσας ἐξ αὐτῆς μετὰ ὀξυμέλιτος, ἐπίχριε
μέτωπον ὅλον καὶ μεσόφρυον καὶ ῥῖνα ἔξωθεν, ὅλην εἰς κοίτην μάλιστα. ἐμποιεῖ
δὲ ὕπνον. πρὸς ὀφθαλμῶν χρόνια ῥεύματα ἀναλύσας μετὰ ὀξυμέλιτος καὶ [illegible]
δίδου κατέχειν ἐν στόματι· παραυτίκα παύσεται ὀδύνη. πρὸς βῆχα χρονίαν
καὶ δύσπνοιαν καὶ ὀρθόπνοιαν δίδου καρύου ποντικοῦ μέγεθος· ἀναλύων [illegible]
ὕδατι ψυχρῷ· ἐπὶ πυρεσσόντων μετὰ μελικράτου· δίδου δὲ ἐφεξῆς ἐφ᾽ ἡμέρας ζ εἰς
κοίτην. πρὸς τοὺς αἷμα πτύοντας ἐκ φθισικῶν καὶ ἀπὸ στήθους ἔνδοθεν ἔχοντας, δίδου κυάμου
μέγεθος μετὰ ὀξυμέλιτος ὀλίγου κεκραμένου ὕδατι ὀλίγῳ· δίδου δὲ ἐπὶ πλείστας ἡ-
μέρας ἕωθεν καὶ εἰς κοίτην· καὶ ἰαθήσεται ἀπόστημα κἂν ἢ χρόνιον. χρὴ μὴ
κατέχειν φονεύειν· πρὸς τὰς ἐν στομάχῳ χρονίας ὀδύνας τὰς μετὰ ψύξεως δίδου κυ-
άμου μέγεθος μετὰ ὀξυμέλιτος κοχλιαρίου [illegible] εἰς κοίτην. εἰ δὲ πυρέσσοιεν
μετὰ μελικράτου. πρὸς λυγμὸν διὰ πλῆθος ἢ ψύξιν δίδου κυάμου μέγεθος
μετὰ μελικράτου εἰς κοίτην. πρὸς τὰς ἐν ἥπατι ἐμφράξεις, δίδου κυάμου μέγεθος
μετὰ χονδρίτου. πρὸς δὲ τὰς σκληρίας μετὰ μελικράτου. πρὸς σπληνικοὺς μετ᾽
ὄξους ἢ ὀξυμέλιτος· ἰκτερικοῖς μετ᾽ οἰνομέλιτος. ὑδρωπικοῖς μετ᾽ ὀξυμέλιτος
ἢ οἰνομέλιτος. χρίε δὲ τῇ ἀντιδότῳ τὰ οἰδήσαντα μέρη καὶ ξήραινε τὸ ὕδρον
λιθιῶσι δίδου μετὰ ὀξυμέλιτος. πρὸς δυσουρίαν μετ᾽ ἀφεψήματος σελίνου,
ἢ πετροσελίνου ἢ τινος τῶν ὁμοίων. πρὸς διάρροιαν καὶ κοιλιακὰς διαθέ-
σεις καὶ δυσεντερίας μάλιστα ἀρχομένας δίδου καρύου ποντικοῦ μέγεθος πρωΐ
καὶ εἰς κοίτην μετ᾽ οἴνου· ἐπὶ πυρεσσόντων μετ᾽ ὀξυκράτου ὕδατος. χρὴ δὲ
ταύτῃ πίνειν θαρρῶν. πρὸς ποδάγραν δίδου κυάμου μέγεθος μετὰ μελικράτου
καὶ ἀναλύσας ἐξ αὐτῆς μετὰ ὀξυμέλιτος, χρίε τοὺς πόδας χλιαρῶς.
καὶ εἰ μὲν ἀρχὴ ἢ εἴη τοῦ πάθους, ἀπαλλάττεται· εἰ δὲ χρόνιον εἴη τὸ πά-
θος, ἀπαλλάττεται ἢ ὠφελεῖται μεγάλως. πρὸς ἰσχιαδικοὺς καὶ τοὺς
τὰ λοιπὰ ἄρθρα ῥευματιζομένους τοῦ σώματος, ἀναλύσας ἐξ αὐτῆς μετ᾽
ἐλαίου τινὸς οἷον γλευκίνου ἢ ἰρίνου ἢ σικυωνίου, χρίε τὰ ἄρθρα. πρὸς
ἐλεφαντιῶντας μάλιστα ἐν ἀρχῇ· ἤδη δὲ καὶ τοὺς κρατηθέντας τῷ πά-
θει δίδου καρύου ποντικοῦ μέγεθος μετὰ μελικράτου δὶς τῆς ἡμέρας· ἀναλύσας
δὲ τὴν ἀντίδοτον μετ᾽ οἴνου χρίε ὅλον σῶμα ἐν ἡλίῳ ἐφ᾽ ἡμέρας ζ ἐφεξῆς,
ἀφίσταται γὰρ ἢ ἐλεφαντιῶντα σώματος κατὰ βραχὺ καὶ ἀποπίπτει ὥσπερ λεπί-
δες· καὶ ἀνακαινίζεται ἡ σύγκρισις. πρὸς τὰς δυστοκούσας γυναῖκας
αὐτῇ μετ᾽ εὐκρατοῦ ὕδατος χρίε ἐπὶ τὸ ὑπογάστριον καὶ τέξεται εὐχόλως.

πρὸς

Γυναικεῖον ὀυδόχρυον

πρὸς δὲ τὰ κακοήθη καὶ χθόνια καὶ τὰς ἐπιφανείας γινόμενα, ἐμ
πλάσας ῥάκει ἐπιτίθει. πρὸς σύριγγας ἐντίθει ἐξ αὐτῆς τῇ σύριγ
γι καὶ ἔξωθεν ἐμπλάσας ἐπιτίθει.

## Ἀντίδοτος ἡ Παιωνία. Κεφάλ. ρϛ´.

Οὕτως παιώνιον φάρμακον, τῇ πολλῇ πείρᾳ ἐκρίθη, ἔχον οὕτως·
ἀμώμου ℥ ιη´. κρόκου ℥ μ´. παιωνίας ῥίζης ℥ ιβ´. παιωνίας σπέρμ. ℥ ιβ´.
πεπέρεως λευκοῦ ἐν ἄλλ. καὶ πεπέρεως μακροῦ ἀνὰ ℥ θ´. πεπέρεως κοινοῦ ℥ ιβ´. φύλλ.
εὐφορβίου ἀνὰ ℥ θ´. ἐν ἄλλ. ιβ´. ναρδοστάχυος οὐγγ. α´. ῥαπόντικ. ℥ ιβ´. κόστου λιβαν.
ἀνὰ ℥ ιη´. πετροσελίνου ℥ μβ´. ἐν ἄλλ. λβ´. ὀπίου ℥ ιε´. ὑοσκυάμ. λευκοῦ σπέρμ.
σμύρν. ἐφ γλυκ... πυρέθρου ἀνὰ ℥ ιβ´. στύρακος ... καλαμίνθης ἀνὰ ℥ θ´.
κασσίας οὐγγ. α´. καστορ. ℥ ϛ´. μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. οἴνου τὸ
ἱκανόν. ὄπιον, λίβανον, σμύρναν λέαινε μετ᾽ οἴνου. στύρακα μετὰ μέλιτος ὀλί
γου τρίψας, λέαινε δὲ μάλα. ἑνώσας, ἐπίβαλε τὰ ξηρὰ καὶ τὸ μέλι
ἀναλάμβανε. χρῶ. δόσις κεράτ. γ´. ἐν ὕδατι ... τὰ
πολλὰ εἰς κοιλίαν καὶ ὅπως ἂν ἐπιτάττῃ. ποιεῖ πρὸς τοὺς ἀπὸ κεφαλῆς
κατάρρους καὶ βῆχας. τοὺς ἀναγωγάς. φθισικούς. περιπνευμονικούς.
πλευριτικούς. παραδόξως γὰρ θώρακα κινδύνου ἀπαλλάττει ἀπὸ κα
τάρρου ἅμα καὶ ἐμπύους κἂν αἷμα ἀνάγωσιν· ἐπὶ συναγχικῶν ἀνα
λύσας οἰνομέλιτι δίδου ἀναγαργαρίζεσθαι συνεχῶς καὶ διακρί
...μετὰ μέλιτος. ἐπὶ κωλικῶν καὶ λυθιώντων νεφρῶν, ἐπέβαλλον
ἕως ἐν ... ἐν μὲν ... τῶν ἀπυρέτων κωλικῶν διδόμενον
παύει παραχρῆμα ὀδύνας. ἐν πυρέττουσιν, ἐπὶ ... τὰς ἀνέσεις
πυρετῶν. ... δίδου. θραύσει λίθους. δυσουριῶν ἀπαλλάξει
... ἐμφράξεων γινομένων. ἐνιέναι δ᾽ ἐπὶ αὐτῶν ... καὶ
μάλιστα ἐπὶ κωλικῶν ἐν σφοδροτάτοις ἀλγήμασι ... μετ᾽ ἐλαίου
... καὶ αὐτίκα κινδύνων ἀπαλλάττει. χρονίων πυρετῶν μάλιστα
... καὶ ἀμφημερινῶν καὶ τεταρταίων ῥᾳδίως ἀπαλλάξει πρὸ δύο ὡρῶν ...
... καὶ πρὸς τὰς ἀναλήψεις κάμνοντας ἐθίρους ...
... ὀδύνας. καὶ πρὸς τὰς ἀνάλυσεις ... ἀλλὰ ... ποιεῖ
... δίδοται ... ἐν ... νοσημάτων ... καὶ παντὲς ἐπίδημα νοσήματα
ἐν ... προφανέσης. πρὸς λοιμικὰ καὶ παντ᾽ ἐπίδημα ... λοιμικὸν ...
ἐκ κακίας ἀέρος ἐγγινόμενα σώμασιν ἄκρως ποιεῖ καὶ λοιμικὸν ...
... φαρμακον. ποιεῖ ...
... ἰᾶται. ἐπὶ καὶ δυσεντεριῶν προφυλακτικὸν φάρμακον ... ἀλλὰ καὶ
νου ἀνωδύνου ... ὥστε ... ἀνώδυνα ἀλλὰ καὶ
ἔχον ἐπὶ ... τῷ ὕπνῳ σφόδρα ... προφάσεις
... ἀλγημάτων ... αἰσθησιν ... ὡς ...
λανθάνει ... ἤλγησαν ... πολλῶν τούτων καὶ ...
ἀγρυπνίας ... αὐτὰ θαρρεῖν. εἰ μέν τι φλεγμαίνοι ...
προφυλακτικὸν χρὴ διδόναι πρὶν ... φλεγμονήν. ἐὰν κιν
δυνος ... μέγιστος ... κίνδυνον ἐπικείμενον, δίδου πρὸς
τὸ κρατῆσαι καὶ παραδοῦναι τῇ ἀκολούθῳ θεραπείᾳ.

## Ἀντίδοτος ἱπποκράτους εἰς πτύοντας αἷμα καὶ ῥοώδεις καὶ εἰς γυναικείαν αἱμοῤῥαγίαν. Κεφάλ. ρζ´.

Πλαξ
ΣΖ.

κροκ. ὀπίου λιβάν. σμύρν. ἀν. ἑξάγ. ιϛ. μανδραγόρ. ἑξάγ. δ. ὑοσκυάμ. σπέρμ. οὐγγ. β. μήκωνος μελαίν. σπέρμ. κινναμώμ. ἀν. οὐγγ. α. φλοιοῦ ῥοιᾶς ἑξάγ. ιθ. τρίψας σίσας μίξ. μετὰ μέλιτος δίδου μετ' οἴνου ἑξάγ. ἥμισυ.

## Ἀντίδοτος ἡ ἀρωματική. κεφάλ. ρη.

Ἀντίδοτος αὕτη Γαληνοῦ καλλίστη ποιοῦσα πρὸς πάντα. μάλιστα δὲ τὰ περὶ στόμαχον γαστρὸς καὶ αὐτὴν γαστέρα χρονίων διαθέσεων καὶ τὰ ἐφ' ἡπατικῶν. εὐστόμαχόν τε καὶ εὐώδης ἐστὶ λίαν. σκευάζεται οὕτως. κινναμώμ. < α. ἢ κασίας διπλοῦ. ἀμώμ. οὐγγ. γ. νάρδου στάχυ. φύλλ. ἀν. οὐγγ. δ. σμύρν. τρωγλίτιδ. < α. κρόκ. σχοινάνθ. κόστου ἀν. οὐγγ. α. πεπέρ. οὐγγ. ϛ. μέλιτος ἀττικοῦ ἀπηφρισμένου τὸ ἀρκοῦν. ἐγὼ φησὶ κινναμώμου ἀπορίας διπλοῦν ἐμβαλὼν γίνεται κάλλιον. δόσις καρύου ποντικοῦ μέγεθος μετ' οἴνου ἢ οἰνομέλιτος ἢ μελικράτου εἰ πυρέττοιεν.

## Ἀντίδοτος ἡ διὰ δύο πεπέρεων ὡς Αἰγινήτης.

### Κεφάλαιον ρθ.

Αὕτη ἀνώδυνος λεπτυντικὴ πυρετὸς ἀναξηραντική. ποιεῖ καὶ πρὸς κωλικούς. ταύτην Κρίτων ἐσκεύασεν. ἔχει δὲ οὕτω. κροκ. < ϛ. κασίας ὀπίου ἀν. < γ. κινναμώμ. < β. κόστου. πεπέρ. μακρ. πεπέρ. λευκοῦ χαλβάν. ἀν. < δ. σμύρν. < δ. ἴρεως < γ. καστορ. < ε. τὰ ὀπώδη βάλλου σὺν οἴνῳ παλαιῷ. τὰ λεπτὰ κόψας σήθε καὶ ἐπιπάσσε τοῖς λειωθεῖσι. ἐπίβαλε μέλιτος ἀπηφρισμένου ἱκανόν. ἑνώσας ἀνάλαμβανε. δίδου ὅσον κυάμου ὅσον σὺν ἀφεψήματι. κωλικοῖς δὲ πρὸ τῆς τροφῆς δίδου μετ' οἴνου ἀνὰ στενοῦ κυάθου ἑνός. τοῖς δὲ περὶ τὴν τροφὴν κυνικὴν πάθος ἔχουσι σὺν γλυκεῖ οἴνῳ. φθισικοῖς. ἐμπυϊκοῖς καὶ ταρροιζομένοις, μετὰ μελικράτου. χρῶ καὶ πρὸς τεταρταῖον καὶ λοιπὰ περιοδικὰ χρόνια ῥίγη πρὸ δύο ὡρῶν τῆς ἐπισημασίας.

## Ἀντίδοτος ἡ ἀθανασία ἡ νῦν σκευαζομένη.

### Κεφάλαιον, ρι.

Αὕτη εὕρημά ἐστιν Αἰγυπτίων. σκευάζεται οὕτως. κρόκ. νάρδου φύλλ. κόστου ἴρεως. γλυκυρίζ. ξηρᾶς. ἐν τοῖς πετροσελίνου. σύρακος κασίας ὀπίου ἴσα. μέλιτος, ἀρκοῦν. ἡ δόσις καρύου ποντικοῦ μέγεθος. ἡπατικοῖς ἀπυρέτοις μετ' οἰνομέλιτος. πυρέσσουσι, μετὰ μελικράτου. δίδου ἐφ' ἡμέρας ζ. συναγχικοῖς μετὰ μέλιτος δίδου ἐκλεικτόν. τοῖς περιπνευμονικοῖς καὶ πλευριτικοῖς μετὰ μελικράτου. στομαχικοῖς καὶ τοῖς μὴ πέττουσι τὴν τροφήν, μετὰ ὀξυκράτου. ῥευματιζομένοις στόμαχον ἢ κοιλίαν, δὶς τρὶς τῆς ἡμέρας ἀναπλάσας δίδου. καὶ ὅσοι ἐρροφήκασιν ψυχρὸν ὕδωρ. πρὸς πληκτικὴν κύστιν καὶ ὕδρων μετὰ ὕδατος [illegible] ἀφεψ. ἰκτερικοῖς νεφριτικοῖς ὑδρωπικοῖς μετ' οἰνομέλιτος. πρὸς τοὺς κατὰ περίοδον χρονίζοντας πυρετοὺς ποίει ἄκρως πρὸ τῆς ἐπισημασίας διδομένη. ἐπὶ τῶν χρονίως ῥευματιζομένων ὀφθαλμῶν, δίδου εἰς νύκτα καὶ ἐπίχριε τὸ μέτωπον. πρὸς αἱμοπτυϊκοὺς καὶ δυσεν-

τερικοὺς

θριγκοὺς μετ᾽ ὀξυκράτου ἐν χυλίῳ.

Ὀριβασίου θηριακὴ ἡ ἐχιδνῶν μάρκος προλαμ-
βανομένη καὶ ἐπιλαμβανομένη κεφ. ρια.

Τριφύλλου τῆς ἀσφαλτιζούσης σπέρματος πηγάνου ἀγρίου. ὀρόβων κιρ-
ρῶν. ἀλεύρου ἀριστολοχίας στρογγύλης, ἴσα· ἀνάπλασσε τροχίσκους·
δίδου μετ᾽ οἰνομέλιτος ∠ α. — ἢ μετ᾽ οἰνελαίου

Ἄλλη κατεσχημένη λίαν καλή

ὀρόβων κιρρῶν ἀλεύρου ∠ μη. ἀνίσου. μαράθρου σπέρματος ἄμεως ἀν(ὰ)
∠ η. μήου. τριφύλλου σπέρματος, ὀποπάνακος. σεσέλεως ἀνὰ ∠ δ. οἴνῳ πλά-
σσε τροχίσκους καὶ πότιζε τρίβων μετ᾽ οἴνου.

Ὀριβασίου ὀξέα ἡ διὰ βρυωνίας· αὕτη πρὸς τὰ ἰοβόλα
καὶ δηλητήρια ἔτι πρὸς ἐχιοδήκτους καὶ σκορπιοπλήκτους.

Βρυωνίας ῥίζης. ὀποπάνακος· ἴρεως· λιβανωτίδος. ὀπίου σιλφίου
ἀνὰ ∠ δ. ἀριστολοχίας ∠ ε. λιβανοῦ ∠ ς. πηγάνου ἀγρίου σπέρματος ∠ ς. κυ-
μίνου ∠ ιε. ἐν ἄλλ. ∠ γ. ἀλεύρου ὀρόβου ∠ ις. οἴνῳ πλάσσε τροχίσκους·
δίδου τρίβων μετ᾽ οἴνου.

Ἀντίδοτος ἡ Φίλωνος. αὕτη προσγράφεται ἐν τῷ περὶ κωλικῶν
λόγῳ. ἡ δὲ ἰδέα ἐν τοῖς βηχικοῖς. κεφάλ. ριβ.

Ἀντίδοτος ἡ Ἀδριανοῦ. κεφάλ. ριγ.

πεπέρεως. ὑοσκυάμου λευκοῦ σπέρματος ἀνὰ ∠ κ. ὀπίου ∠ ι. κροκ. ε. ναρδο-
στάχυος. εὐφορβ. ἀμώμ. πυρέθρου. κασσ. φύλλου. πηγάνου ξηροῦ. κασσίας. καστορ.
δαύκου σπέρματος σμύρνης πετροσελίνου ἀνὰ ∠ α. ῥόδων ξηρῶν. σελίνου σπέρματος ἀνὰ ∠ α ς.
ζιγγιβέρ. ὀποβαλσάμου ἀνὰ ∠ β. μέλιτος τὸ ἱκανόν. ἡ δὲ ἰδέα δίδου κυάμου
ποντικοῦ μέγεθος. ἡ δὲ χρῆσις ἡ κυάμου αἰγυπτίου. ποιεῖ κωλικοῖς ἐν χυλίῳ
διδομένη μεθ᾽ ὕδατος θερμοῦ. στομαχικοῖς ἀπεψοῦσι τρίβων μετ᾽ ὀξυκράτου. δυσεντερικοῖς
στραγγουριῶσι μεθ᾽ ὕδατος θερμοῦ. αἱμοπτοϊκοῖς μετ᾽ ὀξυκράτου. δυσπνοϊ-
κοῖς δίδου ἐξ αὐτῆς καταπότια καὶ ἐπιρροφείτωσαν ὀξυκράτῳ βραχύ.
φρενιτικοῖς εἰς κόλλαν μεθ᾽ ὑδρομέλιτος. τοῖς ξηροῖς βήττουσι μετὰ με-
λιτος εἰς ἔκλειγμα. φαλαγγιοδήκτοις καὶ ἐχιοδήκτοις μετ᾽ οἰνομέλι-
τος ἄγει καὶ ἐμμήνια μετ᾽ οἰνομέλιτος ἐν ᾧ ἀφηψήσθω γλήχων ἢ
καλαμίνθη ἢ πήγανον. κωλικοῖς μεθ᾽ ὑδρομέλιτος.

Ἀντίδοτος ἡ Χαρίσιος. κεφάλ. ριδ.

Κασίας. σμύρν. πεπέρ. μακρ. καστορ. χαλβάν. στύρακ. κροκ. κόστου
ὀπίου ναρδοστάχυος ἑκάστου τὸ ἴσον. μέλιτος τὸ ἱκανόν. δόσις κυάμ.
μέγεθ. ποιεῖ πρὸς πάντα ἐν θώρακι χρόνια πάθη. πρὸς ἡπατικούς
καὶ κωλικούς μεθ᾽ ὑδρομέλιτος. πρὸς σπληνικούς, μετ᾽ ὀξυμέλιτος. ὁ δὲ
σκευάσας αὐτήν, καὶ πρὸς ὀξέα πάθη διδομένην.

Φιλαγρίου Ἀντίδοτος ἡ διὰ θείου ἀπύρου. κεφάλ. ριε.

Ἀπὸ τῆς πυρέσσουσ. ταύτη δεόντως φησὶ Φιλάγριος κέχρη-
μαι πρὸς τὰ χρόνια περιοδικὰ ῥίγη. ἧς ἡ σκευασία αὕτη. θείου
ἀπύρου. ὑοσκυάμου λευκοῦ σπέρματος· καρδάμου σπέρματος χωρὶς ἐντεριώ-
νης

ὠνης· στύρακ· ὀπίου· σμύρν· ἀνὰ < η. κόστου· πηγάνου ἀνὰ < γ. κρόκ· < δ. κασίας < ια. ἐν ἄλλ. ιβ. ποθεν < λβ. ἀναλάμβανε μέλιτι ἀττικῷ ἀπηφρισμένῳ καὶ δίδου πρὸ ὥρας μιᾶς τῆς εἰσβολῆς τῶν προσεχομένων δι' ὀξυκράτου, ὕδατος ζεστοῦ θερμοῦ· καὶ ὀλίγον διαστήσαντα κέλευε καθεύδειν· ὕπνον γὰρ ἐμποιεῖ καὶ λύει τοὺς χρονίσαντας τύπους τῶν πυρετῶν πάντας. δεῖ δὲ μὴ πρότερον διδόναι πρὶν ἢ θεραπευθῆναι πρὸ τῆς χρήσεως τὸ σῶμα στερεὸν ἐν ὄροις. προσυλακτέον δὲ χρὴ τὸν λαμβάνειν μέλλοντα καὶ ἄπυρον εἶναι· καὶ μάλιστα ἐπὶ τῶν ἀμφημερινῶν πυρετῶν. Διὸ [illegible] ἀκμαίου ὄντος τοῦ φαρμάκου ἔξω καιροῦ [illegible].

Θηριακὴ Δημοκράτους ἡ διὰ βρυων. καὶ ὀρόβων.

Κεφάλαιον ρις'.

Αὕτη θεραπεύει τῶν ἰοβόλων δήγματα· ἐχιδνῶν· κεραστῶν ἀσπίδων χερσύδρων πληγὰς καὶ τῶν λοιπῶν θηρίων τὰ νύγματα· σφηκῶν· τρυγόνης θαλασσίας καὶ δράκοντος πληγάς· φαλαγγίων καὶ σκορπίων· σκευάζεται οὕτως· ἴρεως ἰλλυρικῆς < ϛ. ἐν ἄλλ. η. ζιγγιβέρ. ὀποπάνακ. ὀπίου· λιβανωτοῦ δ. ἀνὰ· σμύρν. τερεβινθ. τριφύλλ. τῆς ἀσφαλτιζούσης σπέρμ. ἀνὰ < η. ἀριστολοχ. πηγάνου ἀγρίου σπέρμ. ἀνὰ < ιβ. βρυωνίας ῥίζης ξηρᾶς λευκοΐου [illegible] < ιϛ. ἑρπύλλ. κασσίας ἢ ῥυστικ. ῥίζης ξηρᾶς. σελίν. σπέρμ. κυμίνου αἰθιοπικοῦ. προσφάτου ἀνὰ < ϛ. ἐν ἄλλ. ιβ. ὀρόβ. κιρρῶν ἀλεύρ. < κδ. ἅπαντα ταῦτα κόψας σήθε. τὸν δ' ὀποπάνακα οἴνῳ διαλύσας, καὶ πλάσας ἔα ξηραίνεσθαι, ἀναπλάσας τροχίσκους. δίδου < α πίνειν μετ' οἴνου παλαιοῦ ἀκράτου. πινομένη γὰρ αὕτη [illegible] ὠφελεῖ τοὺς δηχθέντας. ποιεῖ δὲ μεθ' ὕδατος πινομένη ὅσον τριτον τοῖς ἐμπνευματουμένοις κῶλον ἢ γαστέρα καὶ τοῖς πονοῦσι ~~ἔνδον~~ τῶν ἐντὸς τι διὰ φανερὰς αἰτίας.

Ἀντίδοτος Θεοδωρήτου ἡ διὰ ἀνακαρδίων

Κεφάλαιον ριζ'.

Αὕτη ποιεῖ πρὸς ὅλον τὸν ἄνθρωπον καὶ πρὸς ῥευματικούς· καὶ πρὸς πάντα τὰ περὶ κεφαλήν· καὶ πᾶσι τοῖς περὶ θώρακα πάθεσι· μάλιστα ἀσθματικοῖς ὀρθοπνοϊκοῖς· φθισικοῖς πλευριτικοῖς καὶ οἷς ἀποζέννυται ἡ τροφὴ καὶ πᾶσι περὶ στόμαχον καὶ κοιλίαν χρονίοις πάθεσι καὶ τοῖς ἐκ μακρονοσίας δυσαναλήπτοις καὶ κακοχρόοις καὶ οἷς σῶμα [illegible] ὕδερον [illegible] ἀεὶ [illegible]· νεφριτικοῖς καὶ τοῖς συνεχῶς κολικευομένοις, ῥωννύει τὴν σύμπασαν ἕξιν· καὶ τοῖς ἀτάκτως ἐν χρονίζουσι πυρετοῖς περιοδικοῖς πρὸς τὴν [illegible] σημειώσεων, θαυμαστῶς ποιεῖ καὶ ἐπὶ τῶν γυναικῶν ὑφ' ὧν αἱ καθάρσεις ἐπέχονται [illegible] καὶ ἐπὶ τῶν ὑστερικῶν πνιγμῶν· λύει καὶ κοιλίαν ἀλύπως. ἐξάγει [illegible] γίνονται· καὶ ἐπὶ τὰ χρονίζοντα ἐν ἐντέροις καὶ ἁπλῶς εἰπεῖν ὅτι θεοῦ δῶρον· ταύτῃ [illegible] τις χρώμενος, ἐν πᾶσι [illegible]· εἰ δέ τις αὐτῇ χρήσαιτο μάλιστα ἔαρι καὶ φθινοπώρῳ ἅπαξ ἢ δίς, καὶ μὴ περὶ τὴν δίαιταν μεγάλα σφαλῇ,

φυλ

φυλαχθήσεται ἄνοσος· οὐ μόνον τὰ παρόντα πάθη θεραπεύει, ἀλλὰ καὶ τὰ προσδοκώμενα κωλύει. ἔστι δ' οὕτως· Κρόκ. κασσίας φύλλ. νάρδου· μήου· ἀγαρικοῦ· ῥαπόντικ. σχοινάνθ. ἀκόρ. ἐπιθύμ. σταφίδ. φάς· πεπέρ. ἴρεως ἰλλυρικῆς· καρυοφύλλ. καρπο βαλσάμ. μυροβαλάνου εὐθέως ἀν. ... ἀνακαρδίων ... ἐν ἄλ. ... ἀλόης ... μέλιτος ἀπηφρισμένου λίτρ. γ. ἐν ἄλ. δ. Διοσπολιτικά ... καὶ μέλιτος καὶ οἴνου ἢ οἰνομέλιτος πρὸς τὸ ἑκάστῳ ἁρμόδιον· προσλαβοῦσα δὲ σκαμμωνίου ... β. καθαίρει πραέως τοὺς ξανθοχόλους· ἐπιθύμου δὲ προσλαβοῦσα ... καὶ σκαμμων. ... τὸ ... καθαίρει μελαγχολικούς· πολλῷ δὲ μᾶλλον εἰ ἀντὶ τοῦ ἐπιθύμου, ἐλλέβορον μέλανος φλοιοῦ ... α. ἐπὶ δὲ τῶν φλεγματικῶν προστίθεται, ὠφέλιμος καὶ εἰς ὑδροκολοκύνθιδος ἐντεριώνης κεράτ. ϛ. κεκομμένης καὶ σεσησμένης.

## Ἄλλως ἡ Θεοδώρητος

Ἀλόης ... ἐν ἄλ. κεράτ. ... ἀγαρικ. ... ῥαπόντικ. κρόκ. ῥαπόντικ. κινναμώμ. κασσίας μαστίχ. ἀκόρ. ἀν ... ξυλοβαλσάμ. πεπέρ. λευκοῦ χαμαίδρ. ἀν ... κόστ ... νάρδου ... μέλιτος ἀπηφρισμένου, τὸ ἀρκοῦν. Διοσπολιτικά ... πρὸς τὸ μαλάξαι κοιλίαν. εἰ δὲ καθ' ἡμέραν χρήσασθαι βούλει ὡς ἀντίδοτον ἐπὶ τινων προσφάτων παθῶν, δίδου καρύου ποντικοῦ μέγεθος· ἐπὶ τινῶν δὲ πεπέρ. λευκοῦ καὶ μέλανος, καὶ μακροῦ· ἀμώμ. σχοινάνθ. καὶ ζιγγιβέρ. ἀν ... β. καὶ γεντιανῆς ... δ. βάλσαμ.

## Ἡ διὰ ὀξυμέλιτος Θεοδώρητος. Κεφ. ριη.

Αὕτη μᾶλλον ποιεῖ τοῖς περὶ κεφαλὴν πάθεσι καὶ παρανοίαις μελαγχολικαῖς καὶ μανικαῖς· στομαχικοῖς· κωλικοῖς· ἠπατικοῖς καὶ μάλλον κωλικοῖς καὶ ὑδρωπικοῖς. ἔστι δ' οὕτως· Νάρδου· φύλλ. κρόκ. μήου· κασσίας· ἐπιθύμ. σχοινάνθ. ῥαπόντικ. μυροβάλ. καρυοφύλλ. ἀν ... δ. ἀλόης ... ιϛ. καρποβαλσάμ. ... ιε. ἐν ἄλ. ιϛ. ζιγγιβέρ. ... ἴρεως ... α. ἀνακαρδίων ... δ. πεπέρ. ... ιϛ. μαστίχ. ... α. ἐν ἄλ. δ. ἴρεως ... α. ἀναρδίων ... δ. ἀγαρικοῦ ... η. ... ῥίζης τοῦ φλοιοῦ λίτρ. α. ὄξους δριμυτάτου καὶ μέλιτος, ἀν λίτρ. α ... πεπλώσας φλοιὸν βρέχε τῷ ὄξει ἡμέρας γ. εἶτα ἕψε ἕως τὸ ἥμισυ λειφθῇ· διηθήσας ἐπίβαλε τὸ μέλι· καὶ ἕψε μέχρι μελιτώδους συστάσεως· εἶτα λεῖα τὰ ξηρὰ τὸ μέλι· καὶ ... μέχρι ... τοῖς ξηροῖς λειοτάτοις γενομένοις ἐπίβαλε μετὰ τὸ ... καὶ ἐνώσας ἱκανῶς, ἐν ἀγγείῳ ἀναλάμβανε· χρῶ καθὼς προείρηται ἐπὶ τῆς προτέρας.

## Ἡ διὰ ὀξυμέλιτος πικρά, Ὀριβασίου. Κεφάλαιον ριθ.

Αὕτη ποιεῖ στομαχικοῖς· κωλικοῖς· ὑστερικαῖς πνίξεσιν· ὑδρωπικοῖς· ἡ σκευασία οὕτως ἔχει· Μαράθρου ῥίζης φλοιοῦ λίτρ. γ. ὄξους δριμυτάτου λίτρ. ϛ. ἐν ἄλ. ζ. ἕψε ὄξει ῥίζας εἰς ἀποτρίτωσιν· καὶ διηθήσας τὸ ὄξος, ἐπίβαλε αὐτῷ μέλιτος λίτρ. δ. ἕψε μέχρι

συστά-

συνθέσεως μετὰ ζέσεως· καὶ ψύξας ἐπίβαλε κατὰ βραχὺ ἐν θυΐᾳ τοῖς ὑπογεγραμμένοις λειοτάτοις γενομένοις τοῖσδε· Ἀλόης 𐅻 η· ἴρεως 𐅻 β· μαστίχ. ζιγγιβ. κασίας· ναρδ. κελτικῆς ξένου ἀν 𐅻 α· ὀποῦ ∠ δ· ἐν ἄλ. 𐅻 δ· μήου 𐅻 α ἐπιπάσσεται· εἰ δὲ μὴ οὐκ ἐμποδίζει. Δόσις κοχλιαρίου μετὰ κρ. κυάθ. β· ἐν ἄλ. α· καὶ ἐπιρροφήσωσιν ὕδατος θερμοῦ κυάθ. β.

## Κῦφι τὸ διὰ τῶν λϛ· κεφάλ. ρκ.

Λιβάνου 𐅻 ϛ· στύρακος λιπαροῦ λίτρ. α· σμύρν. κόστου ἀν 𐅻 δ· φύλλ. 𐅻 γ· ἀμώμ. ναρδοστάχ. κασίας ἀν 𐅻 γ· βράθυος· καρδαμώμ. καρποβαλσάμ. ἀν 𐅻 β· ναρδοκελτικῆς ξένου σφαίνου ἢ ἴππου σχοινάνθ. ἀσπαλάθ. ἀν 𐅻 α· μαστίχ. λαδάνου ἀν 𐅻 γ· ἀρκευθίδων μεγάλ. ἀρκευθίδ. μικρ. βδελλίου ἀν 𐅻 β· στοιχ. κασσύτ. κυπερίου ἀσπαλάθ. μελ. ἐν ἄλ. καὶ λιβάνου ἀν 𐅻 α· κρόκ. 𐅻 δ· ἐν ἄλ. ∠ α· καλάμ. ἀρωματικ. ∠ δ· ἐν ἄλ. 𐅻 δ· ῥόδα χλωρὰ· ἐν ἄλ. ξηρὰ ἀριθμῷ φ κεκαθαρμένα τερεβινθίν. 𐅻 α 𐅵· ἰσχάδων λιπαρ. 𐅻 ϛ· φοινίκων σταφίδων σαρκὸς στροβίλων ἀν 𐅻 γ· ἀσφοδέλ. χυλοῦ 𐅻 α· μέλιτ. λίτρ. α 𐅵· οἴνου ὀδώδους τὸ ἱκανόν· κόψας, σήσας τὰ ξηρὰ, ἀναλάμβανε τοῖς ὑγροῖς· ὅλμῳ κόπτε πρότερον φοίνικας ἰσχάδας σταφίδας· εἶτα ἐπίβαλλων αὖθις μαστίχην λειωθεῖσαν· βδέλλιον· στροβίλ. ῥόδα· λίβανον· ἕκαστον ἰδίᾳ λειώσας, εἶτα ἐπίβαλε καὶ στύρακα· λάδανον προκοπτεῖσα καὶ ἐκ διαν· εἶτα τερεβινθίν. μέλι· καὶ ἐπίπασσε τὰ ξηρά· ἐγὼ δὲ λειῶ βδέλλιον· λίβανον· σμύρν. λάδανον ἐκ μετ' οἴνου· καὶ οὕτω ἐπιβαλὼν ἐν τῷ ὅλμῳ τοῖς κοπτομένοις χρῶμαι ἀναπλάσσων τροχίσκους. Ποιεῖ πρὸς κεφαλαλγίαν μετ' ὄξους ἐπιχριόμενον τῷ μετώπῳ· ὁμοίως καὶ πρὸς ὀφθαλμίας μετ' οἴνου. Πρὸς τὰς ἐν ἥπατι ἐμφράξεις ἥκοντας μετὰ γλυκέος· πρὸς ἐμφάξεις αὐτοῦ μετ' οἰνομέλιτος. βηχικοῖς φθισικοῖς ὀρθοπνοϊκοῖς μετ' μελικράτ. σπληνικοῖς· κωλικοῖς ἰσχιαδικοῖς μετ' ὀξυμέλιτος· στομαχικοῖς σπασμένοις ἐπιληπτικοῖς μεθ' ὕδατος θερμοῦ· Δόσις ∠ α.

## Κῦφι τὸ διὰ τῶν κη· κεφάλ. ρκα.

Ἀσπαλάθ. βδελλίου ξένου· λαδάν. στύραχ. σμύρν ἀν 𐅻 ζ· ἀρκευθίδ. μεγάλ. μικρῶν ἀν ν· ἐν ἄλ. μεγάλ. ἢ μικρῶν ν· ἀσφοδέλ. χυλοῦ· βράθυος ἀν 𐅻 δ· κρόκ. κόστου ἀν 𐅻 β· καρδαμώμ. κυπερ. ἀν 𐅻 ε· κυπερίου· ἀσπαλ. ναρδ. κελτικῆς ἀν 𐅻 γ· ἐν ἄλ. καὶ σφαίνου ἢ τοι ἴππου 𐅻 ε· ἀμώμ. ναρδοστάχ. ἀν 𐅻 β· κασίας 𐅻 β· ῥόδ. ξηρῶν· στροβίλ. φύλλ. ἀν 𐅻 γ· σχοινάνθ. 𐅻 β· ἰσχάδων λιτρ. β· σταφίδ. λιπαρῶν λίτρ. β· ἐν ἄλ. 𐅻 β· τερεβινθίν. χ ας φοινίκων λιπαρῶν σαρκὸς ἀν λίτρ. α· μέλιτος λίτρ. ε· οἴνου ξε. β· σκευάζεται καθὰ προείρηται· ποιεῖ τὰ αὐτὰ τῷ σκευαζομένῳ πρὸς τὰ προειρημένα κεφάλαια.

Μαλουαφίου

## Μασοναφίον σκευασία. Κεφάλ. ρκβ.

Κρόκ. ἐν ἄλλ. στύρακος δρ. λ. χαλβάν. ἀσάρου. κυπερίας σφαιρίων. δάφνης φύλλ. ἀν. δρ. γ. λαδάν. καρποβάλσ. ἀν. δρ. κδ. καρυοφύλλ. μαλαβάθρ. κόστου. ὄνυχ. ἀρωματικ. κασσίας, ζαχαρ. νάρδου στάχ. κόμμεως ἀν. δρ. ϛ. ἴρεως δρ. λϛ. φύλλ. δρ. ιβ. ζαρναβῶ δρ. ϛ. ἐν ἄλλ. ιβ. ἀμώμ. δρ. ιβ. ῥόδ. μηλολόγων ἵππου ἀν. δρ. π. ἐν ἄλλ. ἵππου ὃ λέγει σαλιουάριον μικρόν. τὸ ἐρχόμενον εἰς τε δαμασκηνέας καὶ ῥοδακηνέας ζαχαρ. λα ὃ λέγει καρ. χρυσον δρ. α. ἐν ἄλλ. γ. οἴνου λίτ. ϛ. μέλ. ἀνάπλασσε ὡς βούλει.

## Θυμίαμα Βερονίκης Κεφάλ. ρκγ.

Αἰγύου ὀποβαλσ. μηκων. κεδρ. ῥοδοσταφ. σαμψύχου. δαφνίδων ἀμφινῶ. θείου ἀπύρου. ἀσφάλτ. ἰουδαϊκῆς ἐλελισφάκου κυκλάμινου ῥίζης. ὀριγάν. πηγάν. ἀγρί. κυμίν. καστορ. λίθου γαγάτ. ἀντικονίζης. λιβανωτοῦ δ. κηρίων κεκαυμένων. ῥητίνης ἀν. δρ. α. κεδρίας δρ. β. πίσσης ζακυνθίας λιτρ. λίτρ. α. λινοῦ καὶ παιονίας ῥίζης δρ. α. ἡμεῖς δ᾽ οὐκ ἐβαλομεν. κόψας σήσας πάντα, ἀναλάμβανε τῇ κεδρίᾳ, ῥητίνῃ καὶ πίσσῃ. ἀνάπλασσε τροχίσκους χρῶ. Ποιεῖ καὶ πρὸς συνάγχην πινόμενον καὶ ὑποθυμιώμενον χαίνοντος τοῦ πάσχοντος καὶ ὑποδεχομένου τὴν ἀτμίδα. Πρὸς δὲ πᾶσαν ἀγρυπνίαν οἴνῳ ἀνεὶς χρίε τὸ μέτωπον καὶ τὴν ῥῖνα· ὑπόχριε καὶ ἔνδοθεν τοὺς μυκτῆρας· καὶ ὑποθυμία ἐπὶ ἀνθράκων καὶ ὑπνώσει. Ποιεῖ καὶ πρὸς ὀδύνας ἐν ῥισὶ διαχεομένων αὐτῷ μυκτήρων. Διώκει καὶ τὰ ἰοβόλα θηρία, μυίας καὶ κώνωπας θυμιώμενον, ὡς φασὶ δὲ καὶ ἀκάθαρτα.

## Ἀντίδοτος καλουμένη Ἀνάπαυσις. Κεφάλ. ρκδ.

Αὕτη ποιεῖ ἀμφημερινοῖς τριταίοις τεταρταίοις, εἰς κατάρρουν, βῆχα, κόρυζαν καὶ εἰς πάντα πόνον τὸν ἐντός. ἔχει σκευασ. κινναμώμ. ὑοσκυάμ. ὀποβαλσ. σχίν. ὀποβαλσ. λιβάν. ἀνίσ. ὀπίου. σμύρν. δαυκ. κρητικ. ἀν. δρ. δ. γομφίτ. ∠ε. κροκ. ∠ϛ. εὐφορβ. ∠γ. μέλιτος ἀπηφρισμένου. ἡ δόσις ∠α. μετὰ εὐκράτ. Περὶ ἀνωδύνων φαρμάκων ἐγράφη ὄπισθεν.

## Περὶ ἐλεφαντιάσεως ἐκ τῶν Ἀετίου Κεφάλαιον ρκε.

Ἡ ἐλεφαντίασις καλεῖται μὲν παρά τισι λεοντίασις παρ᾽ ἑτέροις σατυρίασις. ἐλεφαντίασις διὰ μέγεθος καὶ τὸ πολυχρόνιον τοῦ πάθους· οὐ μὴν ἀλλὰ καὶ διὰ τὴν ἐπιγινομένην τοῖς αὐτοῖς τραχύτητα δέρματος. λεοντίασις κέκληται, ἐπειδὴ μέτωπον τῶν πασχόντων μετ᾽ οἰδήματός τινος συστέλλεται ὁμοίως τῷ ἐπισκυνίῳ τοῦ λέοντος. Σατυρίασις δέ, διότι τὰ μῆλα προσώπου

ἐπ-

Τῶν σκευαζομένων ἐμπλαστρῶν φαρμάκων, πολλαὶ καὶ ποικίλαι κατὰ μέρος διαφοραί· αἱ μὲν γὰρ αὐτῶν εἰσὶν ἐναίμων· αἱ δὲ κατὰ τραυματικὰς· τινὲς παρακολλητικὰς καὶ καταγματικὰς καὶ τραυματικάς τινες καὶ παρακολλητικάς· αἱ δὲ διαφορητικαί· αἱ δὲ ἐπουλωτικαί· αἱ δὲ συμπεπτικαί· αἱ δὲ ἀναξηραντικαί· αἱ δὲ κόλλησιν, κολλητικαί· αἱ δὲ … αἱ δὲ λυτικαί· αἱ δὲ ἐπισπαστικαί· αἱ δὲ … τικαί. τὰς δὲ τούτων διαφορὰς, ἡ τῶν ἐν αὐταῖς ἐμβαλλομένων ἁπλῶν φαρμάκων φύσις ἐργάζεται. διὸ δέον … περὶ τῆς ἁπλῶν … ἐστὶ πρότερον ὡς οἷόν τε διὰ βραχέων περὶ τῆς ἁπλῶν φαρμάκων δυνάμεως εἰπεῖν, … γνωσόμεθα αὐτῶν τὰς … ἁπλῶν φαρμάκων τὰς ἐνεργείας καὶ … ἄλλων ἁπλῶν φαρμάκων … διαφέρουσιν αἱ ἔμπλαστροι· … καὶ διαφέρουσιν … τῆς ἐμπλάστρους δυνάμεις γενησόμεθα … ὡς ἐὰν ἀπολέσωμεν τὸ βιβλίον, ἐν ᾧ τῶν φαρμάκων … γεγραμμένων εἴχομεν, αὐτοὶ … χρώμεθα γεγραμμένων εἴχομεν … παραπλήσια τῆς ἀπολλυμένης δυνάμεως … συμβὰν ἤδη … δυσὶν ἰατροῖς ὧν ἐγὼ γινώσκω· ὁ μὲν γὰρ ὑπὸ λύπης ἐπὶ τῇ τῶν βιβλίων φαρμάκων ἀπωλείᾳ ταχεὶς, ἀπέθανεν· ὁ δὲ ἀπορίᾳ τῶν

ἰατρικῶν

Γρ. δυοῖν.
Γρ. ὧν.

ἰατρικῶν ἔργων. ὑπάρχει δὲ τοῖς γεγυμνασμένοις ὡς ἐγὼ λέγω περὶ τὰς δυνάμεις τῶν ἁπλῶν φαρμάκων χρῆσθαι καὶ τὸ κριτικοὺς εἶναι τῶν γεγραμμένων τοῖς πρὸ ἡμῶν ἰατροῖς. ὥστε δεόντως χρῆσθαι ἅπασι τοῖς ὑπ' ἐκείνων γεγραμμένοις, καὶ οἷς ἂν αὐτὸς εὑρίσκῃ κατὰ τὴν διδαχθησομένην μέθοδον. βέλτιον μὲν οὖν ἐστι τοῖς διὰ πείρας βεβασανισμένοις μαθοῦσι παρὰ τῶν λεγομένων ἐπιχειρῆσαι αὐτῶν τὴν μέθοδον. ἀλλ' ὅπερ ἔφην, ἀνάγκη καταλαμβάνει ἡμᾶς ἐν ταῖς ὁδοιπορίαις ἐνίοτε καὶ ταῖς ἀπορίαις αὐτοσχεδιάζοντας χρῆσθαι. εἰ γὰρ διὰ τῶν ἁπλῶν φαρμάκων τὴν δύναμιν ἅπαντες ἰᾶσθαι τὰς παρὰ φύσιν διαθέσεις, οὐκ ἂν ἐδεήθημεν οὐδέποτε συνθέτου φαρμάκου· πολλάκις γὰρ χρείαν τινὸς μέτρου [illegible] βουλόμενοι, οὐδὲν ἔχομεν τῶν ἁπλῶν τοιοῦτον δυνάμενον. ἀνάλογον γὰρ εἶναι χρὴ τῇ θεραπευομένῃ διαθέσει τὸ θεραπεῦον φάρμακον. τινὰ δὲ τῶν ἁπλῶν οὐδ' εἰς χρῆσιν ἀχθῆναι δύναται χωρὶς ἑτέρου μίξεως· οἷον ὅταν ἔμπλαστον φάρμακον συνθεῖναι τινὶ βουλόμεθα, τῶν ἁπλῶν οὐδὲν ἐπιτήδειον εὑρίσκομεν εἰς τὴν τοιαύτην χρείαν· οὐ γὰρ ἄσφαλτος τοιαύτη ἐστίν· οὐ κηρὸς οὐ ῥητίνη· οὐ [illegible] πρόπολις ἢ λάδανον. ἰὸς ἢ ψιμμύθιον ἢ λιθάργυρος ἢ τῶν ἄλλων τι μεταλλικῶν φαρμάκων. ὡσαύτως δὲ οὐ βοτάναι μόναι φάρμακον ἔμπλαστον δύνανται ποιεῖν. εἰκότως οὖν ἐπενόησαν οἱ πρῶτοι συνθεῖναι ἔμπλαστα φάρμακα διὰ τῆς μίξεως· ὧν τὰ μὲν μεταλλικὰ τήκειν δεῖ, τὰ τηκτά· προσεμβάλλειν δὲ αὐτοῖς καὶ βοτάνας ξηρὰς κεκομμένας καὶ σεσησμένας. ἐφ' ἑτέρων δὲ πάλιν διαθέσεων ἡ χρεία μὲν ἑνὸς φαρμάκου τοῦ σφοδροῦ ἐστι· μίγνυμεν δ' αὐτῷ τινα, ποτὲ μὲν ἀμβλῦναι τὸ σφοδρὸν δυνάμενα αὐτοῦ βουλόμενοι· ποτὲ δὲ τὴν ἀηδίαν παραμυθήσασθαι· καὶ ὥσπερ ἡδύσματα [illegible], καὶ [illegible] μίγνυμεν τινὰ διὰ στόματος κακώδεσι, τινὰ πραϋντικά· οἷον ὄπιον, μανδραγόρα, καστόριον καὶ παραπλήσια φαρμάκων. ὥσπερ ἐστὶ μεγίστη χρεία τῶν ἐναντίαις δυνάμεσι [illegible], ῥοῦς [illegible] οἷον ἀποκρουστικῶν σῶμα ῥιπτέον. [illegible] τῶν χυμῶν. οἷον τὸ διὰ κωδιῶν ἐστι, καὶ μάλιστα συντεθέμενον φάρμακον. κωλῦσαι [illegible] τὰ ῥεύματα ἐπὶ τῶν ἀπὸ κεφαλῆς καταρροϊζομένων· τὸ δὲ μετὰ ἀναγωγῆς ποιεῖ τὰ ἤδη εἰς θώρακα κατερρυηκότα τῶν ὑγρῶν. ἀναγκαία γίνεται ἡ χρεία τῆς συνθέσεώς ἐστι. τὰ μὲν θερμαντικὰ τὰ δὲ στυπτικὰ ποιοῦντα. καὶ ὅταν ἐν τῷ φάρμακον αὐτίκα [illegible] πρὸς πολλὰ τῶν παθῶν ἁρμόζειν καὶ τὰς τῶν ἰοβόλων θηρίων πληγὰς καὶ τοὺς δηλητήριον εἰληφότας. περὶ μὲν οὖν αὐτῶν ἐν [illegible]. τῶν δ' εἰς τὰς ἐμπλάστρους ἐμβαλλομένων καὶ ἐπιθεμάτων ἤδη προείρηται. τῶν δ' ἐν τοῖς παραπλησίοις [illegible] μένων, τὰ μὲν μεταλλικά ἐστι καὶ τὰ τούτοις παραπλήσια· τὰ δὲ καύσιμα· τὰ δὲ δάκρυα λίθων καὶ τὰ τῆς γῆς εἴδη· τρυγία καὶ ὄστρεα· τὰ δὲ ἀρώματα· βοτάναι· ῥίζαι· καὶ τὰ μὲν ἀπόσταγμα· τὰ δὲ ὀποί· τὰ δὲ χυλοί· τὰ δὲ θερμαντικά· τὰ μὲν στυπτικά· τὰ δὲ δηκτικά· καὶ τὰ μὲν ψυκτικά· τὰ δὲ [illegible] διαχυτικά· μαλακτικά καὶ διαφορητικά· καὶ συνακτικά· τὰ δὲ [illegible] διαχυτικά· καὶ μυρίαι εἰσὶν ἐν τούτοις διαφοραί.

ΠΕΡΙ λιθαργύρου καὶ περὶ ὅσα ἐμβάλλομεν ἐν ταῖς ἐμπλάστροις

Ἡ λιθάργυρος ξηραίνει καὶ θερμαίνει· ῥύπτει· ψύχει μετρίως, καὶ πάνυ ἐκτρίβουσα· ἐψεῖται μὲν ποτὲ ἐλαίῳ μόνῳ· ποτὲ δὲ ὑδρελαίῳ ἢ οἰνελαίῳ ἢ ὀξ-

ἢ ὄξει καὶ ... ἐὰν δὲ λιθάργυρον ... ὕδατι ... ἐνθάδε ... γενέσθαι ... ὅλως ... μαλακοῦ πυρὸς, ἀδιαλείπτως κινοῦντι ... μύστρῳ ... συγκαίεσθαι πλησίον ... αὐτάρκους ἐψήσεως γινομένης, τὸ χρῶμα ... γίνεται τὸ ... ὅταν ἕψημα ... ὅλον ... ἀπόλυτον ... γένηται. ΠΑΡΑΠΛΗΣΙΟΝ δύναμιν ἔχει τῇ λιθαργύρῳ ἡ μολύβδαινα ... ῥόδινον. ἀλλ' οὐδὲ ... μικτῆς δυνάμεως. ἕψεται ὁμοίως. μέτρον δ' ἑψήσεως ... τὸ ... ῥυπώδους χρώματος ... τὸ κιρρὸν καὶ σφόδρα ...

γ. κρεῖσσον

ΧΑΛΚὸς κεκαυμένος ἔχει δριμύ ... συγκραθεὶς μετ' ἐλαίου ... ἐμβαλλόμενος, ἀλλ' ἡμιέφθου τῆς ἐμπλάστρου γινομένης. μέτρον τῆς αὐτάρκους ἑψήσεως ... μὴ πάνυ ὀλίγος ἐμβάλλοιτο, τὸ κρατῆσαι τοῦ χρώματος, καὶ κιρρὰν ποιῆσαι τὴν ἔμπλαστρον. τοῦτο δὲ γίνεται σφοδροτέρας ἑψήσεως γινομένης. ΛΕΠΙΣ χαλκοῦ ... ἕψεται δ' ὡσαύτως ... ἐὰν ... τὸ αὐτὸ μέτρον ἔχουσα τῆς ἑψήσεως. ἐὰν ... μὴ πάνυ ... κρατήσῃ τοῦ χρώματος, καὶ κιρρὰν ποιήσῃ τὴν ἔμπλαστρον ... αὐτάρκως ἡψῆσθαι. ἡ ... λεπὶς σύμφυσιν πλέονος μετέχει καὶ μᾶλλον ... τοῦ στομώματος. διὸ καὶ πρὸς τὰ κακοήθη ... ἐμβάλλεται ... καιρὸν ῥυπώδους χρόας ... ΔΙΦΡΥΓΕΣ ἔστι μικτῆς δυνάμεως ... συμφύσεως ... δριμύτητος. διὸ τῶν κακοήθων καὶ ... φαρμάκων ἐμβάλλεται καὶ ... ἑψήσεως. μέτρον αὐτάρκους ἑψήσεως, ὅσον κρατῆσαι τοῦ χρώματος καὶ ἀπόλυτον γενέσθαι. ΧΑΛΚΙΤΙΣ καὶ μικτῆς ἐστι δυνάμεως συμφύσεως καὶ πλέονος δριμύτητος ... ἀναστομωτικόν ... μαλακτικόν ... καιομένη ... συμφ... ἀπόλλυσι. ἕψεται μὲν ... ὁμοίως ... πυρρότερον ... μέτρον δὲ τῆς ἑψήσεως, τὸ ποιῆσαι πυρρὰν ... τὴν ἔμπλαστρον. ΜΙΣΥ παραπλήσιον ἔχει δύναμιν τῇ χαλκίτιδι ... διαφορᾷ ἀνα... μαλακτικόν ... ἐμβάλλεται ... ἔτι ὀλίγης ἑψήσεως τῆς ἐμπλάστρου δεομένης. ΣΩΡΥ ἴδιον δὲ μέτρον οὐδὲν ... ἕψησιν. ... παραπλήσιον ... τῇ χαλκίτιδι ἔχει δύναμιν ... διὸ καὶ ... ἐμβάλλεται καὶ ... ἑψήσεως. λήγεται βραδύτερον. μελαίνει χρῶμα, εἰ μὴ ... αὐτὴ κρατεῖ. ΧΑΛΚΑΝΘΟΣ μικτῆς ἐστι δυνάμεως. ΧΑΛΚΟΥ ἄνθος δυνάμεώς ἐστι ... χαλκοῦ καὶ λεπίδος. μετέχει ῥυπτικῆς δυνάμεως. διὸ καὶ ... καὶ ... ἕψεται δ' ὁμοίως τῷ χαλκῷ. ... ΚΑΛΑΚΑΝΘΟΝ μικτῆς ἐστι δυνάμεως. ἰσχυρότατον ... μέμικται ... πλάτει. δῆλον οὖν ὅτι πάντων μᾶλλον ... δύναται τὰς ὕλας ... καὶ δαπανῆσαι τὴν ὑγρότητα καὶ ... ἐμβάλλεται καὶ ... ἑψήσεως, καὶ ... ποιεῖ τὴν χρόαν τῆς ἐμπλάστρου ... εἰ δὲ ... ἄλλα μὴ αὐτὴ κρατεῖ ... ἔχει, μελαίνειν ποιεῖ ταύτην.

ἀρσενικὸν καὶ σανδαράχη, καυστικῆς ἐστιν ἀμφότερα
δυνάμεως· μᾶλλον δ' ὁ τῶν προειρημένων διαφορούντων … ἀμφότερα
τὰ δὲ γίνονται καυστικὰ ἐμβαλλόμενα εἰς τὰ ἔλη ὅλης ἐστὶ
ἑψήσεως δεομένης τῆς ἐμπλάστρου. Μόλυβδος κεκαυ-
μένος, τῶν ἀδήκτως ξηραινόντων ἐστὶν ἄριστον φάρμακον πρὸς
κακοήθη τῶν ἑλκῶν καὶ ἀλφώδη καὶ καρκινώδη· ἐπουλωτικὸν
τοιγαροῦν ἐστὶ καὶ ὀξέοις μεμιγμένον· μεσαζούσης τῆς
ἑψήσεως ἐμβάλλεται. Ψιμμύθιον ἐμπλάσσει
καὶ μετρίως ψυκτικόν ἐστιν· ἑψόμενον δὲ ξηραν-
τικώτερον γίνεται· ἐμβάλλεται μὲν οὖν εἰς τὰς λευκὰς ἐμ-
πλάστρους περὶ τέλει· τηρεῖ γὰρ ὅλως τὸ χρῶμα καὶ μᾶλλον
λευκαίνει· εἰς δὲ τὰς μελαίνας ἢ πυρρὰς κατ' ἀρχὰς ἐμβάλλεται.
Ἰὸς … δριμεῖαν ἔχει ποιότητα διαφορητικὴν κα-
θαρτικήν· τμητικὸς ὑπάρχει πάσης σαρκός, μιγνύμε-
νος κηρωτῇ πολλῇ, ἐπουλωτικὸς γίνεται· ἐμβάλλεται
δὲ εἰς χλωρὰς ἐμπλάστρους μετὰ τὴν ἕψησιν· περὶ τέλει
δ' οὐδ' ἐμβάλλεται τῷ λεβητίῳ· ἀλλ' ὄξει λειωθεὶς ἐν
θυΐᾳ, περιχεῖται αὐτοῖς τακεῖσι· ἐν δὲ ταῖς μηλίναις
ἡμισέος … ἑψήσεως οὔσης ἐμβάλλεται· περὶ δὲ τῶν
διαπηγάνων? καὶ διαχρίσμων καλουμένων, κατὰ τὰς ἀρχὰς
ὅλης ἐμβάλλεται· ἑψόμενος δὲ ὁ ἰὸς πρῶτον μὲν
μήλινον· εἶτα … εἶτα κιρρὸν ἀπεργάζεται τὸ
χρῶμα. Στυπτηρία πᾶσα, σφοδρότατα … στύφει
ξηραντική τε καὶ παρακολλητική· λεπτομερεστέρα δὲ πασῶν
ἐστὶν ἡ σχιστή· ἐμβάλλεται τὰ πολλὰ μετὰ τὴν ἕψησιν· ἴδιον
δὲ τῆς ἑψήσεως οὐδὲν ἔχει· τρέπει δὲ πολλάκις τὸ χρῶμα
ἐπὶ τὸ χλωρότερον. Μίλτος στύφει ξηραίνει παρακολ-
λᾷ· ἐμβάλλεται δ' ἐπὶ τέλει. Καδμεία ῥυπτικῆς ἐστι δυ-
νάμεως· σύμμετρος δὲ κατὰ θερμότητα καὶ στύψιν, καυθεῖ-
σα μὲν οὖν καὶ πλυθεῖσα, ξηραίνουσα καὶ ῥύπτει ἄνευ δήξ-
εως γίνεται φάρμακον. Πομφόλυξ καὶ αὐτὴ πλυθεῖ-
σα, ἀδηκτότατον γίνεται φάρμακον· ἁρμόδιος οὖν ἐστιν
περὶ κακοηθῶν καὶ καρκινωδῶν ἑλκῶν· ἐμβάλλεται ἐμπλάστρ-
οις κατ' ἀρχὰς ἑψήσεως, καὶ ἐν τοῖς ἄλλοις περὶ μιγνὺς
ἐστὶν ἡ δύναμις ῥυπτική τε καὶ στυπτική· ἐπικρατέστερα
δ' ἔχουσι τὴν στυπτικήν· ξηραίνουσι ἱκανῶς. Νίτρον
ῥυπτικῆς ἐστι δυνάμεως καὶ τμητικῆς καὶ ξηραντικῆς·
μίγνυται αὐταῖς … ἐν ταῖς ἐπιπλαστικαῖς ἐμπλάστροις
ἐμβάλλονται δὲ μεσαζούσης ἑψήσεως. Θεῖον ἄπυρον
ἑλκτικῆς ἐστι δυνάμεως θερμῆς τε καὶ λεπτομεροῦς·
ἐμβάλλεται περὶ τέλει· ἑψόμενον γὰρ περισσὸν μελαίνει
χρῶμα· τὰ μὲν συνήθως ἐμβαλλόμενα ταῖς ἐμπλάστρ-
οις μεταλλικὰ ταῦτά ἐστι· γῆ δὲ ἐμβάλλεται ταῖς
ἐμπλάστροις σαμία ἐρετριὰς κιμωλία ἀμπελῖτις λημνία·

λίθοι

πλάξ
τξ;

λίθοι δὲ μίγνυνται, φρύγιος, ἄσσιος, πυρίτης, αἱματίτης, μαγνήτης, ἀχάτης, ἴασπις, γαγάτης, ἀχάνη· τούτων ἑκάστου δύναμις καὶ ἐνέργεια ἤδη προείρηται ἐν τῷ περὶ ἁπλῶν φαρμάκων λόγῳ. Τῶν δ' ἐμβαλλομένων ὄστρεα καὶ κίσσηρις, ῥυπτικῆς, λεπτυντικῆς, διαφορητικῆς ὄντα δυνάμεως. Ὄστρεων δ' ὄστρακα κεκαυμένα καὶ ὠμὰ ὡς λεπτύνοντα καὶ ῥύπτοντα καὶ διαφοροῦντα καὶ ξηραίνοντα μίγνυνται. παραπλήσια δὲ καὶ κόχλοι. Κεραμίδων δ' ὄστρακον ῥυπτικῆς, ξηραντικῆς ὑπάρχον δυνάμεως μίγνυνται· ἡ τίτανος ἐμβάλλεται ὡς ξηραίνουσα γενναίως καὶ [illegible]. Τόφα δὲ κλιμακτίνη μάλιστα κόλπους προσκολλᾷ, ἐκλύει, ξηραίνει. ταῦτα δὲ πάντα τὰ γεώδη, λελειωμένα ἐμβάλλεται. Τῶν δὲ λιπαρῶν καὶ ἐλαιωδῶν, ἔλαιον μὲν μετασυγκριτικῶν χάριν ἐμβάλλουσιν. εἰ δὲ θερμότητος ὑγρᾶς ἢ πίσσης ὑγρᾶς ἢ ἐμπλάσεως χρείαν ἔχοιεν, μιχθὲν ἔλαιον ἐξ ἀρχῆς ἑψεῖ τὸ φάρμακον. διὸ προσέχειν μὲν τὸ σύστημα ἐν τῇ ἑψήσει τὰς ὑγρὰς ῥητίνας, μετὰ ταῦτα ἐμβάλλειν τὸ ἔλαιον. οὕτω πάλιν συνεψεῖν μέχρι κόλλης συστάσεως. τὰ δ' ἄλλα λίπη, μάλιστα στέαρ τὰ πρόσφατα καὶ ἀσύμφαντα περὶ μέσην ἕψησιν ἐμβαλλόμενα. Τὸ δ' ἴρινον μὲν [illegible] τῇ ἑψήσει· κύπρινον δ' ἧσσον· πολλῷ δ' ἧσσον τὸ ῥόδινον. τὰ δ' ἄλλα οὐδαμῶς. διὸ μετὰ τὴν ἕψησιν ἐμβάλλεται πάντα. Κηρὸς θερμαίνει καὶ μαλάττει μετρίως, ἧττον κολλᾷ τὰ ἔναιμα. ἕψεται δ' ἐν ἀρχῇ· καίεται μὲν ὅλος μετὰ ῥητίνης ἢ πίσσης ὑγρᾶς· ἀσφαλέστερον μέντοι ἄλλ' ἐμβάλλεται ἢ ἐλαίῳ καθαρῷ ἢ ἐλαίῳ τινὶ μετά τινος μεταλλικῶν ἑψηθέντι ἢ ῥητίνῃ ἢ πίσσῃ ὑγρᾷ προεψηθείσῃ.

Ῥητίνη πᾶσα θερμαίνει κηροῦ πολλῷ μᾶλλον, διαφορεῖ, μαλάττει, ἐπισπᾶται, ἀναστομοῖ. κολλᾷ δὲ μᾶλλον καὶ τὰ ἔναιμα. ἐμβάλλεται ξηρὰ ῥητίνη μετὰ κηροῦ· ἡ ὑγρὰ πρὸ τῶν ἄλλων ἁπάντων αὐτὴ καθ' ἑαυτὴν ἕψεται, εἰ μὴ φορὰ ὀλίγον προσλαμβάνοιτο. Πίσσα ἐοικυῖα ἔχει τὰς τῆς ῥητίνης δυνάμεις· ἐμβάλλεται πρὸ τῶν ἄλλων· μέτρον τῆς ὑγρᾶς πίσσης τὸ σύστημα ἑψομένης· ὑγρᾶς δὲ μάλιστα εἰ σὺν ὄξει καθεψοῖτο, τὸ μηκέτι πομφολυγίζειν μηδὲ ἀναδιδόναι ἐν τῇ ἑψήσει. Ἄσφαλτος κολλᾷ τὰ ἔναιμα γενναίως, θερμαίνει, ξηραίνει, κόλπους προσκολλᾷ. ἕψεται ἐμβαλλομένη κηρῷ· ὁ προσέχει λειοτάτην αὐτὴν ἐμβάλλειν. εἰ δὲ μή, οὐ κεῖται δυσλύτως καὶ [illegible] ἢ ἔμπλαστρος ὄξει κεχρημένοις δηγμοὺς ἀποφέρει· μάλιστα εἰ σὺν ὄξει ἕψοιτο ἀσφαλῶς γίνεται· χρὴ ἑψεῖν ἐν ὄξει μηδ' ὅλως κινοῦντα ἕως μηκέτι πομφολυγίζοι. κινουμένη γὰρ θερμαίνεται. εἰ δὲ χωρὶς ὄξους ἕψοιτο, μᾶλλον τήκεται συνεμβαλλομένου αὐτῇ κηροῦ ἐξ ἀρχῆς καὶ χωρὶς πάσης κινήσεως τηκομένων.

Πρόπολις θερμαίνει μὲν ἰσχυρῶς, διαφορεῖ πάντων μᾶλλον, ἱκανῶς συσπᾷ, ἀναστομοῖ, ἐπισπᾶται. διὸ δὲ προσήκει μαλαχθεῖσαν ἱκανῶς, ἀρθέντων ἀπὸ πυρὸς τῶν ἑψομένων, ἐμβάλλειν· τὰς γὰρ ἑψήσεις οὐδόλως ἀνέχεται. Τῶν δακρύων ἀμμωνιακὸν μαλάττει, διαφορεῖ, θερμαίνει, ὑποστύφει, ἐπισπᾶται. ἐμβάλλεται τῇ μέσῃ ἑψήσει· διὸ εἰ δύναται, λειοῦσθαι ξηρόν, λεῖον ἐμπάσσειν αὐτό· εἰ δὲ μὴ σὺν ὑγρῷ τινι λειοτριβεῖν· ὅλως ἐμβάλλειν τὸ λειανθέν· εἰ μὲν ἔναιμος ἡ ἔμπλαστρος εἴη, σὺν ὄξει ἢ οἴνῳ· εἰ δὲ συριγγιακὴ ἢ χοιραδική, πάντως σὺν ὄξει· εἰ δὲ μαλακτικὴ

ἐλαιώδει

λακτικὴ

λακκὴ οἷαι εἰσὶν αἱ ἔξωθεν καὶ ὑπὸ ὕδατος λεάναντες ὅλως ἐπιχέειν καὶ ἐνστάζειν πάλιν ἐπ' αὐτήν, διεψυγμένων πρότερον τῶν βραχέων τῶν ἐπιφερομένων, ἵνα μὴ ἀναβάλλῃ. Ὀποπάναξ μᾶλλον ἀμμωνιακοῦ θερμαίνει διαφορεῖ ξηραίνει. ἐμβάλλεται λελειωμένης ἐψήσεως. παντάπασι τοῦ χρόνου ἐψήσεως. δεῖ δὲ προλεαίνειν αὐτὸν σὺν ὄξει ἢ οἴνῳ. Χαλβάνη ἰσχυρῶς θερμαίνει συμπέττει διαφορεῖ. ἑψηθὲν οὐδόλως φθίζει. προμεμαλαγμένον μάλιστα αὐτὴν ἀκριβῶς ἐμβάλλειν χρὴ ἀφθόνων τῶν ἐπιφερομένων ἐκ τοῦ πυρὸς κάλλιον· ἢ μᾶλλον λεαίνεται σὺν ὄξει ἢ οἴνῳ ὡς γλοιῶδες πάχος ἔχειν, οὕτως ἐμβάλλεται τοῖς λοιποῖς. Σαγάπηνον δύναμιν ἔχει παραπλησίαν χαλβάνῃ· μᾶλλον δὲ θερμαίνει διαφορεῖ. ἐμβάλλεται προλεανθὲν ἐν οἴνῳ ἐπὶ τέλει ἢ σὺν ὄξει τελευταῖον. Βδέλλιον θερμαίνει διαφορεῖ ἐπὶ τοσαύτας μαλάττει. ἀποτριβηθὲν δὲ ἐπιπάσσεται λελειωμένης ἐψήσεως. εἰ δὲ λιπαρὸν εἴη ὅλμῳ κοπτηθὲν ἐμβάλλεται ἢ σὺν ὑγρῷ τινι λεανθέν. Λίβανος θερμαίνει οὐκ ἐπιτεταμένως. συμπέττει δὲ γενναίως· ἐπὶ τοσαύτας μετρίως, κόλπους προσκολλᾷ. Ἡ μάννα παραπλησίου ἐστὶ δυνάμεως· συντρίμματα δὲ τοῦ λιβάνου καὶ διὰ τοῦτο, οἱ ἐναίμοις φαρμάκοις ἐπιπολαιοτέρως μίγνυται αὐτὴ ἤπερ ὁ λίβανος· ἐπὶ τέλει ἐμβάλλεται. Σμύρνα θερμαίνει συμπέττει λεπτύνει διαφορεῖ ξηραίνει. ἐναιμός ἐστι προλεανθεῖσα σὺν ὑγρῷ τινι τῶν ἐμβαλλομένων ἐν τῇ ἐμπλάστρῳ. ἐμβάλλεται δὲ ἐπὶ τέλει. Ἀλόη ἐκ διαφόρων σύγκειται δυνάμεων· στύφει γάρ. θερμαίνει ῥύπτει λεπτύνει διαφορεῖ. προσκολλᾷ κόλπους. ξηραίνει. ἐμπάσσεται δὲ μετὰ τὴν ἔψησιν. Ὄπος μήκωνος ψύχει γενναίως. ἀναίσθητός ἐστιν· ἀφλέγμαντος· παρηγορητικός· ἐναίμων τραυμάτων κολλητικός. προβραχεὶς ὕδατι ἢ ἑτέρῳ ὑγρῷ τινι προσμιγνύς, οὕτω λεανθεὶς ἐν θυίᾳ ἐπὶ τέλει αὐτῆς ἢ ἐμπλάσεως. Θαψία θερμαίνει φοινίσσει τὸ χρῶμα· ἐμπάσσεται τελευταία ἢ λειοῦται ὑγρῷ τινι. Σπέρματα· ῥίζαι· βοτάναι οὐδὲν ἕψησιν ὑπομένει· φυλάσσεται γὰρ ἡ χάρις αὐτῶν· κοπέντα δὲ καὶ σηθέντα λεπτοτάτως, ἐμπάσσεται μετὰ τὴν ἔψησιν, ἀρθείσης τῆς λοπάδος ἀπὸ πυρός. ἐνίοτε δὲ βρέχονται βοτάναι ἢ ῥίζαι ἑψομένων σὺν ἐλαίῳ· καὶ ταῦτα μὲν ἐκθλιβόμενα ῥίπτονται· ἐλαίῳ δὲ χρώμεθα εἰς τὴν φαρμάκου σκευασίαν.

## Περὶ σκευασίας τῶν ἐναίμων τραυμάτων· Γαληνοῦ. κεφάλαιον κγ.

θεραπείας

Τὰ ἐπιπόλαια τῶν τραυμάτων καὶ μικρά, ἡ φύσις ὑγιάζειν εἴωθεν ἀφ' ἑαυτῆς μὴ δεομένη τῆς ἐκ φαρμάκων βοηθείας.

Δεῖ

Δεῖ οὖν ἡμᾶς συνάγειν τῇ φύσει· καὶ συναγαγόντας τὰ ἀπ' ἀλλήλων διαιρεθέντα δεσμοῖς ἐν κύκλῳ περιθεῖναι· μηδενὸς δὲ τῶν ἐμποδιζόντων μεταξὺ τῶν χειλῶν, οἷον τριχὸς ἢ ψάμμου ἢ ἐλαίου τινὸς ἢ ἄλλου, πάντως συμφύσεται τὸ ἕλκος· μὴ ἄλλου δ' ὅλως ἕλκους εἰ μὴ συναχθῇ τὰ κεχωρισμένα συμφυῆναι, ἢ ἰχώρων τινῶν ἀθροισθέντων ἢ ὀδύνης παρούσης κωλυθῇ τι, εἰς τὸ ἕλκος [illegible] εὐθὺς διὰ μόνης συναγωγῆς· καὶ χρεία ἐστὶ ξηραινόντων φαρμάκων, τοὺς ἀθροιζομένους ἐκδαπανώντων ἰχῶρας καὶ κωλυόντων ἐπιρρεῖν ἕτερόν τι· τὰ αὐτὰ δ' ἐστὶ κολλητικὰ φάρμακα ἀφλεγμάντου δυνάμεως ὑπάρχοντα· ἐὰν δὲ βαθύτερον ᾖ τὸ τραῦμα ἐξεταζόμενον δὲ κατὰ τὴν ἐπιφάνειαν, ἐπιδιαιρεῖσθαι τῇ σμίλῃ· ἵνα γένηται ἰσόπλατον καὶ μὴ κολπούμενα τὰ ὑγρὰ σῆψιν ὑπομένῃ καὶ διαφθείρῃ τὰ πέριξ σώματα. ἃ οὖν βούλοιτό τις ἔναιμα κολλᾶν τραύματα, προφυλάξαι ὀφείλει τὰ λεχθησόμενα· καὶ πρὸ πάντων ἐκθρομβοῦσθαι ἀκριβῶς τὸ τραῦμα· ὅπως μὴ κἂν βραχύ τι θρόμβου τῇ διαιρέσει ἐγχρονίσαν καὶ τραπὲν εἰς πῦον, διαφθείρῃ τὴν σάρκα· ἐκθρομβοῦσθαι δὲ μᾶλλον χρωμένους ταῖς ἐπαφαῖς διὰ σπόγγων μαλακῶν· καὶ μὴ ἐπὶ πάντων ὄξει προσφέρειν· ἀλλ' ὅσα μὲν ἐστὶ φαρμ. τραύματα ἀναιμόρραγα, αὐτάρκες εἰς τὸ ἀπονίψαι ὕδωρ, δίχα παντοίας ἀλλοιώσεως σαρκῶν· ὄξος δὲ ἐπὶ στῦφον καὶ πυκνοῦν τὰς σάρκας, ἐμποδὼν γίνεται τῇ ταχείᾳ συμφύσει· ὅσα δὲ βαθέα γενόμενα τραύματα θρόμβους ἐναπειλημμένους καὶ τούτους δυσδιαιρέτους ἔχει, ὄξει ἐκθρομβοῦσθαι προσήκει λύοντας τὰ σπόγγοις· διαλυτικὸν δὲ καὶ ἀποπλυντικόν ἐστιν ὄξος θρόμβων δυνάμενον καὶ τῇ στύψει εἰς μῦσιν ἀγαγεῖν τὰ ἀνεστομωμένα ἀγγεῖα καὶ ἐπισχεῖν τὴν τῶν αἱμάτων φοράν· ὧν ἀφαιρεθέντων τὴν κατ' ἀρχὰς προφυλάξαι δεῖ· κἂν εἰ βραδύτερον μὲν γίνεται ἡ τῶν τραυμάτων σύμφυσις διὰ τὸ ἐξ ὅλου σώματος τροφήν. εἰ δὲ ἐν κεφαλῇ εἴη τὸ τραῦμα, πρὸς τοῖς εἰρημένοις ἐπισκεπτέον χρὴ τὸν περικράνιον ὑμένα, εἰ ἀπαθής ἐστιν ἢ συντετρωμένος· ἀπαθοῦς μὲν ὄντος τοῦ περικρανίου, συναγέσθω τὰ χείλη ῥαφαῖς καὶ ἐπιδείσθω ἢ ἀκολούθως κολλητικοῖς ἐπιθέμασι· συντετρωμένου δὲ ἢ ἐκτεταμένου τοῦ περικρανίου ὑμένος πρὸς ἀσφαλῆ θεραπείαν ἐπιδιαιρεῖσθαι ἐπιστήμῃ τὸν ὑμένα καὶ ξύειν τὸ ὀστοῦν ἀκριβέστατα καὶ τιλτοῖς μοταρίοις πληροῦν τοῦ τραύματος βάθος· καὶ τὸ ἔξωθεν ἐπιτιθέναι σπλήνιον δυνάμεως ἀφλεγμάντου, οἷαι εἰσὶν αἱ βάρβαροι καὶ καλασματικαὶ καλούμεναι· μέσον δὲ χρὴ εἶναι τὸ ἐπιτιθέμενον σπλήνιον· [illegible] οἱ ὕστερον [illegible] ἁπαλώτατον καινὸν ὄξει ἢ οἴνῳ βρέχοντες καὶ ἐκθλίβοντες

ἐπι

ἐπιτιθέναι δίχα ξαίνου· καὶ μάλιστα ἔνθα αἱμορραγία προ-
γεγονυῖα εἴη. εἶτα λαμνίδιον λινοῦν βρέχοντα ὄξει καὶ ἐλαί-
ῳ, ἐπιτιθέναι καὶ ὅλως ἐπιδεσμεῖν, τῆς ἀρχῆς τοῦ ἐπι-
δέσμου κατὰ τοῦ τραύματος βαλλομένης, ὡς ἐπὶ τῶν ἐν τοῖς
κώλοις καταγμάτων, καὶ εἰς τὰ ἄνω μέρη νεμομένης
τῆς ἐπιδέσεως· ἡ δὲ σφίγξις σύμμετρος ἔστω· ἡ μὲν γὰρ
λίαν ἐπιτεταμένη, ὀδύνην ἐμποιεῖ· ἡ δὲ κεχαλασμένη ἀνω-
φελής. ἀπὸ δὲ τῆς τρίτης διὰ συνεχῶν (?) πυριάσθω τὰ χωρὶς
καταγμάτων τραύματα· εἶτα θεραπευέσθω ἢ διὰ ῥοδίνου (?)
πυοποιοῦ φαρμάκου, βρεχομένων τῶν μοταρίων· καὶ ἡ ἀπὸ
λιβάνου πυοποιὸς ἀγωγὴ ἐξηρτίσθω· ἀναχωρούντων δὲ τῶν σαρκω-
θέντων (?) ἐν τῷ περὶ ἑλκῶν μετὰ βραχέα δηλωθήσεται. ἐπειδὴ δὲ πολ-
λάκις ἐκλαθομένου τοῦ περικρανίου ὑμένος ἀμελῶς ἔχοντος (?)
ἐν τῷ τοῦ τραύματος ἐπιγίνεται φλεγμονή, εἰ μὲν ἀρχο-
μένης ἔτι τῆς φλεγμονῆς ἐντύχοις τραύματι, δεῖ τῷ
ὡς ἔδειξα (?) εὐθὺς ἐπιδιαιρεῖν τὸ τραῦμα καὶ ξέειν ἀκριβῶς
περικράνιον ὑμένα· τούτου γὰρ διαιρεθέντος πρὶν γενέσθαι
μεγάλην φλεγμονήν, κωλύσει τὴν αὔξησιν αὐτῆς· μετὰ
διαίρεσιν αὐτοῦ, διαστέλλειν μοτοῖς· καὶ ἔξωθεν μοτοφύ-
λακα ἐπιτιθέναι οἰναίῳ βεβρεγμένον, ἢ κολλύριον
δυνάμενον ἀφλεγμαντεῖν· κατὰ δὲ τῶν πλησίον τόπων ἔρια
ἐπιτιθέναι τῷ οἰνελαίῳ βεβρεγμένα· καὶ ἐπιδεσμεῖν
τῇ προσηκούσῃ ἐπιμελείᾳ καὶ ἐπιδέσει· καὶ τὸ λοιπὸν
πυοποιῷ ἀγωγῇ χρῆσθαι· μεγάλης ἤδη γενομένης φλεγμ-
ονῆς, συμφέρει ἀποξυρῶντας τὰς τρίχας καταντλεῖν
τὸ πάσχον μέρος εὐκράτῳ ὕδατι, καὶ καταπλάτ-
τειν τοῖς τὰς φλεγμονὰς δυναμένοις περιγράφειν κατα-
πλάσμασι. λυθείσης φλεγμονῆς ἐξ ἀνάγκης πυοποι-
εῖται ὁ περικράνιος ὑμὴν καὶ τὰ πέριξ σώματα καὶ
ἀφίσταται· ὅτε προσήκει ἐπιδεῖν καὶ κομίζεσθαι τὸ
πύον· καὶ ἐπιξέειν ὑμένα καὶ κοινῇ λοιπῶν ἑλκῶν ἀγω-
γῇ χρῆσθαι. εἰ δὲ κάταγμα γένηται, ἐν κεφαλῇ ἢ ἐν
ἑτέρῳ τόπῳ μετὰ τραύματος, ἐπιτιθέναι μὲν χρὴ ἕνα
τῶν καταγματικῶν ἐμπλάστρων· ἐκκόπτειν δὲ τὸ κατὰ
τὸ τραῦμα τοῦ σπληνίου μέρος τὸ ἐπικείμενον· καὶ ἔξω
μικρὸν σπληνίον ποιήσαντα, ἐπιτιθέναι κατὰ τοῦ
τραύματος καὶ ὅλως ἐπιδεσμεῖν· ἐν δὲ ταῖς λύσεσι
πλύνειν τὸ μικρὸν σπληνίον ἀφαιρεῖν δεῖ καθ' ἡμέραν
καὶ θεραπεύειν, καὶ ὅλως ἐπιδεσμεῖν τοῖς καταπλάσμασι
ἐπιδέσει· τὰ κολλητικὰ φάρμακα εὑρήσεις ἐν τῷ
ιε λόγῳ.

## ΠΕΡΙ ΝΕΥΡΟΤΡΩΤΩΝ ΓΑΛΗΝΟΥ. ΚΕΦ. ΠΕ

Νεῦρον τρωθὲν ἢ νυγέν, διὰ τὸ περιττὸν τῆς αἰσθήσεως
ὀδυν.

ὀδυνᾶται καὶ φλεγμαίνει μειζόνως. διὰ τοῦτο τὸ δέρμα,
τος ἐπικειμένου τὴν ῥᾶον ἀκόλουθον ἵν' οἱ ἰχῶρες δι' αὐτῆς ἐκρέ-
οιεν. ἔνθα τὸ στόμιον τῆς διαιρέσεως στενώτερον εἴη,
ὧν ὑδαρεστάτων ξηραντικωτέροις φαρμάκοις εἰς ἕνωσιν
καὶ σύμφυσιν, ἀγαγεῖν χρὴ τὸ ἕλκος. ἔνθα δ' οὐκ ἐστὶ βελό-
νης ἢ γραφείου ἢ σκόλοπος ἤ τινος παραπλησίου ἡ τρῶσις
γεγένηται· μάλιστα εἰ βάθος ἱκανὸν ἔχει, ἑνὸς μόνου χρὴ
φροντίσαι τοῦ μὴ φλεγμονὴν ἐπιγενέσθαι. ἀσφαλέστερον
δ' ἂν εἴη καὶ προσδιελεῖν τὸ δέρμα· λέγω δὴ στόμιον
τοῦ τραύματος χάριν τοῦ διϊκνεῖσθαι εἰς τὸ βάθος σώματος
τὰς φαρμάκων δυνάμεις, τὸ δ' ὅλον σῶμα διὰ φλε-
βοτομίας κενοῦσθαι· ἐρρωμένης δηλονότι τῆς δυνάμεως
καὶ ἄλλου τινὸς μὴ κωλύοντος. τὰς αὐτὰς καὶ
κενώσεις διὰ τῶν συνήθων ποιούμενοι·· ἐν ἄλλῳ ὅλως.
Κενώσεις δὲ ποιητέον ἐκ τῶν σύνεγγυς τόπων τοῦ πεπονθότος·
φημὶ δὴ χειρὸς δεξιᾶς τρωθείσης τὴν κατὰ δεξιὸν σφυρὸν
τέμνοντι· ἀριστερᾶς δὲ τὴν κατὰ τὸ ἀριστερόν· σκέλους δὲ δεξι-
οῦ, τὴν ἐπὶ τῆς δεξιᾶς χειρὸς τέμνοντας τὴν μασχα-
λιαίαν· ἀριστεροῦ δὲ τὴν ἐπὶ τῆς ἀριστερᾶς χειρός·
μὴ φαινομένης δὲ τῆς μασχαλιαίας, τὴν μέσην διαιρεῖν·
εἰ κακόχυμον εἴη σῶμα, καθαίρειν αὐτὸ καὶ κατὰ τὰ λοιπὰ
χρωμένους καθαρτηρίῳ. τὸ μὲν οὖν θερμὸν ὕδωρ ταῖς
ἄλλαις φλεγμοναῖς ἐπιτηδειότατον, εἰδέναι χρὴ πο-
λεμιώτατον εἶναι τετρωμένοις νεύροις, ὑπὸ δὲ
τῶν ὑγραινόντων ἅμα καὶ θερμαινόντων φαρμάκων σηπεδόσι
ταῖς τοιαύταις διαθέσεσι περιγίνονται. βέλτιον οὖν
καταντλεῖν τοὺς νενυγμένους ἐλαίῳ θερμῷ· λέγομεν δὲ
μηδὲν ἔχοντι στύψεως· οἷόν ἐστι γλυκύτατον ἔλαιον·
ἄμεινον δὲ εἰ καὶ δύο ἢ τριῶν ἐτῶν εἴη. ἡ δὲ τῶν τετρωμένων
νεύρων θεραπεία, φαρμάκων δεῖται θερμαινόντων μὲν ἐγει-
ρόντων χαράν· ξηραινόντων δ' ἱκανῶς, ἃ δύναται
σπᾶν καὶ διακρίνειν τὰ μόρια. τοιοῦτον ἐστὶν ἐν οἷς
καὶ ἄνηθον καὶ πήγανον ἕψομεν ἐν τῷ ἐλαίῳ, καὶ
θερμότατον καταντλοῦμεν ἐπὶ πολύ. ἐνίοτε δὲ καὶ
τῆς δι' εὐφορβίου κηρωτῆς ἢ τῆς συνήθους ἐμπλάστρου
ἢ τῶν ἄλλων φαρμάκων τῶν πρὸς τοὺς νενυγμένους
ἀναστομουμένων τὴν ταύτην βραχὺ τῷ ἐλαίῳ, οὕτως
καταντλοῦμεν· εἶτ' ἔμπλαστόν τινα τῶν ὑπογε-
γραμμένων ἐπιτιθέντες, ἔριον μαλακώτατον ἐλαίῳ
θερμῷ βεβρεγμένον, ἔξωθεν τῇ ἐμπλάστρῳ ἐπιβά-
λλομεν. λύομεν δὲ καὶ δὶς καὶ τρὶς τῆς ἡμέρας· μεγάλων δ' οὐσῶν
νυκτῶν καὶ κατὰ ταύτας εἰώθαμεν λύειν καὶ μάλιστα ὅτε
τοῦτο ποιοῦμεν διαχεομένου τοῦ ἕλκους ὑπὸ φαρμάκων.

εἰ δὲ

εἰ δὲ μὴ δάκνοιτο μηδὲ ὀδύνης αἰσθάνοιτο, δὶς τῆς
ἡμέρας ἐπιλυόμενον ἕωθεν καὶ πρὸς ἑσπέραν. προσήκει δὲ καὶ
τὰ ἐπικείμενα μετὰ μαστίχης τρίψαντα, ἐλαίῳ θερμῷ
διαψύχειν συνεχῶς διαβρέχειν. εἰ δὲ τὸ ἐν σκέλει
νεύρων εἴη τὸ νενυγμένον, βουβῶνας ἐλαίῳ θερμῷ
πολλῷ τέγγειν καὶ ῥάχιν ὅλην καὶ τράχηλον συνεχῶς.
κακῶς δ' ἐξαρτηθέντων ἐξαπατηθέντων τῶν νευροτρώτων, φλε-
γμονὴ πάντως ἐπιγίνεται μεγίστη καὶ σπασμός.
Χρὴ τοίνυν τοὺς τοιούτους καταπλάσσειν ἀλεύρῳ κυαμίνῳ
ἢ μᾶλλον ὀροβίνῳ ἐν κονίᾳ στακτῇ ἑψηθέντι ἢ ὀξυ-
μέλιτι χωρὶς ἐλαίου· ἀγαθὸν γὰρ σφόδρα φάρμακον
ἐπὶ τῶν ἤδη σηπομένων. εἰ δυσφορωτέρα εἴη ἡ φλεγ-
μονὴ καὶ μεγάλη ἡ ὀδύνη, τὸ ὀρόβινον ἄλευρον ἢ
τὸ κυάμινον μετὰ ἑψήματος καλλίστου ἑψήσας,
καὶ προσβαλὼν βραχύ τι τοῦ ὄξους, καταπλάσσεις ἐπι-
καταιονῶν ἐκ διαστήματος τῷ θερμῷ ἐλαίῳ τῷ ἴσον ὕδατι.

Κηρωτὴ ἡ δι' εὐφορβίου.

Σύγκειται μὲν οὖν ἡ δι' εὐφορβίου κηρωτὴ πρὸς νευ-
ροτρώτους ἐκ τῶνδε· κηροῦ, τερεβινθίνης, ἑκάστου ἀνὰ οὐγγ. δ΄.
εὐφορβίου νεαροῦ οὐγγ. β΄. εἰ δ' ἐτῶν δύο εἴη, οὐγγ. γ΄. εἰ
δὲ πάνυ παλαιοῦ οὐγγ. δ΄. μὴ παρούσης τερεβινθίνης, κο-
λοφωνίαν ἔμβαλε προστιθεὶς ἐλαίου. πολλῷ δὲ κάλλιον
φάρμακον ἔσται, εἰ προσλάβοι καὶ πρόπολιν λιπαρὰν
καὶ πρόσφατον· ὡς εἶναι τῆς μὲν τερεβινθίνης οὐγγ. γ΄.
καὶ προπόλεως οὐγγ. δ΄. ἐν ἄλλ. γ΄. κηροῦ οὐγγ. α΄. ἐν ἄλλ. δ΄. ἐλαίου
οὐγγ. δ΄. εὐφορβίου νεαροῦ οὐγγ. β΄. μὴ παρόντος εὐφορβίου, ἀντ' αὐτ-
οῦ τὸ διάπυρον ἔμβαλε ἢ καστόριον ἢ τῶν ὁμοίως θερμαιν-
όντων καὶ τοιούτων. ὅλως δ' ἐπὶ τῶν νευροτρώτων ὅταν τις
ἁμαρτάνῃ τῆς ἀκριβοῦς καὶ μεθοδικῆς συνθέσεως τῶν
ἐμπλαστρωδῶν φαρμάκων, ἐπὶ τὸ μαλακτικὸν καὶ βέλ-
τιον ῥέπειν τὴν σύστασιν, εἰ καὶ μολυβδίνου ἔσεσθαι
μᾶλλον τὸ σκευασθέν. Ἄριστον δ' ἐπὶ τῶν νευροτρώτων
φάρμακον τὸ διὰ τῆς βρυωνίας πίσσης καὶ ὁποπάνακος
κατὰ τῶν λυσσοδήκτων σκευαζόμενον· μάλιστα ἐπὶ τῶν
ἰσχυρῶν σωμάτων. ἐπὶ δ' ἁπαλοσάρκων, ἐκλύειν δεῖ
τὴν δύναμιν αὐτοῦ κηρωτῇ σκευασθείσῃ διά τινος
τῶν διαφορητικῶν ἐλαίων, οἷον ἰρίνου ἢ ἀμαρακίνου ἢ πα-
λαιοῦ ἢ ὀποβαλσάμου. Καλλίστη ἡ ἀνίκητος, γεγρα-
μμένη ἐν τῷ ιε΄ λόγῳ ἐν τοῖς μαλακτικοῖς φαρμάκοις.

Ἄλλο τὸ διὰ τῶν μεταλλικῶν.

Συνεθήκαμεν διὰ τῶν μεταλλικῶν φάρμακον ἰα-
τικὸν πρὸς ἴασιν τῶν νεύρων τρώσεως. ἔχει δ' οὕτως·

χαλκί

χαλκίτ(εως)· ὠμῆς ∠ η· μίσυος ὠμοῦ ∠ ιϛ· λεπίδος ∠
κδ· κηροῦ ∠ ϙϛ· ἐλαίου γλυκέος ἢ παλαιοῦ ξέστου μὲν
∠ ρη· χειμῶνος δὲ ∠ ρκ· λιβάν(ου) ∠ κδ· τερεβινθίνης ∠
ιϛ· χαλβάνης ∠ ιβ ἐν ἄλλ(οις) ιϛ· ὄξους δριμυτάτου· καὶ παλαιοῦ
τὸ ἀρκοῦν· λείου πρότερον μεταλλικὰ μετ' ὄξους ἐν ἡλίῳ
θερινῷ ἐφ' ἡμέρας πλείους· εἶτ' ἐπίβαλλε τὸ λίβανον καὶ
λείου πάλιν· εἶτα τήξας τὰ τηκτὰ κατάχεε· ἑνώσας χρῶ.
τοῦτο φάρμακον ἀφλέγμαντον τηρεῖ τὸ τραῦμα
καὶ πεπείραμαι αὐτοῦ μυριάκις.

Ἄλλο τὸ διὰ τοῦ ἠριγέροντος

καὶ τὸ διὰ τοῦ ἠριγέροντος
Θαυμαστὸν φάρμακον πρὸς τοὺς νευροτρώτους· χυλοῦ
ἠριγέροντος χλωροῦ λίτρ. κδ· ἐλαίου παλαιοῦ· ἐλαίου κυπρίνου· ἐλαίου
γλυκέος, ἀποχύματος ἀνὰ λίτρ. δ· χαλβάνης καὶ ἰοῦ ἀνὰ ∠ δ.
τερεβινθίνης πιτυΐνης ξηρᾶς ἀνὰ ∠ ϛ· στέατος παλαιοῦ ...
ἐν ἄλλ(οις) ιδ· κηροῦ ∠ η· τὸν χυλὸν μετὰ τῶν ἐλαίων βαλὼν ἕψε
ἕως ὁ χυλὸς σχεδὸν ἀναλωθῇ· τὸν δὲ ἰὸν λεάνας μετ'
ὀλίγου χυλοῦ καὶ τὰ τηκτὰ τήξας καὶ σείρωσας καὶ βα-
λὼν τὴν τερεβινθίνην· ἑνώσας τοῖς ἡψημένοις, κατά-
χεε τῷ λειωθέντι ἰῷ· ἑνώσας χρῶ. Ποιεῖ καὶ πρὸς τὰς
ἐν τραύμασι γινομένας μετ' ... φλεγμονάς· διαλύει καὶ σκλη-
ρίας καὶ χοιράδας καὶ ... νοσήματα. λύειν δὲ χρὴ
τοὺς νευροτρώτους εἰ καταπλασθεῖεν μετὰ τὴν ζ ἡμέραν ἢ ὅταν
αἱ ὀδύναι σφοδρῶς παύσονται. ἐν τῷ λύειν καταθετέον τῷ
τραύματι τὸ φάρμακον, καταβαλλόμενον ἔξωθεν πολύ-
πτυχον ὀθόνιον ἐλαίῳ διαβεβρεγμένον εἶτα ἔξωθεν
καταδεσμεῖν, ἐξ ὀθόνης καταβαλλομένης· καὶ μετὰ ταῦτα
προσεπιχεόμενον ἔλαιον τῷ καταδέσμῳ μέχρι ὅτου εἰς
τὸ πτύχιον ἐμβαίνειν τοῦ νευροτρώτου. μετὰ δὲ τὸ λῦ-
σαι, ἐν τοῖς μὲν τὰ κατακείμενα πάντα ἀποβαλόν-
τα χρώμεθα τῇ προειρημένῃ ἀγωγῇ. εἰ δ' ἐν χειρὶ
γένοιτο ἢ τραύματι ... παραινεῖν χρὴ μηδόλως αὐτὴν
βρέχειν μηδὲ θερμῷ μηδὲ ψυχρῷ ἐν τῷ λουτρῷ.

Ὀριβασίου πρὸς μυρμηκιάς ἀποσπάσεις νευροτρώτ.
μυρμηκιὰς ἀποσπάσεις καλεῖ ὅταν ἐν τοῖς πλησίον τόποις
τοῦ νύγματος ἀποστήματα μικρὰ καὶ πολλὰ γένηται, δε-
δρασμένα τινῶν. ἔχει δὲ οὕτως. Κηροῦ, κολοφωνίας,
βουτύρου ἀνὰ λίτρ. α· πίσσης ξηρᾶς μέλιτος ἀνὰ λίτρ. ϛ·
ἰξοῦ λίτρ. ϛ· ὄξους τὸ ἀρκοῦν εἰς τὴν λείωσιν τοῦ ἰοῦ.

Θεραπεία τῶν ἐν τοῖς βάθεσι γεγυμνωμένων
νεύρων καὶ τετρωμένων Κεφάλ. Κϛ.

Εἰ μὴ μόνον νυγῇ τὸ νεῦρον· ἀλλὰ καὶ γυμνωθῇ σαφέσ-

μη

μή· ἀρτηρίᾳ διαιρέσει διαιρεθέντος τοῦ προκειμένου,
δέρματος, κατατέμνειν χρὴ τὸ ἕτερον, ὁποῖα τις ἐγέ-
νετο· πολλῇ ἐσχάρα ἢ κατὰ τὸ τοῦ νεύρου μῆκος· ὁ-
πόταν τε διῃρῆται τοῦ προκειμένου δέρματος· ἀποκείσθω
δὴ ἀποστελλέσθαι πολὺ τοῦ δέρματος ὡς φαίνεσθαι τοῦ νεύ-
ρου ὄρθιον τὴν ἐσχάραν διῃρημένον· τούτῳ νεύρῳ
ὅλως γυμνωθέντι, τὰ προειρημένα δι' εὐφορβίου καὶ
τὰ διὰ τῶν μεταλλικῶν φαρμάκων καὶ τὰς ἀντικρὺς καὶ τῶν ἔξω
δριμέων, οὐδὲν προσφέρειν χρή· γυμνουμένου γὰρ οὐ φέρει
δύναμιν αὐτῶν δριμεῖαν σφοδρὰν οὖσαν· ἄριστον οὖν τοιούτων,
[illegible] τὸ πεπλυμένον τίτανον ἐλαίῳ πλείστῳ ῥοδί-
νῳ καλλίστῳ μιγνύντα προστιθέναι· ἔστω δ' ἡ τίτανος πλ-
εῖστάκις πεπλυμένη ὕδατι γλυκυτάτῳ ἐν ἡλίῳ ἐν τοῖς ὑπὸ κύνα
καύμασι καὶ ὅλως ἐξηραμμένη· ἀγαθὸν καὶ τὸ διὰ πομφόλυγος φάρμα-
κον ἐν πλείονι ῥοδίνῳ καλλίστῳ λυθέν· πεπλύσθω ἡ πομφόλυξ ἡ
φαρμάκῳ ἐμβαλλομένη ὡς ἐπὶ τῆς τιτάνου προείρηται· κηρὸν πε-
πλύσθαι χρὴ τὸν εἰς ταῦτα τὰ φάρμακα ἐμβαλλόμενον· σκοπὸς γὰρ
σοι γενέσθω [illegible] ἁπάσης ἐπὶ νεύρου γεγυμνωμένου,
τὸ ξηραίνειν ἀδήκτως· προσοίσεις τοίνυν μηδὲν δριμὺ ψαύειν
τῆς τρώσεως· αἰσθητικώτατον γὰρ ὂν νεῦρον καὶ συνεχὲς τῷ ἐγ-
κεφάλῳ [illegible]· ἀλλ' ἐλαίῳ χρὴ παλαιῷ [illegible]
ἕλκος· [illegible] ἀποπλύνειν [illegible] ἰχῶρ [illegible]· μαλακὸν
[illegible] μάλιστα [illegible]· ἵνα δὲ μὴ ξηρὸν ψαύῃ
τὸ στόμιον τοῦ ἕλκους, ἔξωθεν βεβλημένῳ βροχίζειν ἐπιθέματι
καὶ ἐκθλίψαντα ὅλως ἀπομάσσειν τὸ ἕλκος· ἔστω δ' αὐτὸ καὶ προσ-
αγόμενα φάρμακα χλιαρά· ψυχρὰ γὰρ ἐπὶ τούτων προσαγόμενα,
σπασμοὺς ἐπιφέρει· κάλλιστα ποιεῖ ἐπὶ τῶν γεγυμνωμένων νεύρων ἡ
[illegible] ἔμπλαστρος πολύχρηστος ἡ διὰ οἰσυπηρῶν [illegible]
[illegible]· καὶ ἡ [illegible] κηρὰ ῥοδίνῳ πολλῷ ἀναλυόμεναι,
καὶ προσαγόμεναι διὰ μοτοῦ· παραδόξως δὲ ποιεῖ [illegible] ὡς οὐδὲν ἕ-
τερον τῶν φαρμάκων· καὶ ἡ ἶρις λεγομένη ἔμπλαστρος πάνυ πολλῷ
ῥοδίνῳ καλλίστῳ ἐκλυομένη καὶ διὰ μοτοῦ [illegible] ἐπιτιθεμένη τῷ
ἕλκει· ὀδύνας γὰρ παρηγορεῖ θαυμαστῶς· ἀνακαθαίρει ῥυπαρὰ ἕλκη
ταχέως [illegible] σαρκοῖ· εἰς οὐλὴν ἄγει· [illegible] ἕλκος, ἔξωθεν περι-
βάλλειν δὲ [illegible] ἐμπλάστρῳ μάλιστα· εἰ δὲ μή, τῷ ἀνική-
τῳ· νεύρου τρώσεως ἐσχαροῦ γενομένης, ὁ κίνδυνος τοῦ σπασμοῦ [illegible]
μείζων· τῆς μὲν φλεγμονῆς [illegible] ἵνας εἰς τὰς ἀτμή-
τους διαδιδομένης· σπασμοὶ δὲ διὰ τῶν ἀτμήτων ἰνῶν γίνον-
ται. τὰ μὲν δὴ [illegible] ἕλκους καὶ τούτοις τὰ αὐτά· κενοῦν δ' αἵ-
ματος ἀφαιρέσει τούτων χρή, διὰ συγγενῶν τὰς κενώσεις καὶ αὐ-
τίκα [illegible] ὀδυνωμένους [illegible]
οὐ σφυρὸν [illegible]· ἄριστον δὲ [illegible] σφυρόν·
[illegible] ἐκ τῆς [illegible]
[illegible] τομή· τῆς δὲ μὴ φαινομένης μέσον·
καὶ λεπτότερον [illegible] μᾶλλον διαιτᾶν· ἐν ἡσυχίᾳ πάσῃ καὶ
στρωμνῇ μαλακῇ συνέχειν αὐτόν· ἐλαίῳ πολλῷ θερμῷ [illegible]

καὶ

ἢ συνεχῶς χρώμενον ἐπὶ βουβώνων· ῥεύματος μὴ ἐπιρρέοντος ἀπὸ τοῦ ὅλου κεφαλῆς· ὅλος δὲ λόγος καθολικός ἐστι γινώσκειν ἐπὶ πάντων τῶν νοσημάτων.

ΠΕΡὶ θλάσεως νεύρων Κεφάλ. κζ.

Ἐὰν ἅμα δέρματι θλασθέντι καὶ ἑλκωθέντι γένηται νεύρων θλάσις, τὸ διακεχυμένον αἷμα· καὶ ὀξυμέλιτος ἐπὶ τὸ ὅλον καταπλάσματι ἢ ὀρόβινον μετ᾽ ἐμβρέγματος καὶ βραχέως ὄξους· ἔστι δὲ ὅλως ἀγαθὸν φάρμακον. εἰ δ᾽ ὀδύνη τις σὺν ἔστι θλάσει πίττῃ ὑγρᾷ μιγνύειν τὸ διὰ τῆς χυλῆς ἐμπλάσματος· ἔχοντας καλῶς ἐπιτιθέναι θερμόν. ὅτε ξηραντικωτέρας χρεία γένηται, μιγνύειν τὸ διὰ τοῦ ὀρόβου ἀλεύρου ὡς ἴσα εἶναι ἀμφότερα. εἰ μᾶλλον βούλοιο ξηραίνειν, ἶριν ἰλλυρικὴν μιγνύναι· ἐπιμελεῖσθαι δὲ παντὸς σώματος τοῖς κοινοῖς ἢ προειρημένοις. εἰ δὲ τὸ νεῦρον μὲν θλασθῇ, τὸ δὲ ἐπικείμενον δέρμα κατὰ φύσιν ἔχῃ, καὶ αὐτὸ σφαίνοιτο, ἤγουν ἐμπλάσματος διαφορητικοῦ, οἷον ἐστὶν ἀνήθινον καὶ πηγάνινον, συνεχῶς τὰ τόπον καταντλεῖν· χρῆσθαι ἐλαίῳ βραχεῖ· ἐπιμελεῖσθαι παντὸς τοῦ σώματος ὁμοίαν ποιεῖσθαι προειρημένοις. διακοπέντος ὅλου νεύρου, κίνδυνος μὲν οὐκ ἔστι σπασθῆναι, τὸ δὲ μόριον ἀνάπηρον γενήσεται· μάλιστα εἰ μέγα εἴη τὸ ἀποτμηθὲν νεῦρον.

ἢ ἴασις ἐπὶ τῆς κοινῆς ἕλκους θεραπείας.

ΠΕΡὶ βουβώνων Γαληνοῦ Κεφάλ. κη.

Ὅταν βουβῶνες ἐπανιστῶνται χωρὶς προφάσεως αἰτίας, δῆλον ὅτι πληθωρικοῦ ὄντος σώματος φλεγμονὴ γέγονε καταβαθὺ προσήκει οὖν εἰ μηδὲν ἕτερον κωλύσει, φλέβα τέμνειν ἐν ἀγκῶνι· κινδυνεύει τοσοῦτον ὅσον πλῆθος ἐπιφέρουσι· φαρμάκοις τοῖς τόποις προσφέρεσθαι· καὶ ἐν αὐτοῖς φερομένοις ἐπιφερομένοις συμφέρει ἀποκρουόμενα προσφέρειν καταπλάσματα· κινοῦνται· τὸ ἐν παντὶ σώματι πλῆθος, μετὰ βαίνειν ἐπὶ τὰ διαφορητικὰ δυνάμενα τὸ ἐπιρρυὲν τῷ τόπῳ. εἰ δ᾽ ἕλκος ἐπὶ ἄκρου χεῖρα ἢ σκέλους εἰς συμπάθειαν ἤγαγε βουβῶνα, ὡς ἔξωθεν γινώσκοιτο ἐκ προσκόμματος δακτύλου· καὶ ἄδενα καὶ φλεγμαίνειν ἀρξάμενον, παρηγορητικῶν χρῄζει καταπλασμάτων ἐπιτιθέναι διαβρέχειν ἐλαίῳ θερμῷ· μὴ μετ᾽ ἄλλου ὡς εἰ ποιοῦσι, ἄρτους δὲ διαφορητικὰς ἅλας τὸ θερμὸν· καταφανοῦ σκιρρώδει δυσίατον ἢ ἀνίατον. ὅτε δὲ τοῖς ὀξέσι τῆς φλεγμονῆς παύσηται, τῶν μὲν παρηγορητικῶν φαρμάκων ἀφίστασθαι χρή· χρῆσθαι δὲ τοῖς διαφορητικοῖς· ἔσω δὲ τὰ διαφορητικὰ δυνάμενα φάρμακα τῷ βουβῶνι προσφερόμενα ταῖς συστάσεσι σκιρρώδεσιν ὑπάρχει· φυλάττειν δὲ ταῦτα σκληρά φάρμακα· συντείνει τὰ μόρια καὶ ξηραίνειν ἀναγκάζει· πᾶν σκληρὸν ἐξ ἀρχῆς ξηραίνειν ἢ ὑγραίνειν, παρηγορίας δὲ ἐν τῷ δέηκεν

τῷ αὐτῷ γινομένῳ φλεγμονῆς παρηγορητικὸν καταπλα-
σμα προσφάτου καὶ κηρωτήν τινα τῶν ἑδρικῶν ἐπιτεθῆναι
καὶ περιλαμβάνειν ὅλον μετὰ τοῦ ῥάκους ἐρίῳ θερμῷ ἐλαίῳ βε-
βρεγμένῳ· ἐν τῷ [illegible]α φυλάττειν· παρηγορεῖ τοὺς ὄγκους
παραχρῆμα καὶ ὁ βουβὼν ἔξωθεν ἀνωδύνως μένει·· Καλῶς
ποιεῖ πρὸς βουβῶνας ψύλλιον ὕδατι θερμῷ βρεχόμενον
καὶ φύλλῳ λαχάνου ἢ ὀθονίῳ ἐμπλαττόμενον καὶ ἐπιτι-
θέμενον· ποιεῖ καλῶς πρὸς παρωτίδας καὶ ἡ διὰ βουτύ-
ρου κηρωτή, ἢ ὄστρεα κεκαυμένα δεχομένη· ποιεῖ καὶ ἡ διὰ του
σ[illegible] λεγομένη διαφορητική· καὶ ἡ διὰ κηρίνων· ἀνα-
γεγράφηνται αὗται ἐν ιε΄ λόγῳ ὁμοίως καὶ ἡ διὰ ψυλλίου κηρωτή··

## ΠΕΡΙ πάσης φλεγμονῆς, Γαληνοῦ. Κεφ. κθ΄.

Πᾶσα φλεγμονὴ δι' ἐπιρροὴν αἵματος γίνεται ἢ ἐκ
προδήλου αἰτίας ἢ ἐξ ἀδήλου· ἐκ προδήλου μὲν ὅταν ἐπὶ
προσκόμματι δακτύλῳ ἐπιγένηται βουβών· ἐξ ἀδή-
λου δὲ ὅταν ἐπιρρέῃ πλῆθος· ἐνίοτε μὲν ὅτε ἐξ ὑπερκειμένου μορίου πεμ-
πόντος ἢ τοῦ παντὸς σώματος, ὑποδεχομένου δὲ τοῦ φλεγμαί-
νοντος ἀρξαμένου διὰ τὴν ἀσθένειαν ὡς ἐν τῷ περὶ ποδάγρας λό-
γῳ προείρηται· ἐνίοτε δὲ αὐτοῦ τρέχοντος ἕλκοντος ἀφ' ἑαυτοῦ
διά τινα νοσώδη καὶ παρὰ φύσιν ἐν αὐτῷ γινομένην θερ-
μασίαν· ἡ μὲν οὖν ἀρχὴ τῆς φλεγμονῆς ἐστι καθ' ὃν χρόνον,
πληροῦται μόριον αἱματώδους ὑγροῦ· ἡ δ' αὔξησις ἡνίκα
κἂν τὸ ἐπιρρέον παύηται· τὸ δ' ἐν μορίῳ περιεχό-
μενον ἀλλοίωσιν λάβῃ τῆς οὐσίας· αὔξησις δὲ τῆς παρὰ
φύσιν θερμότητος καὶ χύσις χυμῶν καὶ τάσις μετὰ πλείονος
τῆς πρόσθεν γενομένης· ἀκμὴ δὲ φλεγμονῆς ἐστιν ὅτε ἡ δια-
τὸ πῦον συνίσταται· μέγισται τότε γίνονται ὀδύναι· παρ-
ακμὴ ἡνίκα διαφορούμενον αἷμα, ὅτε λήγουσι τάσεις
ὀδύναι κάτω γίνονται· ἀρχομένης οὖν φλεγμονῆς
ἀκριβῶς διαιτᾶν χρὴ, ἀπέχοντα σιτίων χρώμενον καὶ
ὑδροποσίᾳ· εἰ δὲ φλεγμονῆς μέγεθος, ἐπιτρέπει καὶ τοῦ
αἵματος ἀφαιρεῖσθαι, ἡ δὲ ἡλικία ἔξεστι ὥρα μὴ ἀντι-
πράττῃ· μάλιστα εἰ πολυαίμων· ἔξεστι προσδιατάτ-
τειν φλεβοτομίᾳ κεχρῆσθαι· κενοῦσθαι δ' ὅσον δεῖ
πρὸς τὸ πλῆθος καὶ μέγεθος τῆς φλεγμονῆς καὶ ἡ δύναμις παρέχοντος ἐπ-
αγορεύει· κατὰ μὲν οὖν ταῦτα ἀεὶ πρὸ τῆς φλεβοτομίας καὶ ἐν αὐτῷ
τῆς κενώσεως καιρῷ τοῖς ἀποκρουστικοῖς καταπλάσμασι χρησό-
μεθα κατὰ τοῦ φλεγμαίνοντος μορίου· ἐν ἀναβάσει παραπλέκ-
οντες ἀποκρουστικοῖς καὶ βραχύ τι τῶν διαφορητικῶν· ἐν δὲ
ταῖς ἀκμαῖς καὶ μεγίσταις ὀδύναις, τοῖς παρηγορικοῖς δυνάμεσι

χρηστέον

πλάξ.
το·

χρηστόν. ἐν δὲ παρακμαῖς τοῖς διαφορητικοῖς μόνοις. ὅσα τοίνυν
χρήσιμα δ' ἐστὶν ἁρμόδια καὶ φλεγμοναῖς ἀπεπτούσαις. γλαύ-
κιον, στρύχνον ἢ καὶ περδίκιας. στρατιῶται οἱ ἐπὶ τοῖς ὕδασι
νηχόμενοι. ἀρνόγλωσσον, πολύγονον καὶ τούτοις ὅμοια. παρηγο-
ρητικὰ δὲ καὶ ἁρμόδια ταῖς ἀκμαζούσαις καὶ ὀδυνώσαις
φλεγμοναῖς, μαλάχη καθ' ἑαυτὴν καὶ σὺν ἄρτῳ ὀλίγῳ καὶ
ῥοδίνῳ καταπλασσομένη. ἄριστον δὲ καὶ τὸ μελίλωτον
ἐν τῷ γλυκεῖ ἑψόμενον καὶ σὺν ἄρτῳ καταπλασσόμενον
καὶ φοίνικες γλυκεῖ διαβρεχθέντες σὺν τῷ ἄρτῳ καὶ ῥοδίνῳ.
ἐν παρακμῇ, ἄριστον ἡ ἀγρία μαλάχη καταπλασσομένη
μετ' ἄρτου καὶ σταφίδες ἐξεγιγαρτισμέναι μετ' ἄρτου καὶ
ὀλίγου μέλιτος καὶ κρίθινον ἄλευρον μετὰ μέλιτος χωρὶς
ἐλαίου καταπλαττόμενον, ἐν ἀλ ὕλως. καὶ τὸ τῶν κριθῶν
ἄλευρον μετὰ μαλάχης καὶ σχινοπώγμ. καὶ χυλοῦ ὀξυγγίου
χωρὶς ἐλαίου καταπλασσόμενον. καὶ εἰ πλεῖον δέοιτο τὸ
διαπυῆσαν μέρος εἴη περιεχόμενον οὐ χρὴ ἐπὶ τὴν χει-
ρουργίαν αὐτίκα ἀφορμᾶν καθάπερ ἔνιοι πράττουσιν
ἀλλὰ διαφορεῖν ἐπιχειρεῖν τοῖς τοιούτοις ἐπιτεταμένοις
μόνοις φαρμάκοις, οἷόν ἐστι τὸ διὰ κεκαυμένων χηρικῶν,
σκευαζόμενον Ὀριβασίου ξανθὸν φάρμακον, καὶ ἡ διὰ μυ-
σοῦ Διονυσίου ἐπιγραφομένη. καὶ παραπλήσιοι ἐν
τῷ ιε' λόγῳ ἀναγραφησόμεναι διαφορητικαί. εἰ δὲ φαί-
νηταί σοι τὸ φλεγμαῖνον λεπτὸν σχεδὸν γινόμενον,
θαρρεῖν ἤδη τῆς ἰσχύος τοῖς φαρμάκοις ἐπιβάλλοντα
δὶς τῆς ἡμέρας, ὁποῖον τι δρᾷ τὸ φάρμακον.

## ΠΕΡΙ ΑΠΟΣΤΗΜΑΤΩΝ. ΚΕΦΑΛΑΙΟΝ, Λ'.

Νικηθέντων φαρμάκων καὶ εἰς πῦον τρεπομένης δια-
θέσεως, συνεχεῖ τῇ καταπλασμάτων μεταβολῇ χρή. καταντ-
λείσθω μὲν οὖν θερμῷ ὕδατι μετὰ ἀφεψήματος ἀλθαίας
καὶ σύκων. καὶ καταπλαττέσθω κριθίνῳ ἀλεύρῳ ἢ ἄρτῳ
μεθ' ὑδρελαίου. εἰ δὲ δυσδιαπύητος εἴη ἡ φλεγμονή,
τῷ ἀφεψήματι λινοσπέρμου ἰσχάδων καὶ ἀλθαίας, ἑψήσας
κρίθινον ἢ ἄρτον, κατάπλαττε. εἰ δὲ χρονίζοι, καὶ κόπρον
περιστερῶν ἐμβάλλειν χρὴ καὶ νίτρου βραχὺ καὶ τερεβινθίνην.
τελείας δὲ μεταβολῆς γενομένης ἀνατομῇ χρὴ ἔνθα
μάλιστά ἐστιν ὑψηλότατον ἑαυτοῦ. καὶ τὸ λεπτότατον
εὑρήσεις τοῦ δέρματος ἐνταῦθα. εἰ δὲ καὶ σεσηπέναι σοι
τινὰ φαίνοιτο τοῦ διαπυήσαντος, ἐκκόπτειν ἀναγκαῖον
αὐτά. μυρσινοειδεῖ δὲ ἔξω ἢ περιαιροῦντα, λέ-
γω δὴ ὑπομηκεῖ καὶ στενῇ. τοῦτο δὲ ἐν μασχάλαις
καὶ βουβῶσι ποιητέον. ἐν δὲ κεφαλῇ καὶ ὁμοίοις
τόποις

λόποις, ἀπολελυμένα χρηστέον. μετὰ δὲ διαίρεσιν, μάννῃ
λελεία τῇ πληρωθῶ χρή. τὸ ἕλκος καὶ τοῖς ὀθονίοις
ζήτει διαμένοντας. δῆλον δὲ ὅτι ἐπὶ δυσὶν ἢ τριῶν διαιρ
έσεων. λημνίσκοι δεχθέντες καὶ ἔξω τοῖς ἰσχίοις
ὁμοίως πληροῦσθαι τὸ ἕλκος. πρὸς δὲ τὴν μοῖραν κέ-
πλω ἁπλοῦν ὀθόνιον ἐπιτιθέσθω οἷον καὶ ὡς δεῖ ἔχει
καὶ ἔξω ἐπιδείσθω. τῇ δὲ τρίτῃ ἐξαπολυέσθω, ὁ
θέλων τῇ προσποιᾷ ἀρχῇ οἷς τῇ [illegible] φαρμάκῳ,
ἢ ταῖς ὁμοίαις ἀνειμέναις ῥοδίνῳ. μετὰ τὸ διαμέ
τωσιν ἐὰν ἔτι τὰ περὶ τὰς διαιρέσεις ἐν φλεγμο
νῇ τύχοι χαλαστικὰ ἐπιτιθέσθω. ἐὰν δὲ μηδὲν καθαρὸν
τύχοι, ὠφέλιμον δυνάμενα ἀφλέγμαντον ἐπιτιθέσθω καὶ
ἔξωθεν ἐπιδείσθω. ἀκαθάρτων δὲ γενομένων τῶν διαιρου-
μένων σωμάτων, τοῖς ἀνακαθαίρειν δυναμένοις χρη-
στέον. ἀνακαθαίρει κάλλιστα ἡ διὰ ἴτυπτηρία. σκευάζεται
διὰ τερεβινθίνης ξηρᾶς, μέλιτος, ἰδίᾳ ἰσοῦ. ἐμπλαστρ.
καθαρῶν ἐπὶ ἐμπλασμάτων. ἐπὶ δ' ἰσχυροτέρων σωμά-
των ἀκαθαρτοτέρων ἑλκῶν, τερεβινθίνη μετὰ μέλιτος
ἰδίᾳ χωρὶς ἰσοῦ τήκεται κάνα καθαίρει παραβαλ-
λόμενα. πρὸς δὲ τὰ δυσκόλως ἀνακαθαιρόμενα ἕλκη,
ποιεῖ ἡ λεγομένη σφῆ ἢ ἴτυπτηρία. κιρρὰ δέ ἐστιν
αὕτη. λαμβάνεται ἰοῦ ξυστοῦ καὶ μέλιτος ἅμα
ἑψόμενον, μέχρις ἂν κιρρὸν λάβῃ τὸ χρῶμα.
σφαῖρα δὲ εἰς κάλλιστα ταύτῃ παρασκευάζεται ὧν
ἐν τοῖς περὶ συρίγγων μετὰ βραχὺ μνημονευσόμεθα. καθαρῶν
γενομένων ἑλκῶν, σαρκωτικοῖς φαρμάκοις χρηστέον τοῖς μετ'
ὀλίγον ῥηθησομένοις ἐν τοῖς περὶ κοίλων ἑλκῶν τόποις.
ἀποσαρκωθέντα δὲ ἕλκη, ἐπισκεπτέσθω ἢ τῇ ῥοδίᾳ
ἢ τῇ [illegible]. ὅτε δ' ἰσόπεδα γένηται ἐπουλούσθω διὰ
ξηρῶν φαρμάκων ῥηθησομένων ἐν τοῖς ὅλοις διαμένουσι.

## Τοῦ φιλοσόφου διαφορητικόν πάσης
## φλεγμονῆς μὴ δυναμένης διὰ ἐμπλασμάτων
## διαφορηθῆναι. ποιεῖ καὶ ἀποστήμασι φλεγμαίνουσι
## καὶ ἐχίνων καὶ βουβώνων.

στέαρ χοίρειον τετηκός, οὐγγ. ϛ. ᾠῶν δύο λευκά. μέλιτος [illegible]
[illegible] τοῖς ᾠοῖς, οὐγγ. β. γύρεως τὸ ἀρκοῦν. λε-
ῶς τὸ στέαρ, ἐπίβαλε τὰ ᾠά. εἶτα [illegible] λεάνας.
εἶτα τὸ μέλι ἔμβαλε καὶ γύρεως ὅσον ἀρκεῖ εἰς τὸ γενέσθαι
κηρωτοειδὲς σύστασιν. γίνεται δὲ ὅλως αὐτὸ σκευάζειν.
ἄλλο. στέαρ τὸ ἀφεψημένον τὰ σὺν τοῖς πυρροῖς γύρεως οὐγγ. α.
ἐν ἄλλῳ β. στέαρ χοίρειον καθαροῦ λίτρ. α. μέλιτος ὅσον [illegible] χηνὸς

συναγ-

συνειδῆς· εἰ μὲν διαφορῆσαι βούλει, πλέον ἔμβαλε· εἰ δὲ παρηγορῆσαι, ἔλαττον· ἐμβαλλομένου καὶ νίτρου. τὸ μὲν οὖν ἔχον νίτρον μᾶλλον διαφορεῖ· τὸ δὲ μὴ ἔχον παρηγορεῖ. χρῶ πεφλεγμονωμένῳ καὶ τῷ διὰ χυλοῦ τῶν φύλλων.

ῥηκτικὸν ἀποστημάτων.

Ἔλαιον· ἀμμωνιακὸν ἴσα λειώσας σὺν ὄξει, ἐπίχριε. ὅταν βούλει ῥῆξαι τάχιον· τινὲς δὲ αὐτῷ ἀμμωνιακῷ λίβανον βάλλουσιν.

Ἐκπυητικὸν ἀποστημάτων διαπύρας πολλῆς, μαλάχης ἀγρίας ἑψημένης λελειωμένης ἄλευρον πυρίνου καὶ στέαρ χοίρειον ἑψόμενα ἐπιτίθεται καὶ καταπλάττε· ἐκπυΐσκει ταχέως.

Ἀποστημάτων διαφορητικὰ ἢ διὰ χειρῶν

Ἀριοβαρζάν· ἢ Διονυσιάδος Ὀριβασίου ἤδη.

Λίθου πυρίτου < ιβ· ἀμμωνιακοῦ θυμιάματος < ιβ· κυμίνου < ς· κόψας σήσας ἀναλάμβανε ῥητίνῃ, μάλιστα τερεβινθίνῃ. εἰ δὲ μὴ, σὺν τῇ πιτύϊνῃ ὑγρᾷ ἵνα ἢ ἐμπλαστρώδης· διαφορεῖ ἢ ῥήσσει· ἐκκενοῖ· ἐπιτίθει ὑγιαίνει· τὸ ἀρχαῖον δέ ποτε καιρὸν σκεύαζε· ξηραίνεται δὲ ῥᾳδίως· ἄριστα δέδοκται διαφορητικὰ καὶ ῥηκτικὰ ἐν τῷ ιε λόγῳ.

Ὀριβασίου λιπαρὰ ἀνακαθαρτική.

μέλιτος ἀπηφρισμένου λίτρα α· ὄξους λίτρας β· λεκιθίου ὠῶν α· ἰξοῦ < δ· ἕψε τὸ μέλι καὶ ὄξος ἕως μελιτώδους γένηται, ἐπίπασσε τὰ ξηρά· ἑνώσας χρῶ. Ἄλλο τῷ αὐτῷ, ἀνακαθαίρον ἕλκη ῥυπαρὰ ἰσχυρῶς. Ἀμόργης ὀπτῆς, μέλιτος ἀπηφρισμένου, στυπτηρίας φωρίνης, ἴσα. Ἄλλη πρὸς ἀποστήματα ὡς ἐπίπαν, διαφορεῖ τὰ ὑγρὰ ἀπ' ἀδήλων πόρων· ἢ πάντως ῥηγνύει καὶ ἐκκενοῖ ἀνωδύνως. λιθαργύρου ἑψημένου· ἀμμωνιακοῦ ἀνὰ λίτρα α· πιτύϊνης πεπλ. ὀποπάνακος ἀνὰ οὐγγ. ς· κασορ. οὐγγ. δ· χαλβάνης, σμύρνης, λιβάνου ἀνὰ οὐγγ. ιβ. ὄξους ξέσται γ. τὸ ἀρχαῖον· λιθάργυρον ἑψημένον ἕψε σὺν ξέσται γ. τὰ δὲ τηκτὰ λύε ὄξει· τηκτὰ τήκε καὶ ἐπίβαλε τοῖς ἑψηθεῖσι καὶ ὅλως ἐπίβαλ' αὐτοῖς λειωθέντα σὺν ὄξει· ἑνώσας ψῦχε, μάλαξε, ἔχε.

ΠΕΡΙ ΚΟΙΛΩΝ ἑλκῶν μὴ κακοήθων· μέθοδος πῶς δεῖ τὰ ἕλκη θεραπεύειν Γαληνοῦ

Κεφάλαιον λα.

Τὸ κοῖλον ἕλκος, ὑγρὸν ἐστὶ καὶ ῥυπαρόν· δεῖται οὖν φαρμάκου μετρίως ξηραινόντων ῥυπτόντων· εἴρηται πολλάκις ὡς ἐστὶ αὐτῷ ἅπασα φύσει χρήζει φαρμάκων. ἀλλ' αἱ μὲν ἀσθενέσεραι καὶ μαλακώτεραι, τὰ μαλακώτερα.

αἱ δὲ

αἱ δ' ἰσχυρότεραι, τῶν ἰσχυροτέρων· οὐ δὲ μὴν τὶ τῶν ξηροτέρων φαρμάκων ἰσχυρῶν, μαλακὰ κατὰ τὴν φύσιν. ἕλκος οὖν ὁσῳπερ ἂν ὑγρότερον ᾖ, τοσούτῳ μᾶλλον χρῄζει φαρμάκων ξηραινόντων· φύσει δὲ σώματος ὅλου ὁσῳπερ ἂν ὑγροτέρα τύχοι, τοσούτῳ μᾶλλον χρῄζει φαρμάκων ξηραινόντων ἧττον. ὥστε τῶν ἴσων ὑγρότητα ἐχόντων ἑλκῶν τὰ μὲν ἐν ξηροτέρᾳ τοῦ σώματος κράσει γινόμενα, μᾶλλον ξηραίνεσθαι δεῖται· τὰ δ' ἐν ὑγροτέρᾳ σώματος κράσει γινόμενα, τοσούτῳ καὶ δεῖσθαι δεῖται ξηραίνεσθαι, ὅσῳπερ ἡ φύσις τῆς φύσεως ὑγροτέρα τύχοι· τὴν γὰρ ἐπιφερομένην τῷ ἕλκει θεραπείαν, παραπλησίαν εἶναι χρὴ τῇ τοῦ ὅλου σώματος· ξηροτέρου οὖν ὄντος τῆς ἀραιᾶς σαρκός, ξηροτέρου χρῄζει γενέσθαι τὴν νέαν· ὥστε ἐπὶ πλέον αὐτὴν δεῖ ξηραίνεσθαι· καὶ ὅσῳπερ ἂν ἡ πλεῖον ξηροτέρα, τοσοῦτον προσφερόμενον φάρμακον εἶναι προσήκει ξηραντικώτερον. ἐφ' ὑγροτέρας φύσεως, εἰς τοὐναντίον ξηραινόντων ἐστὶ χρεία φαρμάκων, εἰς ὅσον φύσιν ἧττον ξηρά ἐστι. τοιοῦτον οὖν φύσει ἐστὶ λιβανωτός, ὡς πρὸς ἀνθρωπίνου φύσεως σώματος, πρὸς τὸ εὔκρατον ἐν μέσῳ, ὁμολογεῖ· τῶν δ' ὑγροτέρων μετρίως ξηραντικώτερον ὑπάρχει· ὥσπερ καὶ τῶν ἄκρως ξηρῶν, ὑγρότερος ἡ ρέμα. παραφυλάξεις οὖν ἀκριβῶς, ὡς ἐν ὑγροτέραις φύσεσι σαρκωτικός ἐστιν ὁ λιβανωτός· ἐν ξηροτέραις δ' οὐκ ἔστι· τὸ μᾶλλον πυοποιὸς γίνεται. λιβανωτὸς οὖν θερμός ἐστι μετρίως· ἧττον δ' ἐστὶ αὐτοῦ λεγόμενος θερμαντικῶν ξηραίνει· κρίθινον καὶ κυάμινον ἄλευρον, μᾶλλον λιβανωτοῦ ξηραίνει· οὐδαμῶς δὲ θερμότητος μετέχει· ἀριστολοχία τε, πάνακος ῥίζα μᾶλλον ξηραίνει τῶν ἄλλων ἁπάντων ὁμογενῶν. καὶ θερμοτέρα τὴν φύσιν ἐστί· ὀρόβινον, ἶρις, μεταξὺ τούτων καὶ τῶν προειρημένων ἐστίν· ἅπαντα ταῦτα ἐκ προσθήκης τὰ εἰρημένα ἐστὶ τῶν ξηραινόντων ῥυπτόντων. διαφέρουσι τούτων δὲ τῷ μᾶλλον καὶ ἧττον· καὶ τῷ τὰ μὲν ἔχειν ἐπικρατοῦσαν δύναμιν τὰς δύο ποιότητας. λέλεκται δ' ἐν τοῖς περὶ ἁπλῶν φαρμάκων λόγοις ὡς ἡ κεκαυμένη πλυνομένη πομφόλυξ, καὶ παραπλήσια τὰ ἀδήκτως ξηραινόντων σαρκωτικῶν ἐστί. καὶ ἡ καδμεία· ὁμοίως τὰ κεκαυμένα πλυνόμενα τῶν ὀστρέων ὄστρακα. σαρκωτικὸν ἐστὶ κοίλων ἑλκῶν καὶ τὸ χλωρὸν φάρμακον, τοῦτο ἁπλοῦν ἐστὶ πολυσύνθετον· ὡς ἐστιν ἰδεῖν πλεῖστα ἐφεξῆς ἀντιεμένη. ὁμοίως οὖν λογικὸς καὶ ἐν μεθόδῳ θεραπεύων, θεασάμενος ὁ παρὸν τὸ ἕλκος καὶ γνώσεται, ὅτι οὐ χρῄζει φαρμάκου ἕλκος. πλὴν μὲν τοῦ πρότερον προσαγαγὼν τινὰ προειρημένων σαρκωτικῶν, ἢ ἕτερα τῶν παραπλησίων θεασάμενος μηδὲν ὠφελούμενον ἕλκος, οὕτω πρὸς ἕτερον ἄλλο μεταβαίνειν.

εἰ μὲν

λ μᾶλλον

εἰ μὲν πλείων ὁ ῥύπος εἴη καὶ ὑγρότης ἧττον χωρὶς φλεγμονῆς, εἰδέναι προσήκει, ὡς ἐνδεεστέρου ξηραντικοῦ φαρμάκου καὶ ποιότητος αὐτῷ χρὴ μᾶλλον μικτέον. εἰ δὲ καθαρὸν καὶ ἀνικμον θεωρηθείη τὸ ἕλκος, πλέον τοῦ δέοντος ἐξήρανεν· ὥστ' οὐ τοίνυν αὐτῷ χρὴ ἡ κηρωτῆς ὑγρότητι μίξει ἀνιέναι. προσέχειν δὲ τούτῳ ἀκριβῶς τὸν νοῦν προσήκει. συμβαίνει γὰρ ἐνίοτε φαρμάκου μὴ πρέποντος ἐπιτεθέντος, συντήκεσθαί τι σαρκὸς ἐν ἕλκει· ὥστε ῥυπαρὸν αὐτὸ καὶ ὑγρὸν φαίνεσθαι. παραπλησίως τοῖς ἐνδεεστέρως ξηρανθεῖσι. ἀλλὰ τοῦτο σαφῶς τοῖς ἡμέραις διαγινώσκεται· κοιλότερον γὰρ ἑαυτοῦ συντηκόμενον ἕλκος γίνεται καὶ θερμότερον τοῖς χείλεσιν· ξηρότερα δὲ καὶ κοιλότερα καὶ τὰ περὶ αὐτὰ, καὶ τῆς φλεγμονῆς ἔστιν πολλάκις καὶ δάκνεται σαφῶς ὁ πάσχων. τὸ δ' ἕτερον ἕλκος τὸ ὑπὸ τῶν ἥττον ξηραινόντων ὑγρότερον φαινόμενον, οὐδὲν ἔχει τῶν προειρημένων.

## Ἔμμοτοι πυοποιοὶ ἀνακαθαρτικοὶ καὶ σαρκωτικοί. Κεφάλ. λβ.

Ἑλκῶν δ' ἐστὶν ἔτι ἁπλᾶ ἀνακαθαρτικά· οἱ φακοὶ ἑφθοὶ μετὰ μέλιτος· ἶρις μετὰ μέλιτος· πράσου ὁ χυλός· ἐκ θαλασσίου ὄστρακον· ναρκίσσου ῥίζα σὺν ῥοδίνῳ καὶ μέλιτι. πυοποιοῖς δὲ ἐπικειμένοις χρῶ τετραφαρμάκῳ τῷ βασιλικῷ καὶ τετραφαρμάκῳ λεγομένῳ· ἐπταφαρμάκῳ· ἐννεαφαρμάκῳ· καὶ τῷ ἀθανίτῳ καὶ τῷ μακεδονικῷ· ὧν τὰς σκευασίας ἐν τῷ ιε´ λόγῳ ἐκτεθείμεθα. Πυοποιὸς θαυμαστή.

Μαλάσσει πᾶσαν σκληρίαν μετὰ πάσης ἀνωδυνίας καὶ πυοποιεῖ· σαρκοῖ τε εἰς κοιλὰ συντηρήσεις ἀσφαλῶς· πεπτικὸς ἐστὶ καὶ μαλακτικός, ὡς δεῖ. Κηροῦ, τερεβινθίνης, μυελοῦ ἐλαφείου, στέατος μοσχείου, χηνείου στέατος, βοείου, βουτύρου, μέλιτος ἀνὰ γ΄. ῥοδίνου ὥστ' οὐ σμύρνης ἀνὰ ∠ π΄. σμύρναν μετὰ μέλιτος λεαινομένη καὶ ἀναλαβόντες εἰς ἀγγεῖον κεραμεοῦν καὶ ἀλλὰ ἐπὶ ἀνθράκων ἑψόμενα· εἶτα τοῖς ἄλλοις ἐπιβαλλόμενα τακέντα καὶ μιγνύντες πρὸς μέλιτος, ἀνελόμενοι χρώμεθα. Ἄλλο ἐπιθεμάτιον.

Ἀνακαθαρτικὸν, ἡ Αἰγυπτία θαυμασία. μέλι μετ' ἴσης τερεβινθίνης καὶ ῥοδίνου· ἢ ἀντὶ δὲ τοῦ ῥοδίνου βουτύρου ἐπὶ τῶν νευρωδῶν μορίων χρώμεθα ἀμαλακτικὰ ἐπὶ τῶν ἀνθράκων· ἐπὶ δ' ἰσχυροτέρας χρείας ἡμῖν ἑλκῶν ἀνακαθαρτικῷ τῇ τερεβινθίνῃ μετὰ μέλιτος ἴσου χωρὶς ἑ-

τέρου

Περὶ μύλτου

γίνου λινοῦς χρώματα. χρῶ δ' ἐμμότῳ πάνυ ὑπὸ τα-
λάσσης βεβαινουμένη, ἢ τὴν σκευασίαν ἐν τῷ περὶ ἁ-
πλῶν φαρμάκων λόγῳ προγεγραμμένην ἔχει καὶ
ἐλαίου χρήσεως, ἐν τῷ περὶ κρίνων τόπῳ. σκευάζεται δὲ
ἐκ μήλων. ὄξους κρίνων φύλλων χλωρῶν χυλοῦ,
τέλλων, δι' ἰσχυρότερον βούλεται ὅ τι νεωστὶ γυναῖ-
κας λούσῃ. σκευάζεται οὕτως. ἰοῦ ∠ δ. λεπίδ. οὐγ. α. ὄξ-
ους οὐγ. δ. μέλιτος οὐγ. θ. λεάνας μετὰ ὄξους ἑνώσας, τὸ μέλι κατα-
λαβὼν ἕψε ἐπ' ἀνθράκων ἕως κιρρὸν γένηται. χρῶ.

Ἄλλη ἔμμοτος ἡ χρυσῆ καλουμένη. ἡ χρυσῆ

Αὕτη ἀνακαθαίρει σαρκοῖ πρόσφατα παλαιά. μά-
λιστα πρὸς τὰ ἐν κεφαλῇ τετρυμενωμένα ὀστᾶ ξύων καὶ τῇ
θι διὰ μότων. ἡ σκευασία. ἄλλων κοινῶν. ψιμμυθίου
χαλκάνθ. ἀφρονίτρ. λυκίου ἀν. οὐγ. γ. ἀριστολοχ. μακρ.
ἀριστολοχ. στρογγύλης συμφύτου ὀρεινῆς ἀν. οὐγ. α. ὄξει
λεάνας τὰ ξηρά, ἀναλάμβανε τῇ ῥητίνῃ κηρῷ οὐγ. ς. ἐλαίου
οὐγ. θ. καὶ χρείας ἀναλύσας αὐτὸ μετὰ ῥοδίνου πλάστου ὡς
ἐλαιώδη σύστασιν ἔχειν. χρῶ. καὶ θαυμάσεις.

Ἄλλη κοίλων ἑλκῶν ἀναπληρωτική.

βουτύρ. στέατος μοσχείου προσφάτου. κηροῦ τερεβινθίνης ἀν.
ἀν. ∠ δ. ῥοδίν. ∠ ις. τήξας χρῶ. Ἄλλη

Ἡ ἔσφος λεγομένη Αἰγ... ἀναπληροῦσα τὰ κοῖλα.
ῥοδίνου. τερεβινθίνης. μέλιτος ἀν. οὐγ. β. ψιμμυθ. βουτύρ.
ἀν. οὐγ. α. τήξας, λιβάνου οὐγ. α. βάλε ὁμοῦ τε ξ(ὺν) ἑνώσας χρῶ.
Ἄλλη διὰ πείρας ἀναπληροῦσα τὰ κοῖλα καὶ καθαρὰ ἕλκη.
ῥοδίν. οὐγ. δ. κηροῦ οὐγ. β. τερεβινθίν. βουτύρ. μέλιτος ἀν. οὐγ. α. τή-
ξας ἅμα καὶ ἑψήσας ἐπιδίδου. χρῶ ἐμμότῳ. εἰ δὲ ῥυπαρὰ
εἴη τὰ ἕλκη, ἀνακάθαιρε πρότερον τοῖς προγεγραμμένοις
σαρκωτικοῖς τῶν κοίλων ἑλκῶν καὶ τετρυμενωμένων ὀστῶν.
Ἄλλη. ψιμμυθίου. λιθαργύρ. ἰσα. λεάνας
μετὰ οἴνου εὐώδους καὶ ἐλαίου καλοῦ χρῶ ἐμμότῳ μέχρις
ἀποτυλώσεως. Ἄλλη πρὸς τὰ κοῖλα καὶ δυσκα-
τούλωτα ἕλκη κακοήθη, τετυλωμένα. πρασίου χυλὸν
συμμίξας μέλιτι καθέψησον χρῶ. ξηρὸν ἀναπληροῦν
τὰ κακοήθη καὶ κοῖλα σφόδρα καλόν. ὀροβίν. ἀλεύρ. ∠ λ.
ἴρεως ∠ κ. λιθαργύρ. ∠ ιε. ἀριστολοχ. μακρᾶς ∠ ιε.
μάννης τῆς σμύρνης ἀν. ∠ ι. λεπίδ. καδμ. ἀν. ∠ ιε. ἐπὶ τῶν
καὶ μὲν ῥυπαρῶν δακτύλῳ ἐπίπασσε. ἐπὶ δὲ τῶν
καθαρῶν, ἔλαχιστον. ἐπιπεδῶν δὲ γενομένων ἑλκῶν καὶ ὅλως,
δεομένων τῆς πυρώσεως τῆς μόλις μαλάξας ταῖς ξηραῖς καθαρκου-
λίζον κατὰ τοῦ ἕλκους. ἄνωθεν δὲ μοτὸν οἴνῳ διαβεβρεγμένον ἐπιτίθει.

Περὶ τῶν κεφαλικῶν καλουμένων ξηρῶν φαρμάκων
ἀνακαθαρτικῶν τῶν ἑλκῶν καὶ σαρκωτικῶν κεφ. λγ.

Τὰ κεφαλικὰ ξηρὰ φάρμακα πρὸς πάντα τὰ ἐν σώματι δεόμενα
σαρκώσεως ἕλκη ποιεῖ. ἐξαιρέτως δὲ τοῖς ἐν κεφαλῇ μάλιστα

τετρυμ-

γαγγραινωμένοις ὀστέοις καὶ τοῖς ἐν ἄλλοις μέρεσι τοῦ σώματος· φθάνοντα δὲ ἐπὶ τῶν γαγγραινωμένων ὀστῶν τῶν λιπαινόντων χρῆσις καὶ τὰ ἐμπλαττόμενα, τοῖς ξηροῖς μόνοις χρώμεθα, ἀμέλει καὶ χωρὶς τοῦ γαγγραινῶδες τὸ ὀστοῦν, ὑπάρχειν αὐτοῖς χρηζόμενον· ἔστι δὲ τὰ κεφαλικὰ ξηρὰ τοιαῦτα.

Ἀσκληπιάδου ξηρὸν κεφαλικὸν τὸ Ξενοκράτους.

Τοῦτο ἐθεράπευσεν ὀλίγας συρριγγωθέντα, ἀναληφθὲν μέλιτι ἑφθῷ, καὶ ἐντεθὲν τῇ σύριγγι ὡς κολλύριον, ἐπιξηρόν. ὧδε· ὀρόβου κεκομμένου ἀνὰ οὐγγ. δ. ἴρεως Ἰλλυρικ. οὐγγ. β. ἀριστολοχ. λεπτῆς λεπίδ. χαλκοῦ μάννης ἀνὰ οὐγγ. α. κυνὸς καὶ πάνακος ῥίζης οὐγγ. α. βάλανοι· ἑνώσας χρῶ. Ἄλλο ξηρόν. ὀρόβων ∠ κ. ἴρεως· ἀριστολοχ. λεπτῆς ἀνὰ ∠ ι. λεπίδ. βρυωνίας ῥίζης ἀνὰ ∠ ε. χρῶ πρὸς τὸ ἀνακαθᾶραι μετὰ μέλιτος· πρὸς δ' ἀναπληρῶσαι ξηρῷ. Ἄλλο ξηρὸν κάλλιστον. τοῦτο ἐπετέλεσε τοὺς χρονίζοντας· ἀφίστησι τὰ τετυλωμένα ὑπερέχοντα· ῥύπτει καὶ καθαίρει· τὰ κοῖλα πληροῖ· σκευάζεται οὕτως· λεπίδος πιτύϊνης ξηρᾶς ἀνὰ ∠ ιβ. κισσήρεως ὀπτῆς, οἴνῳ ἐσβεσμένης· ἴρεως· ἀριστολοχ. λεπτῆς· σιλφίου ἀνὰ ∠ η. λιβάν. λεπίδ. ἀνὰ ∠ δ. χρῶ ξηρῷ καὶ μετὰ μέλιτος. Ἄλλο, ξηρὸν σαρκωτικὸν πρὸς πᾶν ἕλκος κοῖλον· ὀροβίν. ∠ κ. λιβάν. ∠ η. ἐν ἄλλ. ιη. φύκους ἀμύλ. ἀνὰ ∠ η. χρῶ. Ἄλλο ἀναπληρωτικὸν καὶ τὰ ἐν κεφαλῇ· ἀμύλου· ἄλικος· λιβάνου διαφανοῦς κεκαυμένου ἀνὰ οὐγγ. α. τὸ δὲ διαφανὲς Ῥωμαϊστὶ σφεκλάριον καλεῖται. Ἄλλο. Κολοφωνίαν καθ' ἑαυτὴν λεάνας πλήρωσον ἕλκος· σαρκοῖ τάχιστα. Ἄλλο. Κολοφωνίαν ἄμυλον· λίβανον· ἐν ἄλ. καὶ ψιμμύθιον· ἴσα ἑνώσας λείοις χρῶ. Ἄλλο· Σωκράτους θαυμαστὸν ἐπὶ γαγγραινωμένων ὀστῶν μάλιστα κεφαλῆς μετὰ τὴν ξύσιν ἐπιπασσόμενον. τάχιστα ποιεῖ φύειν τὰς σάρκας· γύρεως σιτίνου οὐγγ. α. ἐν ἄλ. β. κολοφων. λεπτῆς οὐγγ. α. ἑνώσας ἐπίπασσε καὶ μοτὸν ἐπιθεὶς, σκέπε ἐμπλάστρῳ τινὶ τῶν ἀπαλῶν σκευαζομένων ἀντὶ μοτοφύλακος, οἷα τὰ διὰ ψιμμυθίου καὶ [illegible].

Περὶ τῶν ὑπερσαρκουμένων ἑλκῶν καὶ καθαρτικῆς δεομένων καὶ τῶν ἰσχυρῶς ξηραινόντων. ἐν οἷς καὶ ἡ Ῥοδία Γάλλου. Κεφάλ. λδ.

Ἡ τῶν ὑπεραυξανομένων σαρκῶν ἐφ' ἑλκῶν καθαίρεσις ὑπὸ τῶν ἰσχυρῶς ξηραινόντων φαρμάκων γίνεται. οἷόν ἐστιν ἀσίας πέτρας ἄνθος καὶ τὰ τῶν ὀστρέων πάντων ὄστρακα κεκαυμένα καὶ ἐχῖνοι σὺν ταῖς σαρξὶ καιόμενοι καὶ σίφυ[illegible] ἐπιπασσόμενον καὶ χαλκοῦ ἄνθος καὶ ἡ τοῦ χαλκοῦ λεπίς. καθαιρετικώτερος δὲ ὁ ἰός.

Καθαιρετικὴ ἡ Ῥοδιακοῦ Ἥρας.

Κνιδίων ∠ θ. λεπίδ. ∠ ε. χαλκάνθ. ∠ γ. σχιστῆς ∠ α. ἐν ἄλ. β. τὴν ἡμίσειαν τῆς κνίδης καύσας, σβέσον οἴνῳ

αὐστηρῷ

αὐστηροῦ. λεῖα· ἐν ᾠῷ χρῶ. τινὲς δὲ λίτρας μὲν χαλκάνθου < ε'. βαλαυστίου(?) λεπίδος < γ'. καὶ τῆς κηκῖδος ὅλην καίουσι. ἔστι δ' ἡ Ῥοδία φησὶν ὁ Ἡρᾶς καὶ ἴσχαιμος ἀγαθή. ποιεῖ δὲ καὶ πρὸς νομὰς πάσας καὶ ῥευματικὰς(?) καὶ τὰ πλαδαρὰ τῶν ἑλκῶν. ἐπιστύφει καὶ ἐπουλοῖ. ἔστι καὶ ἀπουλωτική. τινὲς δὲ οὕτω σκευάζουσι τὴν Ῥοδίαν καὶ θαυμάζουσιν αὐτήν. χαλκίτεως ὠμῆς· μίσυος ὠμοῦ ἀνὰ < η'. λεπίδος στομώματος(?) < ιϛ'. κηκῖδος < η'.

## Ξηρὸν τὸ ψαρὸν καλούμενον.

Διαψιλίζον(?) μὲν καταπασσόμενον ἐπιστύφει· χυθὲν δὲ διὰ μήλης ἐμμιγνύμενον ἐπουλοῖ. σκευάζεται οὕτως. χαλκίτεως ὠμῆς λίτρα α'. μίσυος ὠμοῦ < ϛ'. χαλκάνθου < ιβ'. χαλκοῦ κεκαυμένου < ϛ'. λεπίδος < ϛ'. χρῶ ὡς μέλαινα(?). Ἄλλο πρὸς χρηστὸν(?) ἐπιστύφον. λεπίδος < δ'. ἰοῦ < α'. χρῶ. Ἄλλο. λεπίδος μάννης ἀσβέστου ἴσα ἐν ᾠῷ χρῶ. ποιεῖ καὶ πρὸς τὰ κακοήθη καὶ τὰς μύκας(?) δηλαδὴ ἀναιρεῖ μετὰ μέλιτος· πληρωθεῖσι(?) μετὰ κηρωτῆς. Ἄλλο ξηρὸν μέλαν ἐπουλωτικὸν πάσης ὑπεροχῆς. μίσυος κηκῖδος ἀνὰ < δ'. χαλκίτεως χαλκάνθου στυπτηρίας σχιστῆς λεπίδος ἀνὰ < β'. λειώσας χρῶ διὰ μήλης ὀλίγον ἐπιστιμμίζων τὸ ἕλκος. χρῶ δὲ ἐπὶ τῶν μεγίστων ὑπερσαρκωσάντων τοῖς περιεστραμμένοις ἐπὶ τοῖς ἑδρικοῖς πρὸς θύμους. Ἄλλο. ἔρια μὲν παρακεκαυμένα καὶ λεῖα ἐπιπαττόμενα τήκει τὰς πλαδαρὰς σάρκας ἐπὶ τῶν ἑλκῶν ταχέως ἀδήκτως. τὸ αὐτὸ ποιεῖ καὶ βαλαύστια λεῖα ἐπιπαττόμενα δακτύλως(?).

## Περὶ ἑλκῶν τῶν μὴ κακοηθῶν ὕλης δεομένων

## Γαληνοῦ. Κεφάλαιον λε'.

Ἐπὶ τῶν ὕλης δεομένων ἑλκῶν, πεπεῖσθαι χρὴ σκεπάσαι τὴν σάρκα συμφυεῖ τινι σκεπάσματι. ἀλλ' οὐκ ἐγχωρεῖ δέρμα γενέσθαι. πειρᾶσθαι οὖν σπουδάζειν(?) ἐκ τῆς ἐπιπολῆς(?) σαρκὸς τι τῷ δέρματι παραπλήσιον. ἐπεὶ τοίνυν τὸ δέρμα τῆς σαρκὸς ξηρότερόν ἐστι καὶ πυκνότερον, εἰ ξηραινομένην καὶ στυφομένην τὴν σάρκα δέρματι παραπλησίαν ἐργασόμεθα. ἀλλ' ἀρκεῖ τὸ λοιπὸν ξηραίνοντα καὶ στύφοντα προσφέρειν. καὶ γὰρ τὰ τῶν ἐναίμων ἑλκῶν κολλητικὰ φάρμακα, ξηραίνοντ' ἐστὶ καὶ στύφοντα. ἀλλ' ἐν τοῖς ἐναίμοις φέρειν(?) τραυμάτων κολλήσεσι μόνον τὸ ἐπιρρέον ἄνωθεν ξηραίνεσθαι χρή. ὡς ἂν ἀκριβῶς(?) μένον τὸ πεπονθὸς μόριον κολληθῇ. ἐν δὲ ταῖς ἐπουλώσεσιν οὐ μόνον τὸ ἄνωθεν ἐπιρρέον, ἀλλὰ καὶ τὸ προσκείμενον ταῖς σαρξὶν ὑγρὸν ἐκδαπανᾶσθαι προσήκει.

πολλῷ

πολλῷ οὖν ξηρότερον εἶναι χρὴ τὸ ἐπουλωτικὸν τοῦ κολ-
λητικοῦ· ὥστε μὴ μόνον ἐκδαπανῆσαι τὸ περιττὸν ἐν
τῇ σαρκί, ἀλλὰ καὶ αὐτοῦ τοῦ κατὰ φύσιν ἅψασθαι.
ἐπιτήδεια δ' εἰς τοῦτό ἐστι κηκὶς ὀμφακῖτις, καὶ τὰ
τῆς ῥοιᾶς λέμματα καὶ τῆς αἰγυπτίας ἀκάνθου ὁ
καρπὸς καὶ ὅσα χωρὶς τοῦ στύφειν ἰσχυρῶς ξηραίνει· τοιοῦτόν
ἐστι καὶ μυρσίνη· ἀδήκτως δὲ ξηραίνει καὶ ἐπουλοῖ, ὀστέα
κεκαυμένα καὶ πεπλυμένα· καδμεία κεκαυμένη καὶ
πεπλυμένη· μόλυβδος κεκαυμένος· πεπλυμένος· τούτων
ἰσχυρότερα χαλκῖτις καὶ μίσυ καὶ στυπτηρία σχιστή·
ἔτι δὲ τούτων ἰσχυρότερος χαλκὸς κεκαυμένος· καὶ τού-
του μᾶλλον ἡ λεπὶς τοῦ χαλκοῦ· εἰ δὲ πλυθῇ· ἀδή-
κτα γίνεται φάρμακα καὶ ἐπουλοῖ τὰ παλαιὰ ἕλκη.

## Ἄλειμμα τὸ σπανικὸν ἐκδαπανοῦν καὶ κατασῆκον θαυμάσιον

χοιρείου στέατος προτεταριχευμένου· κηροῦ ξανθοῦ ἀνὰ οὐγ. α΄·
τοῦ σβεννυμένου οὐγ. γ΄· νίτρου δραχ. α΄· χολῆς ταύρου οὐγ. γ΄· ῥητίνης
οὐγ. α΄· ταῦτα πάντα ὁμοῦ προεψήσας καὶ διηθήσας, ὥστε
χλιαρὸν καὶ λεῖον, ἑνώσας χρῶ. τινὲς δὲ καὶ ἀκάνθου ∠ ε΄
βάλλουσι· ἐπίχεε οὖν τούτοις ἔξωθεν τοὺς ἄνθρακας καὶ
μίσγε, ἕως ἐν στερεῷ ἀγγείῳ ὄξος καὶ σάπωνα ἀνὰ οὐγ. α΄
προαναλελυμένον· κόπτε δὲ μὴ βράσῃ· κίνει ἕως ἂν ἔλ-
θῃ εἰς σύστασιν· χρῶ.

## Ξηρὰ ἐπουλωτικὰ τῶν κακοήθων ἑλκῶν

## Κεφάλαιον λϛ΄.

Ὀστρέων κεκαυμένων ∠ ιβ΄· μάννης ∠ ϛ΄· καδμείας ∠ δ΄· ἑνώσας χρῶ.
Ἄλλο. λιθαργύρου· ψιμμυθίου ἀνὰ ∠ η΄· (χωρὶς) μολίβδου· μυρσίνης ξηρᾶς
κηκίδος ἀνὰ ∠ δ΄· ἐν ἄλλ. η΄· ἑνώσας χρῶ. Ἄλλο ξηρὸν ἐπουλω-
τικὸν τὸ διὰ λιβάνου. καδμείας ψιμμυθίου μάννης· λιβάν. ἴσα. ἐν
ἄλλ. καὶ ἀμύλ. ἴσον· τινὲς δὲ ἀντὶ λίβανον βάλλουσι· ἑνώσας χρῶ.
Ἄλλο, τὸ διὰ ῥοιδαρίου πάνυ θαυμαστόν. ψιμμυθ.
οὐγ. β΄· ἐν ἄλλ. ϛ΄· ἀμύλ. οὐγ. α΄· ἐν ἄλλ. β΄· λιθαργύρ. λιβάν. ἀνὰ οὐγ. β΄·
ῥοιδαρίου οὐγ. α΄· ἐν ἄλλ. β΄, τόδε σφόδρα ἐπουλοῖ. Ἄλλο ὃ ἐπου-
λοῖ καὶ τὰ χρόνια· πιτυοσφλοιοῦ ∠ ϛ΄· κεράτου ἐλάφου κεκαυ-
μένου· ψιμμυθ. ἀνὰ ∠ δ΄· ἰοῦ ∠ β΄· καδμείας ∠ η΄· ἐν ἄλλ. καὶ μάννης
∠ ϛ΄· χρῶ ὡς κάλλιστῳ. Ἄλλο τὸ διὰ ἀριστολοχίας·
ἀριστολοχ. λεπίδος ∠ ϛ΄· πιτυοσφλοιοῦ ∠ δ΄· ἐν ἄλλ. ϛ΄· κισσήρ.
κεκαυμέν. καὶ οἴνῳ ἐσβεσμένης· κολοφωνίας ξηρᾶς ἀνὰ ∠ δ΄· ἴρεος
∠ β΄· ἐν ἄλλ. καὶ μάννης ∠ ϛ΄· ἑνώσας χρῶ· καὶ τοῦτο σφόδρα ἐπου-
λοῖ. Ἄλλο ἐπουλωτικόν. κισσήρ. κεκαυμέν. οἴνῳ ἐσ-
βεσμένης ∠ η΄· μάννης· λεπίδ. ἀνὰ ∠ δ΄· ἑνώσας χρῶ θαρρῶν.
Ἄλλο διὰ κισσήρ. κισσήρ. κεκαυμέν. οἴνῳ ἐσβεσμέν.
∠ η΄· μάννης· ἴρεως· κολοφων. ἀνὰ ∠ δ΄· λεπίδ. ∠ η΄· λείοις χρῶ.
Κατουλωτικὸν θαυμάσιον· στυπτηρίας σχιστῆς οὐγ. δ΄· βρέχε
ἐν ὕδατι ξε. α΄· ὅταν διαλυθῇ, βρέχων ἐν αὐτῷ ὀθόνιον

ψιλὸν

ψιλὸν καθαρὸν παλαιόν· ξήραιν' ἐν ἡλίῳ· φύλαττε· καὶ ἐπὶ
χρείᾳ κόπτων ἐξ αὐτοῦ ἐπίπαττε τοῖς ἕλκεσι· ἐπὶ τῶν περὶ ἕδραν καὶ τῶν
ἤτοι ἑλκῶν χρονίων καὶ ἐπὶ ὤτων πυορροούντων· οἴνῳ βρέξας τὴν
στυπτηρίαν· βάπτων ὀθόνιον, ξήραιν' ἐν ἡλίῳ καὶ τρίβων· ἔνθες εἰς τὰ
ἕλκη· ἐπὶ δ' ὤτων ξύσον καθαρὸν ἁπαλὸν ἀντὶ τῆς ὀθόνης
βάψας, ξήραινε· χρῶ. Ἄλλο ξηρὸν ἐπουλωτικὸν τὸ
διὰ ἀρνογλώσσου· ἀρνογλώσσου ξηρὸν μετὰ ῥιζῶν κόπτε· σῆθε·
χρῶ θαρρῶν. Ἄλλο ἐπουλωτικόν· ψιμμυθίου < η· κηκίδος·
μυρσίνης· χωρὶς μολύβδου ἀνὰ < δ· ἑνώσας χρῶ. Ἄλλο τὸ
διὰ ὀστρέων· ὄστρεα κεκαυμένα· ψιμμυθίου· καδμίας· μάννης ἴσα·
ἑνώσας χρῶ. Ἄλλο ξηρὸν ἐπουλωτικόν· ψιμμυθίου· λιθαρ-
γύρου ἀνὰ < η· κηκίδος· μυρσίνης ἀνὰ < δ· σμύρνης < α· μολύβδου < δ·
χρῶ ξηρῷ. Ἄλλο· κισσήρεως κεκαυμένης· οἴνῳ ἐσβεσμένης·
λεπίδος ἀνὰ < ϛ· ἴρεως· κολοφωνίας ἀνὰ < δ· λείου· χρῶ.
ξηρὸν ἀναπληρωτικὸν κοίλων καὶ κακοήθων ἑλκῶν ὃ ἐπαίρα-
σε· ὀροβίνου < λ· ἴρεως < η ἐν ἄλλ. κ· λιθαργύρου < ιε· μάν-
νης < η ἐν ἄλλ. ιε· γῆς σαμίας < ι· λεπίδος < ε· ἀριστολοχί-
ας λεπτῆς < ιε· ἐν ἄλλ. καὶ καδμίας < ε· χρῶ καὶ πρὸς τὰ χει-
ρώνεια καὶ ἐπούλου. Τοῦτο ἐπὶ μὲν ῥυπαρῶν ἑλκῶν διαπη-
λὰξ ἐπίπασσε· ἐπὶ δὲ καθαρῶν, λεῖον· καὶ ἐπαίνω,
πλύμμα ἐξ οἴνου τιθεὶ. Ἐπουλωτικὴ διὰ λαδάνου
ἐπιτετευγμένη οὐ μόνον ἐπουλοῖ ἀλλὰ τύλους ἐκ-
κόπτουσα· χαλκίτεως ὠμῆς· λιθαργύρου· λαδάνου ἀνὰ < κδ·
ἀσφάλτου < η· κηροῦ < οβ· μυρσίνου ἐλαίου λιτρ. α· οἴνου
κοτύλ. α· ἐν τῷ χειμῶνι χρῶ καὶ ἀπολλωνίῳ καὶ ἀνειμένῃ ἐμμό-
τῳ. Ἄλλη Ἀνδρομάχου· λιθαργύρου < λβ· χα-
λκάνθου < η· στυπτηρίας σχιστῆς < ιβ· κηροῦ < ρ· λεπίδος < η·
ἀσφάλτου· λαδάνου ἀνὰ < λβ· ἐλαίου μυρσίνου λι. ιε· οἴνου
παλαιοῦ συμφόρως τὸ ἀρκοῦν· χρῶ. Ἄλλη· ἀσφάλτου·
λαδάνου ἀνὰ < η· λεπίδος· μυρσίνης· λιθαργύρου ἀνὰ < δ· κη-
ροῦ < κδ· ἐλαίου μυρσίνου < λ· ἐν χειμῶνι δὲ λϛ· οἴ-
νου τὸ ἱκανόν· χρῶ ὡς προείρηται.

## Ἐμπλάστρα ἐπουλωτικαὶ τῶν μὴ κακοήθων ἑλκῶν. Κεφάλαιον λζ.

Ἡ διὰ καδμίας ἐπουλωτικὴ ἀνακαθαίρει καὶ σαρκοῖ ἀνε-
θεῖσα ῥοδίνῳ καὶ τὰς οὐλὰς ὁμοχρόους ποιεῖ· ἰᾶται χίμε-
θλα· ῥαγάδας καὶ τὰς περὶ ἕδραν διαθέσεις. Σκευάζεται οὕτως·
χαλκίτεως κεκαυμένης· τερεβινθίνης ἀνὰ λιτρ. β· καδμίας κεκαυ-
μένης καὶ οἴνῳ ἐσβεσμένης λιτρ. α· κηροῦ οὐγγ. α· ἐν ἄλλ. δ· ἐλαίου
μυρσίνου λιτρ. γ· οἴνου ἀρκοῦντος· λείου τὴν χαλκῖτιν καὶ κα-
δμίαν καὶ ἐπίβαλλε τὰ τηκτά· χρῶ. Ἄλλη καλή·
καδμίας· χαλκίτεως ἀνὰ < κε· κηροῦ < μη· τερεβινθίνης
< κδ· μυρσίνου λιτρ. α· οἴνου τὸ ἀρκοῦν. Ἄλλη
ἐπουλωτικὴ κωμίστη· ποιεῖ καὶ πρὸς τὰ πυρίκαυστα· θαυ-
μασίως ἐπουλοῖ οὕτως· ψιμμυθίου· λιθαργύρου· κριθῶν κε-

καυμένων

κεκαυμένου ἀν. οὐγ. α. κηροῦ οὐγ. ϛ. ῥοδίνου ἢ μυρσίνου οὐγ. …
λεῖου τοῦ λιθαργύρου, καὶ ψιμμυθίου μετ' οἴνου. κηρὸν δὲ τῆξον
μετ' ἐλαίου καὶ ἆρον ἀπὸ πυρὸς καὶ διηθήσας, ἐπίπασσε
τὰς κεκαυμένας χρυσάς(?) κεκομμένας σεσησμένας. ἑνώσας·
ψύξας ἐπίχεε ἐν θυΐᾳ τοῖς λειωθεῖσι· ἀναλαβὼν χρῶ.
Ἄλλη, διὰ λαδάνου δυσεπούλωτα καὶ τὰ παλαιά.
λιθαργύρου < ρ. πίσσης < ν. λαδάνου < κε. ἰοῦ. χαλκοῦ
κεκαυμένου ἀν. < π. λεπίδος < β. ἐλαίου μυρσίνου < ϛ.
ἐν ἄλλ. ϛ. ἕψε τὴν λιθάργυρον μετ' ἐλαίου. μεσαζούσης
δὲ τῆς ἑψήσεως ἐπίβαλε ἰὸν λεπίδα χαλκοῦ. καὶ ἕψε
μέχρις ἀμολύντου· τήξας πίσσαν καὶ διηθήσας, ἐπίβαλε τοῖς
ἑψηθεῖσι καὶ ἑνώσας ἆρον ἀπὸ πυρὸς ἀμολύντου γενομένου.
καὶ ψύξας τὸ σφοδρὸν τοῖς ζέσασι(?) ἐπίβαλε τὸ λάδανον
λειωθὲν μετ' οἴνου ἑνώσας. ψύξας ἐπίχεε ἐν θυΐᾳ μαλάξας
χρῶ πρὸς τὰ κακοήθη καὶ σύριγγας. Ἄλλη. καδμίας
χαλκίτεως ἀν. οὐγ. δ. κηροῦ, κολοφων. μυρσίν. ἀν. οὐγ. α.
καὶ οἴνου τὸ ἀρκοῦν. Ἄλλη. χαλκοῦ κεκαυμένου. χαλκοῦ
ἀκαύστου ἀν. οὐγ. β. καδμίας οὐγ. ϛ. χαλκίτεως κεκαυμένου
λίτρ. … κηροῦ λίτρ. α. φοινικίνης μυρσίν. λίτρ. β. οἴ-
νου τὸ ἀρκοῦν. Λευκὴ ἔμπλαστρος δυσεπούλωτος καὶ
διὰ πεῖραν πολλῆς ποιοῦσα πρὸς τοὺς ἁπαλόχρωτας, γυναῖ-
κας, εὐνούχους καὶ παῖδας. καλεῖται ἡ ἀπὸ τῶν αὐτομάτων
ἑλκῶν. λιθαργύρου οὐγ. ιϛ. ψιμμυθίου λίτρ. α. κηροῦ οὐγ. ιε.
μάννης λιβάν. ἀν. οὐγ. ε. τερεβινθίνης οὐγ. α. ὕδατι λίτρ. β.
ἐλαίου … ἕψε ἔλαιον. ὕδωρ. λιθάργυρον ψιμμύθιον.
ἀναλωθέντος δὲ ὕδατος καὶ ἀμολύντου γενομένης, ἐπί-
βαλε τὸν κηρόν. εἶτα τὴν ῥητίνην. καὶ ἆρον ἀπὸ πυρὸς
ἐπίπασσε τὴν μάννην.

## Περὶ τῶν κακοήθων καὶ δυσεπουλώτων ἑλκῶν. Κεφάλαιον λη'.

Καθὼς ἤδη προείρηται, ὅσα τῶν μὲν οὐδεμία κακοήθεια πρόσ-
εστι τοῖς ἑλκουμένοις μέρεσι, δύο τούτοις ἔχομεν σκοπούς.
ἕνα μὲν ἀποκρούεσθαι τὸ ἐπιρρέον. ἕτερον δὲ διαφορῆσαι
τὸ ἐστηριγμένον ἐν τῷ πεπονθότι μορίῳ. γίνεται δὲ ταῦτα
δι' ἐναντίων δυνάμεων. ἀναστέλλει μὲν τὸ ἐπιρρέον, ὅσα στύ-
φειν πέφυκε φάρμακα. διαφορεῖ δὲ τὸ περιεχόμενον ἐν
πεπονθότι, τὰ δύναμιν θερμαντικὴν ἔχοντα. τὰ μὲν οὖν στύφ-
οντα τραχύνει καὶ μετὰ τοῦτο ἀναιρεῖ(?) … θερμαίνοντα δὲ καὶ διαφο-
ροῦντα δριμέα τυγχάνοντα δάκνει τὰ ἑλκούμενα σώματα.
οὕτω συμβαίνει διὰ τῶν τραχυνόντων καὶ δακνόντων ἀγωγὴν(?),
ὑποβάλλεσθαι πολὺ τὴν ἐπιρροὴν τοῖς πεπονθόσι μορίοις.
τούτου γενομένου, φλεγμαίνει καὶ διαβιβρώσκεται τὸ ἕλκος.
μεμνῆσθαι χρὴ τούτων πρὸς ἀπαλλαγὴν(?) λόγου. ἤδη πλειονάκις
προειρημένου, ὡς ὅσα ἐπιθωρικά(?) καὶ ὅσα κακόχυμα καὶ

προσέτι

προσέτι μαλακόσαρκα καὶ ἱκανῶς εὐαίσθητα
σώματα· ὅτι ῥᾳδίως εἰς φλεγμονὴν αἴρεται δηχθέν-
τα· περιέχεται δ' ἐν τοῖς μαλακοσάρκοις τά τε λευκῶν
γυναικῶν σώματα καὶ τὰ τῶν παιδίων· εὐνούχων τε καὶ ἀν-
δρῶν λευκῶν τὴν χροιὰν καὶ γυναικείως βιούντων· εὑρεῖν
τοίνυν χρὴ κατὰ τὸ δυνατὸν τοιαύτην ὕλην φαρμά-
κων ὑφ' ἧς ξηρανθήσεται τὸ ἕλκος χωρὶς δήξεως
καὶ ὀδύνης· ἐπεὶ ἀδύνατόν ἐστιν ἀκριβῶς γενέσθαι
μὴ γινώσκοντας τοὺς πράττοντας ἰατρούς, ὅπως συνήρμοσε
τὸ ἐπιβληθὲν φάρμακον· προσέχειν οὖν χρὴ πότερον
ἢ πέρα τοῦ χρησίμου ἐξήρανε τῆς κατὰ τὸ ἕλκος ὑγρότητος·
ἢ εἰ ῥύπον ἔχοντα, πόσον ἀπέρρυψε· καὶ τοῦτο ἐκ δύο
... καὶ τοιοῦτο χρῆναι ... μὴ χρίσῃς, οὖν φανῇ καθαρὸν
καὶ ξηρὸν ἕλκος· ὁπόταν δ' ἴδῃς αὐτὸ τοιοῦτον, μεταβαί-
νειν εἰς ἄλλο φάρμακον ὁμοειδὲς μέν, ἀσθενέστερον δὲ τοῦ
προτέρου· τὰ γὰρ ἰσχυρὰ τῷ δάκνειν τὰ ἤδη γενόμενα καθα-
ρὰ ἕλκη ὀδυνηρὰ γινόμενα, ῥεύματα κινεῖ καὶ φλεγμονὰς
ἐγείρει· πρῶτον οὖν ἐπὶ τῶν τοιούτων σωμάτων, κενοῦν χρὴ πᾶν
σῶμα καὶ ἀπέριττον φυλάσσειν· ἐφ' ὅσων δὲ φλεβο-
τομίαν παραλαμβάνειν εἰ τὸ αἷμα πλεονάζειν φαί-
νοιτο· ἐπὶ ἄλλων δὲ καὶ καθαίρειν καὶ φλεβοτομεῖν· τινῶν
δὲ τὸ ὑποκείμενον τοῦ ἕλκους ἐκκόπτεται κιρσόν· ἢ σπλη-
νὸς ἢ ἥπατος προέχοντος πεπονθότος· οὐ μόνον δὲ ἐπὶ τῶν
ἐν σκέλεσι καὶ ἐν κνήμαις γινομένων κακοηθῶν ἑλκῶν
ταῦτα ποιεῖν χρή· ἀλλὰ κἀπὶ τῶν ἐν χερσὶν ἢ ἑτέρῳ
μέρει τοῦ σώματος· καὶ γὰρ ἐπὶ νεανίσκου τινὸς ἕλκος χρό-
νιον ἔχοντος περὶ τὸν καρπόν, τὴν ἄνωθεν ἐφ' ἕλκος φερο-
μένην φλέβα διελόντων καὶ κατὰ τὴν ἐν ὀλίγαις ἡμέραις
ἰασάμην αὐτόν, ἤδη ὡς ἀπὸ ἐτῶν ε' ἐνοχλούμενον τῷ
πάθει· τινῶν δὲ καὶ ἀμυχαῖς ἀναχαράσσειν χρὴ
τὰ περὶ τὸ ἕλκος μέρη· ἐνίων δὲ καὶ περικόπτεται τῶν
χειλῶν τοῦ ἕλκους τὸ τύλον· ἐὰν δὲ μηδενὸς τούτων δεό-
μεθα, τὴν ποσότητα τῆς ὑγρότητος καὶ σκοπεῖν τὸν
ἅμα τῷ ῥύπῳ· καὶ ὅλως καὶ τὸ ἁρμόδιον ἴδιον
φάρμακον ἀναμνησθέντες ἑκάστου τῶν ἁπλῶν ὅτι
ξηραίνει μέν, οὐ μὴν ἀπορρύπτει τὸν ῥύπον τοῦ ἕλκους·
ὅτι ἀπορρύπτει μέν, οὐ μὴν ξηραίνει γενναίως προσθ...
...ομένους, ἐκ ποίας τάξεώς ἐστιν ἕκαστον·

Ἐπουλωτικόν· μολύβδου κεκαυμένου δρ. ς'·
καδμείας δρ. δ'· χαλκοῦ δρ. β'· κολοφωνίας· μυρσίνης ἀν-
ὰ λίτρας β'· οἴνου παλαιοῦ εὐώδους τὸ ἀρκοῦν·· Ἄλλο·
Καδμείας· ψιμμυθίου ἀνὰ δρ. δ'· κηροῦ ἐλαίου μυρσίνου
ἀνὰ δρ. ς'·· Ἄλλο· Καδμείας· λιθαργύρου· ψιμ-
μυθίου

μυρσίνης ἐλαίου οὐγ. α΄. κηροῦ οὐγ. δ΄. Ἄλλο δια
λαδάνου. λεπίδ. οὐγ. α΄. ἀσφάλτ. τερεβινθίν. ἀν.
∠ ξ΄. κηροῦ. λαδάνου ἀν. οὐγ. γ΄. μυρσινίν. οὐγ. γ΄. σκευ-
μάζονος δὲ τὸ ἔλ. ἕψε τὸ κηρὸν μετὰ τοῦ ἐλαίου καὶ τῆς
ἀσφάλτου. ἐπίβαλε τὴν τερεβινθίνην καὶ ἐπίχεε τῷ
λαδάνῳ καὶ τῇ λεπίδι πελειωθεῖσι ἐν θυΐᾳ.

## Περὶ ἁπλῶν φαρμάκων ξηραινόντων ἀδήκτως ἕλκη κακοήθη. Κεφ. λθ΄.

Ἐγὼ ἐφεξῆς ἅπαντα λέξω τὰ ξηραίνειν ἕλκη δυνάμενα φάρμακα χωρὶς τοῦ δάκνειν ἢ τραχύνειν ἐπιφανῶς. ξηραίνει ἡ λημνία σφραγὶς μετρίως καὶ καδμεία πλυθεῖσα μετ' οἴνου ἐν τοῖς ὑπὸ κυνὸς καύμασι, καὶ ἕλκη ξηραίνουσα ἐπὶ ὅλης μετ' ὀξυκράτου αὐτὴν ἀποτιθεμένη. καὶ ἐπὶ τῶν λίαν κακοήθων ἑλκῶν περαιτέρω ταύτης. ἰσχυρότερον δὲ φάρμακόν ἐστι χαλκῖτις κεκαυμένη πεπλυμένη ὥσπερ ἡ καδμεία καὶ ἐξηραμμένη. ἡ γὰρ ἄκαυστος ἰσχυροτέρα ἐστὶν ὡς ἐσχάρας ἐργάζεσθαι. παραπλήσιον δ' αὐτῇ φάρμακόν ἐστιν ὁ κεκαυμένος ἰός. ἄκαυστος γὰρ ἰσχυρότερος ὥσπερ ἡ ἄκαυστος χαλκῖτις. ἀλλὰ τῇ χαλκίτιδι σύμμετρος μέν ἐστι. καὶ πολλῷ μᾶλλον τῆς χαλκάνθου ξηραντικωτάτη μεταλλικῶν ἐστι. ἀμυδροτέρα δὲ χαλκίτιδος τὸ μίσυ καὶ σῶρι παρὰ τὸ μᾶλλον καὶ ἧττον. τὸ στίμμι στυπτηρικωτέρας τοῦ σώρεως καὶ ξηραντικωτέρας ἐστὶ δυνάμεως. ἐπιτηδειότατον τούτοις φάρμακον τὸ διφρυγές. ἰσχυρῶς γὰρ ξηραίνει καί τι μετρίως δάκνον. στυπτηρίαι πᾶσαι ξηραίνουσιν ἱκανῶς. σχιστὴ δὲ σφοδρῶς. ἀλλὰ προφυλάττεσθαι αὐταῖς μόναις ἐπὶ τῶν τοιούτων χρῆσθαι. ἡ δὲ χρυσοκόλλα ἡ χυτὴ καὶ ἡ μεταλλευτή, τῆς αὐτῆς ἐστι δυνάμεως. ἄριστον ἐστὶ φάρμακον εἰς τοιαῦτα ὁ μόλυβδος κεκαυμένος. μετὰ τοῦτο σῶρι καὶ στίμμι. σκωρία δὲ μολύβδου ξηραίνει καλῶς. ὥσπερ καὶ σιδήρου λεπίς. μάλιστα ἡ τοῦ στομώματος. χαλκοῦ δὲ λεπὶς πρὸς τῷ ξηραίνειν καὶ ῥύπτει. διὸ καὶ θεραπεύει ἕλκη μᾶλλον τῶν ἄλλων. τὰ μὲν οὖν μεταλλικὰ πάντα πεπλυμένα πλέον χρὴ καθαρὰ προσφέρεσθαι. καὶ ξηραίνοντα ἐπιτήδεια ἐν τοῖς κακοήθεσιν ἕλκεσι. θαυμαστῶς γὰρ ὅτι ξηραίνοντα λεπτὰ χωρὶς δήξεως. τῶν πετρῶν καὶ κηρύκων ὄστρακα πορφυρῶν τε καὶ ὀστρέων κεκαυμένα καὶ πεπλυμένα. καὶ τὸ διφρυγὲς κεκαυμένον ἀδήκτως ξηραίνει μαλακὰ σώματα. τῆς αὐτῆς ἐστι δυνάμεως καὶ ὕαλος κεκαυμένη. καὶ τὸ συνιστάμενον πωρῶδες ἐν τοῖς χαλκείοις τοῦ θερμοῦ ὕδατος, μετὰ τοῦ ξηραίνειν καὶ στύφει κηκίς. καὶ τὰ σίδια κεκαυμένα καιόμενα ξηρὰ θαυμάσιον γίνεται φάρμακον ἐπὶ τῶν δυσεπουλώτων καὶ κακοήθων ἑλκῶν ἐπιπαττόμενον. κάλλιστον τῆς πείρας ἐφ' ἡμῶν βεβαιωθὲν πολλάκις ἐστὶν ὁ φλοιὸς τῆς καρπ. παρδαλ. ξηρὸς λεῖος ἐπιπαττόμενος ἕλκεσι. ποιεῖ πρὸς κακοήθη καὶ σηπεδονώδη τῶν ἑλκῶν πολίον μικρόν. σαπρότης ξύλων δύο ἀμπέλου, ῥυπτική. πολυποδίου ῥίζα. σταφυλῖνος. μάλιστα ἀγρίου ῥίζα καὶ φύλλα. σκόρδιον. κενταύριον

καὶ

καὶ καθ' ἑαυτὰ καὶ μετ' ἀλλήλων συντιθέμεθα..

## Τρόπος χρήσεως τῶν προειρημένων ἁπλῶν φαρμάκων. Κεφάλ. μ'

Ἐξ ἀνάγκης τοιαῦτα τῶν ἑλκῶν ὑπάρχοντος μεταφο-
ρᾶς δεῖ μεστά· οὐκ ὀλίγα δ' αὐτῶν ῥυπαρὸν ἔχει δαψι-
λῆ· ἐπειδὰν οὖν καταπάττειν αὐτοῖς μέλλωμεν τῶν
προειρημένων ἁπλῶν φαρμάκων, ἢ τῶν ἐξ αὐτῶν
συγκειμένων πολυειδῶν προσκαματτειν, χρὴ δι' ὀθονίου μα-
λακοῦ τοῦ καθαροῦ καὶ ξηροῦ τὸ ἕλκος ἐκμάττειν· εἶτα πληρώ-
σαντα τῷ φαρμάκῳ τὰ κοιλότητα, καταβάλλειν ἔξωθεν
πλάτυσμα τῶν λεπτυνόντων τὰ χείλη· εἶτα σκεπά-
σαντα τὸ πλάτυσμα ὀθονίῳ, σπόγγον ἐξ ὕδατος ψυ-
χροῦ ἢ οἴνου ἐπιτιθέναι. περὶ παντὸς δὲ χρὴ ποιεῖσθαι
ψυχρὸν ἀεὶ τὸν σπόγγον διαμένειν· ὃ γίνεται, εἰ συνε-
χῶς ἐπιστάζοι τις ἐν τῷ σπόγγῳ ὕδωρ ψυχρὸν ἄνευ
τοῦ ἐπιλύειν τὸν ἐπίδεσμον.

## Περὶ ἐπιδέσεως καὶ μέθοδος πῶς δεῖ θεραπεύειν. Κεφάλαιον μα'.

Ἐπιδέσεσι χρηστέον, ἤπερ ἐπὶ τῶν καταγμάτων χρώμε-
θα· εἰ μὲν οὖν εἷς ὁ ἐπίδεσμος εἴη, ἀρχέσθω ἀπὸ τῆς ὑποκειμέ-
νης καθ' ἕλκους, ἐπὶ τὰ ἄνω νεμέσθω· κἂν ἀγκ-
κυρήιον ἢ τὸ πῆχυν, κἂν γόνυ, κἂν σφυρόν, κἂν ἀγκών·
κἂν ὅλως οὖν ἄρθρον μέσον· εἰ δὲ δυσὶν ἐθέλοι χρῆσθαι
ἐπιδέσμοις καθάπερ ἐπὶ τῶν καταγμάτων, ὁ μὲν πρότερος ἀπὸ τοῦ
ἕλκους πρὸς τὴν ἄνω χώραν νεμέσθω μόνην· ὁ δὲ δεύτερος,
ἀρχέσθω μὲν ὁμοίως ἀφ' ἕλκους καὶ πρότερον κάτω
νεμέσθω· ἔπειτα δ' ἐπὶ ἄνω τελευτῶν εἰς ταὐτὸν τῷ προτέρῳ
περαινέσθω· σὺν γὰρ τοῖς ἄλλοις ἀγαθοῖς καὶ τὰ διὰ στρογγυ-
λότητα δυσεπούλωτα ἕλκη, ἐκ τῆς ἐπιδέσεως ἐπίπεδα
κατασκευάζεται. λύειν προσήκει μὴ καθ' ἑκάστην ἡμέραν·
ἀλλὰ διὰ τρίτης· καὶ λύσαντας μὴ προσφέρειν ὕδωρ τῷ
ἕλκει· ἀλλὰ δι' ὀθόνης μαλακῆς καθαρᾶς ξηρᾶς ἀπο-
μάττειν τὸν ἰχῶρα· εἰ τὰ περὶ ἕλκους ἐμφαίνει τι
φλεγμονῶδες, ἐπιβάλλειν χρὴ κατὰ τὸ πλάτυσμα
ἔξωθεν πολὺ τὸ πέριξ περιλαμβάνοντος τοῦ φαρμάκου ἐκ
τῆς φοινικίνης ἢ τῶν ὁμοίων οὐχ ἁπλῶς λεπτυνόντων· ἀλλὰ
σὺν φύλλοις οἴνου προσαλειφομένων, ὅσον ἐπὶ δὲ χρῆσαι πλέον.
τὸ ἔλαιον μήλινον ἢ μύρσινον ἔστω· εἰ δέ τις σκληρότης ἐπὶ
κρατεῖν φαίνοιτο κατὰ τὰ περὶ τοῦ ἕλκους, διὰ ἐλαίου πάλαι-
οῦ ἢ κικίνου λυτέον τῆς φοινικίνης· ἀσφαλέστερον δὲ τῷ ὑ-
ποκειμένῳ χωρίῳ ἐπιβάλλειν τινὰ τῶν ἀποκρουστικῶν φαρ-
μάκων

μάκων· μάλιστ᾽ ἐπὶ τῶν ἐν σκέλεσιν ἑλκῶν καὶ φλέβα κιρ-
σώδη ὑποκειμένην ἐχόντων· μοχθηρᾶς δὲ τῆς φλεβὸς καὶ με-
λαγχολικώτερον αἷμα περιεχούσης, ἐκκόπτειν καὶ ἀφαιρεῖν
αὐτὴν ὡς προείρηται· συνέβη δέ ποτε φλεβὸς τοιαύτης ἐκ-
κοπείσης τὸ μὲν ἕλκος ὀλιγοδύνως ὅσον οὔπω ἐπουλωθῆναι ἐπιμελουμένων.
καίτοι ἐνιαυσιαῖον ὄν· ἀντ᾽ αὐτοῦ δὲ μετὰ διαίρεσιν ἄλλην
ἡ φλὲψ ᾗ ἐξεκόπη γενέσθαι ἕλκος κακόηθες ἐπουλωθῆναι
μὴ δυνάμενον· ἄμετρον οὖν ἐπὶ τοιούτων τὴν ἰσχὺν τῶν ξηρα-
πτομένων θεραπευομένους ἀπὸ φλεβοτομίας ἐναρξάσθαι· κα-
θαίρειν δ᾽ ἐφεξῆς φαρμάκῳ μελαγχολικὸν ἐκκενοῦντι
χυμόν· σὺν τούτῳ δὲ καὶ φλεγματικόν· ἐπειδὴ καὶ οὗτος
ἐπιρρεῖν πέφυκε κατὰ τῶν κιρσωδῶν γενέσθαι· μετὰ δὲ ταῦτα
ἀποτεμεῖν τὴν κεκιρσωμένην φλέβα· καὶ κενώσαντας
δι᾽ αὐτῆς δαψιλὲς αἷμα, πρὸ τῆς γενομένης ἐπὶ
τῆς φλεβὸς διαιρέσεως ἰάσασθαι· ὅταν δ᾽ ἀκριβῶς ἤδη
φαίνηται συνουλωμένη· συνέχοντα τὴν δίαιταν τῶν κακο-
ηθῶν ἑλκῶν ἐπιτηδεύειν ὡς προείρηται· μελαίνας δὲ
χρὴ τὴν κοιλίαν συνεχῶς ὀρροῦ γάλακτος συνεψομένου αὐτῷ
κνίκου καταρραινομένου ὀξυμέλιτος· διδόναι κατὰ κοτύλην
μέχρι κυάθων ε΄, προσδιδόναι τε πλείους ἡμέρας· κάλλ-
ιστον καὶ γάλα πίνειν νεόβδαλτον καθ᾽ αὐτὸ καὶ μεθ᾽ ὕδατος
θερμοῦ ὀλίγου ἢ γλυκέως πρὸ ὀλίγου τῶν σιτίων· ἅμα γὰρ κατὰ τὸ
χρηστὰ τοὺς χυμοὺς καὶ ἀποκλύζει τὴν κοιλίαν· συμφέρει
ἐκ διαλειμμάτων καὶ ἀλόης διδόναι κατὰ πικρὰν ∠ α΄. λουτρὰ
δὲ γλυκέα ἐκ πηγῶν δεῖ· κρεῖσσον δὲ τοῖς θειώδεσιν ἢ
ἀσφαλτώδεσιν ἢ στυπτηριώδεσι παραβάλλειν. εἰ δὲ
ἀδύνατον ἀλουτεῖν ἐπὶ τῶν θεραπευομένων χωρὶς βλάβης ὅ-
λου σώματος· οὐ χρὴ λούειν γυμνὸν ἔχοντα τὸ ἕλκος·
ἀπεχέσθωσαν δὲ πάντων δριμέων ἐδεσμάτων καὶ πο-
μάτων δυσπέπτων καὶ κακοχύμων.

## ΠΕΡΙ Συνθέσεως ἐμπλαστρωδῶν φαρμάκων, ἐπὶ κακοήθων ἑλκῶν. Κεφάλ. μβ΄.

Ἐπειδὴ τὸ κεφάλαιόν ἐστι τῆς τῶν κακοήθων καὶ
δυσεπουλώτων ἑλκῶν θεραπείας ἐν τῷ ξηραίνειν ἀδήκτως
τὸ φάρμακον· ὑγραίνει δὲ πάντων μάλιστα ὕδωρ
καὶ ἔλαιον· ἀπέχεσθαι χρὴ τούτων· ὡς μήτε αὐτὰ καθ᾽ ἑαυ-
τὰ προσφέρειν, μήτε μετὰ τῶν προειρημένων ξηρῶν φαρ-
μάκων μιγνύναι· κηρὸν οὖν ἐκλέγεσθαι χρὴ πρόσφ-
ατον καὶ λιπαρόν· καὶ ἐν ἡλίῳ μαλάσσοντα ἀναλα-
μβάνειν αὐτῷ τινα τῶν προειρημένων ξηρῶν· μὴ παρόντος
ἡλίου θερμοῦ, παρὰ πυρὶ μαλάσσειν, ἢ εἰς ὕδωρ
ζέον

ζέον καθιέντα τὸν κηρόν· οὐ γὰρ ἀναμίγνυται δι' ὅλου τὸ ὕδωρ αὐτῷ· συμμετρία δὲ τῆς μίξεώς ἐστι τοιάδε· μέτριον μὲν εἴ τις βούλοιτο γενέσθαι τὸ φάρμακον, τὸ τέταρτον μέρος προσβάλλειν τῷ κηρῷ τῆς μεταλλικῆς. ἰσχυρότερον δὲ τοῦτο γίνεται εἰ τὸ τρίτον μέρος μιχθείη. ἀσφαλεστέρα δ' ἡ χρῆσις [illegible] ἐστιν ἡ διὰ τῶν ἀδήκτων. οὐ σμικρὰ διαφορὰ γίνεται καὶ παρὰ τὸ μαλακώτερον ἢ σκληρότερον ἀπεργάζεσθαι τὸ σκευαζόμενον· οὐ δυνατὸν δὲ ὑπὲρ πάντων αὐτῶν ἓν φάρμακον σκευάσαι ἁρμόδιον. πολλαχῶς δὲ γινώσκων ταῦτα καὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεις ὁ γεγυμνασμένος ἱκανός ἐστι κρίνειν ὅσα τοῖς περὶ ἡμᾶς γέγραφε πρὸς τὰ ἕλκη φάρμακα.

Ἡ διὰ σώρεως θαυμαστὴ ἐστὶ δὲ καὶ ποιοῦσα πρὸς τὰ ἀποστήματα ὅσα πολλοὶ σκευάζουσιν [illegible] τυγχάνουσι [illegible] καὶ τὴν παρακείμενον. ἔχει δ' οὕτως.

Σώρεως < κδ΄. χαλκίτεως < λβ΄. ἐν ἄλλ. λϛ΄. στυπτηρίας σχιστῆς. ἀσβέστου. σιδίων ἀνὰ < ιϛ΄. λιβανωτοῦ < λβ΄. κηροῦ < ρκ΄. στέατος μοσχείου < ρξ΄. ἐν ἄλλ. ρξ΄. ἐλαίου παλαιοῦ λίτρ. α΄. εἰ μὴ παρείη μόσχειον στέαρ, μιγνύσθω χοίρειον παλαιόν· ἀνάλων μέντοι τὸ δὲ ταύρειον [illegible] ἐστὶν ἢ προσφορώτερον· τὰ ξηρὰ κόψας σῆσον λεπτοτάτῳ κοσκίνῳ· ἔπειτα πάλιν λειοτρίβησον. τήξας δὲ τὰ τηκτὰ καὶ ἄρας ἀπὸ πυρός, ἐπίπασσε τὰ ξηρά· ἑνώσας ἐπίχεε ἐν τῷ ἀγγείῳ τὴν στυπτηρίαν καὶ τὴν σῶρυ· λιβανωτὸν καὶ ἄσβεστον [illegible] ἀκριβῶς μετ' οἴνου στύφοντος καὶ εὐώδους χρῶ. ἐγὼ δέ φησιν ὁ Γαληνὸς σκευάσας τὸ φάρμακον, ἀλλ' οὐκ [illegible] στέαρ ἔτι τῶν μ΄ ἔβαλλον ἀεί, καὶ τὰ κακοήθη [illegible] τῶν πολυχρονίων ἑλκῶν ὠφέλησεν [illegible] μᾶλλον. ἔστι δὲ τοιαῦτα ἑλκῶν ἀφ' ὧν αὐτὸ [illegible] μόριον ἐν καιρῷ [illegible] ὥστε [illegible] ἀμέμπτως ἢ τὸ [illegible] φαινόμενον [illegible] τὸ [illegible] μεταβάλλειν τοῖς διαφθείρειν αὐτό.

Ἄλλο πλάτυσμα κάλλιστον. δόκιμον.

Μολίβδου κεκαυμένου πεπλυμένου οὐγ. δ΄. καδμείας οὐγ. γ΄ [illegible]. χαλκοῦ κεκαυμένου οὐγ. α΄. λιβανωτοῦ οὐγ. α΄ [illegible]. στυπτηρίας σχιστῆς οὐγ. α΄. ἰοῦ [illegible] ιβ΄. κηροῦ οὐγ. ϛ΄. μυρσίνου ἐλαίου λίτρ. α΄. οἴνου τὸ ἱκανόν.

Γαληνοῦ πρὸς τὰ κακοήθη καὶ χειρώνια.

Κηροῦ. πίσσης. ἀσφάλτ. ἀνὰ λίτρ. α΄. μάννης. ψιμμυθίου. ἰοῦ ἀνὰ οὐγ. ϛ΄. σιδίων. χαλκίτεως. ἀκακίας. αἰγυπτ. ἴρεως. ἀριστολοχίας στρογγύλης. χαλκάνθου ἀνὰ οὐγ. α΄. ἐν ἄλλ. δ΄. ἀριστολοχίας μακρᾶς. χαλκοῦ κεκαυμένου ἀνὰ οὐγ. β΄. ἐλαίου παλαιοῦ ἢ κικίνου λίτρ. α΄. τὰ ξηρὰ λέαινε σὺν ὄξει ἐπὶ πολλὰς ἡμέρας· τήξας τὰ τηκτά, ἐπίχεε [illegible]. Ἄλλη Ὀριβασίου [illegible] χρυσίτιδι κεκαυμένη [illegible] ξηρὰ λεῖα [illegible] ἐγώ φησι καὶ [illegible].

καὶ τῆς κυπρίας λεπτομέρῃ ἐχρησάμην· καὶ ἡ τοῦ μέλανος χαμαιλέοντος ῥίζα ἐμπασσομένη καλῶς ποιεῖ· καὶ οἱ διακεκαυμένοι ὄστρακα, ἄνωθεν δ' ἐπιτίθει πτίσμα τῶ οἴνῳ καὶ ἐπίδησον. Ἄλλη Γαληνοῦ, ἀκηρος ξηρά.

λιθαργύρου λίτ. γ΄. ἐλαίου κικίνου ἢ παλαιοῦ λίτ. ϛ΄. ὄξους δριμέος λίτ. β΄. λεπίδος χαλκοῦ ἰοῦ ἀνὰ οὐγ. β΄. τὴν λιθάργυρον σὺν τῷ ὄξει καὶ τῷ ἐλαίῳ μεταξὺ ζεούσης δ' ἐμπάσσας ἐπίβαλε τὰ μεταλλικὰ λελειωμένα μετὰ ὄξους πλείστου ἢ μέλανος, ἐν ἡλίῳ ξηρανθέντα καὶ ἐψόμενα μέχρις ἀμολύντου· ἐν τῷ ἐμβάλλειν τὰ μεταλλικά, αἴρειν χρὴ τὴν κακκάβην ἀπὸ τοῦ πυρός, ἵνα μὴ ὑπερζέσῃ καὶ ἐκχυθῇ. Δυνατὸν τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου καὶ ὄξους ἕψειν· μετὰ τὸ ἀλυσθῆναι ἐπιβάλλειν, εἶτα ἐπιπάσσε τὰ μεταλλικὰ χνοώδη λεῖα γενόμενα καὶ πάλιν ἕψειν, ἕως ἀμολύντου. Τοῦτο φάρμακον καὶ ῥύπτει καὶ σαρκοῖ καὶ τὰ ἤδη τετυλωμένα ξηραῖνον, συνάγει καὶ κλείει. καὶ εἰ καλῶς διαιτώμενος τις εἴη, οὐκ ἀναλύονται. Χρὴ τὰ παλαιούμενα δυσεπούλωτα ἀνὰ χρόνον καθαίρειν μόνον αὐτὸ φάρμακον ἐπιτιθέν, καὶ μὴ προστιθέναι πλεῖον μὴ σαρκώσαν εἴη γεγονὸς ἐν αὐτοῖς, ἐμπλαστικὰ ὠφελεῖ καὶ πυοποιεῖ· καὶ τοσαῦτον ξηραίνει. λύσας δὲ καὶ ῥοδίνῳ διαχρίτης. εἰ δὲ καὶ τοῦ στομώματος τοῦ σιδήρου λεπίδα βάλης, ἀμείνον γίνεται. Ἐλευσάνατος τὸ ξηρὸν ἔμπλαστρον, βάλλων καὶ λιθ. φρυγίου οὐγ. α΄. ἄλλοτε δὲ χρυσοκόλλης οὐγ. β΄. ὥστε καὶ ἀμφότερα προσβαλεῖν. κάλλιστα δ' εὗρον ἐπιβαλόμενος καὶ μεγάλα τραύματα· ὁ μὲν οὖν Γαληνὸς τῶν γε πρὸ αὐτοῦ συγγραφέων· νυνὶ δ' οἱ σκευάζουσιν οὕτως. λιθαργύρου ἰοῦ λεπίδος χαλκοῦ ἀνὰ οὐγ. γ΄. ἐλαίου παλαιοῦ λίτ. ϛ΄. ὄξους λίτ. β΄. ἑψοῦσι προσέτι προστιθέασι λίθου φρυγίου οὐγ. α΄. καὶ φασὶν αὐτὸ χρηστὸν διαλύειν. ἔστι δ' ἡ σύνθεσις αὕτη ἁρμοδία.

## Ἄλλη Γαληνοῦ πρὸς ὑπερσαρκώματα

Κηροῦ ῥοδίνου ἀνὰ λίτ. α΄. ψιμμυθίου ἅλατος ἀμμωνιακοῦ οὐγ. α΄. ἐν ἄλλ. δ΄. λεπίδος χαλκοῦ β΄. λιβάνου στυπτηρίας σχιστῆς ἰοῦ σιδίων ἀνὰ οὐγ. α΄. τὰ τηκτὰ τήξας ἐπίβαλε τοῖς ξηροῖς λελειωμένοις, ὡς οἶνος καὶ ἐπὶ τῶν ἀνθράκων κάλλιστον.

Πρὸς τὰ κακοήθη νεμόμενα κοῖλα ἕλκη μάλιστα ἐν τοῖς κνημίοις.

λιθαργύρου ψιμμυθίου μαστίχης στέατος αἰγείου ῥοδίνου ἐλαίου ἀνὰ οὐγ. ϛ΄. ὠῶν τὰ πυρρὰ ε΄. λιθάργυρον ἕψε μετὰ ῥοδίνου καὶ στέατος· εἶτα μαστίχην βάλε καὶ ψιμμύθιον καὶ ψύξας μικρόν, ἐπίβαλε τὰ ὠά.

Πρὸς τὰ ἐν τοῖς κνημίοις μάλιστα κακοήθη διαστήματα.

Θέρμους ξηροὺς καύσας καλῶς καὶ λειώσας, ἐπίπασσε δακτύλῳ καὶ ἐπιτίθει πτίσμα τῶ οἴνῳ· τοῦτο καθαίρει καὶ σαρκοῖ καὶ ἐπουλοῖ.

## Περὶ τῶν ἀναλυομένων ἑλκῶν κεφ. μγ΄.

Ἕλκη τινὰ ἐπουλούμενα, πάλιν μετὰ ὀλίγον χρόνον, αὖθις φλεγμαίνει καὶ ἀναρρήγνυται· ποτὲ μὲν διὰ τὸ ὑποκείμενον ὀστοῦν ἢ ἐπικειμένην σάρκα ἐνίοτε, ὅτε δὲ λεπταὶ μὲν καὶ οὐλαὶ εἶναι δοκοῦσαι· πάλιν δὲ ἐπιρρέοντος χυμοῦ ὑλικοῦ τοῦ γεωδῶς καὶ διαφθειρομένης, φλεγμονῆς γίνονται καὶ πάλιν ἀναρρήγνυνται. τῆς οὖν ἐπαναστάσεως χρὴ ξηραντικοῖς ἐπιτιθέναι ὡς ἀποστῆναι τὴν λεπίδα τῶν ὑποκειμένων ὀστοῦ. ῥαδίως οὖν ἀναπτύσσουσι, αἱ λεπίδες τῶν ὀστῶν, εἰ μήκωνος ἀγρίας καὶ σύκης φύλλα μετὰ ἀλφίτων καὶ οἴνου καταπλάσσῃ· μετὰ ὑοσκυάμου σπέρματος καὶ χαλκάνθου, ἰσα ἐπιτίθει. καὶ πολυκέδανος ῥίζα λεία ἐπιπασσομένη λεπίδας ὀστῶν ἀφίστησι χωρὶς ἀλγήματος καὶ τοῖς περιεστραμμένοις ξηροῖς κεφαλικοῖς μάλιστα τοῖς διὰ σιλφίου.

γρ. ὑοσκυάμου χωρὶς σπέρματος

Ἄλλο

Ἄλλο ξηρὸν πρὸς τὰ χρονίζοντα καὶ δυσεπούλωτα ἕλκη θαυμαζόμενον. Λεπίδος χαλκοῦ, λιβάνου ἀνὰ οὐγγ. β′, στυπτηρίας σχιστῆς, ἀλόης, ἀμμωνιακοῦ ἀνὰ οὐγγ. δ′, σιδίων, ψιμμυθίου ἀνὰ οὐγγ. α′, χρῶ ξηρῷ. εἰ δὲ βούλει καὶ μετὰ κηρωτῆς. Ἄλλο πρὸς τὰ χρονίζοντα καὶ ῥυπαρὰ ἕλκη καὶ ῥευματιζόμενα. Κισσήρεως [illegible] οὐγγ. ϛ′, θείου ἀπύρου οὐγγ. α′, κόπτε, σῆθε, χρῶ. ποιεῖ καὶ καθ᾽ ἑαυτὴν ἡ κίσσηρις ξηρὰ λεία ἐπιπασσομένη. Ἄλλη ἐπουλωτικὴ καὶ τῶν χρονίων ἑλκῶν ἐν δακτυλίοις καὶ παντὶ τῷ σώματι. Ἀσβέστου πεπλυμένης ὕδατι πολλάκις ἀποχεομένου τοῦ ὕδατος καὶ ξηραμένης ἐν ἡλίῳ οὐγγ. α′, κιμωλίας οὐγγ. α′, κηροῦ, λιθαργύρου, ὕσσωπος ἀνὰ οὐγγ. β′, ἐλαίου μυρσίνου ἢ ῥοδίνου οὐγγ. γ′, [illegible] καὶ ὄστρεον κεκαυμένον λεῖον ἐμβάλλω οὐγγ. α′. λεάνας τὰ ξηρὰ ἐν θυΐᾳ μετ᾽ οἴνου καὶ τήξας τὰ τηκτὰ καὶ ψύξας ἐπίβαλλε ἐν θυΐᾳ, ἑνώσας χρῶ. Ἰᾶται δὲ καὶ τὰ ἐν δακτυλίοις χρόνια καὶ κακοήθη ἕλκη καὶ τὰ ἀπορρηγνύντα πάντα καὶ μάλιστα τὸ δι᾽ ἱδρῶτος. ἰδίως δὲ [illegible] καὶ παρ[illegible] τῆς ῥίζης ὁ φλοιὸς ἐπιπασσόμενος λεῖος. κενταύριον τὸ λεπτόν. [illegible] λεῖος. [illegible] ξύλον [illegible]. σταφίδος ἡ ῥίζα παλαιὰ ξηρὰ κοπτομένη καὶ [illegible] ἀλφίτων ἴσον μέτρον φυραθέντα καὶ ἐν χύτρᾳ καιομένη καὶ λεῖα ἐπιπασσόμενα. πολυγόνου ῥίζα λεία. σίδια ῥοιᾶς κεκαυμένα καὶ λεῖα ἐπιπασσόμενα. ἔλαιον ἐν ᾧ σκίλλης βολβὸς ἑψηθεὶς [illegible] ἐπιχριόμενον τοῖς ἕλκεσι χωρὶς μοτῶν. σίδια ῥοιᾶς ἐν οἴνῳ ἑψηθέντα καὶ λεῖα κηρωτῇ ῥοδίνῃ ἀναληφθέντα καὶ ἐπιτιθέμενα. πάντων δὲ κρεῖττον ποιεῖ ἡ δι᾽ ἐχιδνῶν θηριακὴ Ἀνδρομάχου ῥοδίνῳ ὀλίγῳ διαλυομένη καὶ αὐτῇ ἐμπλάστρου ἐπιτιθεμένη. Ἄλλο καλόν. Σανδαράχην λεπτοτάτην ποιήσας ἀναλάμβανε στέατι ἀρκτῴῳ καὶ ἐπιτίθει. ἢ τὴν ἀρμενιακὴν βάλε ὁμοίως ἢ καθ᾽ αὑτὴν ἐπίπασσε.

## Πρὸς τὰ ἐν δακτυλίοις ἕλκη

### Κεφάλαιον μδ′.

μύρτα σὺν οἴνῳ καταπλάσσειν. πολυγόνου ῥίζαν λείαν καταπλάσσειν μετὰ τῶν [illegible] ξύλων [illegible] ἐπίπασσε. κράμβης φύλλα μετὰ τήλεως ἀλεύρου καταπλάσσειν μετ᾽ ὄξους. ἢ βράθυος φύλλων ὁμοίως. [illegible] ὀρθῶν ὁμοίως. σιδηρίτιδος φύλλα σὺν μέλιτι. ἔλαιον ἐν ᾧ σκίλλα ἐναφεψηθεῖσα [illegible] ἐπιχριόμενον χωρὶς μοτῶν. [illegible] τοῖς ἕλκεσι.

### Πρὸς τὰ ἐν ἀκρωτηρίοις [illegible] Κεφάλ. με′.

Κράμβης φύλλα λεία μετὰ μέλιτος σινωπίτιδος ἀναλάμβανε κηρωτῇ καὶ ἐπιτίθει. Ἄλλο. κλιβάνου ὄστρακον παλαιὸν λεῖον μετ᾽ οἴνου αὐστηροῦ καὶ ἑνώσας τῇ δι᾽ ὠῶν κηρωτῇ χρῶ. ἢ τῇ διὰ πομφόλυγος ἐπιχρίσας ἑνώσας χρῶ.

### Πρὸς σκώληκας ἐν ἕδρᾳ. Κεφάλ. μϛ′.

Σκώληκας ἀναιρεῖ τοὺς ἐν ἕδρᾳ γινομένους [illegible] λεῖον καταπλασσόμενον. [illegible] ἀγρίας κεκαυμένης [illegible] καταπλασσόμενον. καλαμίνθη. χυλὸς [illegible] προστιθέμενος. Θεόδωρος φησὶ ψιμμύθιον καὶ στυπτηρίαν ἴσα λεάνας [illegible] ὕδατι καταχρίσας [illegible] ψι-

μμυθίου

μυρσίνης, ἀψίνθιον, βαλαυστίον. Ἄλλο. πτυέλων νήστεως ἀνθρώπου μετὰ βραχέος μέλιτος· ἀναιρεῖ δὲ καὶ τοὺς ἐν ὠσὶ σκώληκας καὶ ὅλως ἐπὶ χρονίων ποιεῖ.

## Πρὸς νομὰς καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν. Κεφάλ. μζ΄.

Νεμόμενα καὶ σηπεδονώδη ἕλκη καλεῖται τὰ ἐπινεμόμενα τοὺς πέριξ τόπους· ἀπὸ ξιδίας καλοῦσι νομάς· καὶ δέονται ὅλως τῶν σφοδροτέρων φαρμάκων αἱ τοιαῦται διαθέσεις· ἀμέλει καὶ καυστηρίοις ἐπὶ αὐτῶν χρώμεθα πολλάκις. Ξηρὸν κάλλιστον ποιοῦν πρὸς νομὰς, σηπεδόνας, πολύποδας, ἀκροχορδόνας, μυρμηκίας, θύμους, αἱμορροΐδας ἐν ἕδρᾳ, ἀδήκτως. μίσυος ὠμοῦ, χαλκίτεως ὠμῆς ἀνὰ ∠ π. ἐν ἄλλ. κ. ὤχρας ∠ γ. σανδαράχης ∠ δ. ἀσβέστου λείου συμπλήρωσιν ∠ β. διφρυγοῦς ∠ δ. ἐν ἄλλ. χρῶ.

## Ξηρὰ ἐσχαρωτικὰ πρὸς νομάς. Κεφάλ. μη΄.

Μήλινον ἐσχαρωτικὸν καὶ τύλων ἐκκοπτικὸν, ξηραινόμενον καὶ προστριβόμενον πυρίνοις μήλοις· ἔστι δὲ καὶ στυπτικὸν καὶ τῶν δυσαλθῶν ἑλκῶν ἀπομακτικόν. εἰ δέ τις ἐπὶ λειότητα χρήσαιτο τῷ φαρμάκῳ, τότε δεῖ τοῖς πυρίνοις τοῖς μήλοις χνοΐζειν ἐπιπολῆς τὸ ἕλκος. ἔχει δὲ οὕτως· χαλκίτεως ὠμῆς ∠ π. καδμείας ∠ δ. στίμμεως(?) νήστεως ἀναλάμβανε ἐπὶ τοσοῦτον ὡς ἂν τὸ μόνον νοτίζειν τὸ φάρμακον· εἶτα ποιήσας ἐκ μηλίνου [illegible] καὶ [illegible] ξήραινε ἐν σκιᾷ, κοῦφον σκεπασθὲν ἐν θήκῃ [illegible]· ἀναλάμβανε χρῶ. πρὸς ἄλλης φαρμάκων φαιὸν καλεῖται καὶ ἔστι· λειοῦται [illegible] ἐν ἡλίῳ ἐν τοῖς ὑπὸ κύνα καύμασι· ξηρανθὲν ἀναλαμβάνεται. ἔχει χαλκίτεως ∠ ιβ. καδμείας ∠ π. Ἄλλο ξηρὸν τὸ πολυχρηστὸν λεγόμενον· ἔστι δὲ μήλινον. ἀσβέστου οὐγγ. β. ἀρσενικοῦ οὐγγ. α. ὕδατι λειώσας τὸ ἀρσενικὸν ἀκριβέστατα, ἐπίβαλε τὴν τίτανον· λείου ἐφ' ἱκανόν. εἶτα πληρώσας τὴν θυίαν ὕδατος καὶ ἐάσας καθίστασθαι, πάλιν ἀπόχεε τὸ ὕδωρ, καὶ ἕτερον ἐπίβαλε, καὶ ἀνακινήσας καὶ ἐάσας καθίστασθαι, πάλιν ἀπόχεε τὸ ὕδωρ· καὶ τοῦτο ποίει ἐπὶ [illegible]. εἶτα πληρώσας τὸ σκεῦος ὕδατος καὶ ἀνακινήσας, ἔα ξηρανθῆναι ἀνακινῶν καθ' ἡμέραν· δαπανηθέντος δὲ τοῦ ὕδατος, ἐπίβαλε ἕτερον ὕδωρ· τοῦτο ποίει μέχρις ἡμερῶν μ. ἐν τοῖς ὑπὸ κύνα καύμασι· ξηράνας εἰς ὀστράκινον σκεῦος ἀπόθου ἐν οἴκῳ ἀνωτάτῳ ἀνοτίστῳ. χρῶ. ἐσχαροῖ δὲ ἀδήκτως καὶ καθίστησι ἰσχυρῶς. ποιεῖ καὶ πρὸς τὰς ἐν στόματι σηπεδόνας ἐν οὔλοις γινομένας θαυμαστῶς· καθίστησι καὶ τὰς [illegible]. μελαίνει ὀδόντας. δυνατὸν ἐν ὀστρακίνῃ μεταβάλλειν αὐτὸ μετὰ τὸ λειωθῆναι ἐν θυίᾳ ὅλως [illegible]. χρῶ καὶ τοῖς φαγεδαινικοῖς ἕλκεσι καὶ τοῖς ὁμοίοις ἀναπασσόμενον πρὸς δυσουλώτοις. Ἄλλο πρὸς σηπεδόνας ἐν παντὶ σώματι καὶ πρὸς νομάς. ἀσβέστου, χαλκίτεως ἀνὰ ∠ β. ἀρσενικοῦ ∠ α. χρηστέον τούτῳ καὶ πρὸς τὰ ἐν φάλαγγι [illegible] καὶ πρὸς σηπεδόνας· ἀλλὰ τὰ κατασηπόμενα καταλαμβάνον· καὶ πρὸς ἄνθρακας καὶ ἀναφέρειν [illegible] ἀπὸ ῥινός. ποιεῖ καὶ πρὸς σύριγγας μετὰ [illegible] ἀναληφθὲν καὶ ὡς κολλύριον ἐντιθέμενον.

Ὀριβασίου πρὸς νομὰς αἰδοίων καὶ μάλιστα τὸ μέγιστον [illegible] λεγόμενον. κικίδος, κυτίνων, ἀριστολοχίας στρογγύλης, βαλαυστίων, λεπίδος, χαλκίτεως ὠμῆς ἀνὰ ∠ π. χαλκάνθου ∠ ζ. [illegible] ∠ δ. σιδίων ∠ α. ἐν ἄλλ. δ. ἐντίθεται τοῖς αἰδοίοις ὡς τὸ [illegible] μετὰ μέλιτος. ποιεῖ καὶ πρὸς τὰς

μη

μὴ βαθείας νομὰς παραπλησίως τῷ ἀνθηρῷ τροχίσκῳ:

## Ξηρὰ πρὸς νομάς. Τὸ διὰ χάρτου ξηρὸν πρὸς νομάς. Κεφάλαιον μθ'.

Λεπίδος χαλκοῦ, χάρτου κεκαυμένου ἀνὰ < κδ'. ἀρσενικοῦ < ιβ'. ἐν ἄλλῳ ις'. θείου ἀπύρου < ιβ'. μολύβδου κεκαυμένου < δ'. οἱ δὲ ς'. ὁ χάρτης καίεται κατ' ἰδίαν καὶ λειοῦται καὶ ἀναμίγνυται τοῖς μετὰ ταῦτα λειωθεῖσι γενομένοις. χρῶ δ' αὐτῷ πρὸς τὰς ἐν στόματι σηπεδόνας καὶ τὰς ἐν λοιπῷ σώματι τὰς ὑγράς, ξηρῷ καταπάσσων. πρὸς δὲ τὰς ξηροτέρας, ῥοδίνῳ φυρῶν. ἐνίοτε καὶ μέλιτι βραχὺ σὺν ῥοδίνῳ μιγνύς. ἐγὼ δὲ τοῦ μολύβδου < ς'. βάλλω. ἐν ἄλλῳ λίτρας α'. Ξηρὸν πρὸς νομὰς παλαιὰς ποιεῖ καὶ πρὸς τὰς ἐν στόματι αἱμορραγίας. λέγω δὴ τὰς ἐκ τῶν οὔλων κατὰ συνέχειαν καὶ τὰ ὑπερσαρκοῦντα. ἔχει δ' οὕτως. γρ. πάσσε. χαλκίτεως κεκαυμένης < μ'. μίσυος κεκαυμένου < λ'. χαλκάνθου κεκαυμένου < π'. ἐν ἄλλῳ η'. χαλκοῦ κεκαυμένου < ι'. σανδαράχης < ε'. ἀρσενικοῦ < β'. ἐν ἄλλῳ β' S''. χρῶ θαρρῶν. Ἄλλο ξηρὸν πρὸς νομὰς δόκιμον. ῥοῦ μαγειρικοῦ < ι'. λιβανωτοῦ, ἀλόης, ξηρᾶς ἀγρίας φύλλων ξηρῶν ἀνὰ < η'. χαλκίτεως < ε'. ἀρσενικοῦ, σανδαράχης, στυπτηρίας σχιστῆς, ἁλῶν σπερμάτων ἀνὰ < δ'. ἐν ἄλλῳ η'. σιδίων ξηρῶν < ς'. χρυσοκόλλης, χρυσολαχάνων ξηρᾶς < δ'. ὀξυμυρσίνης ξηρᾶς < η'. λείοις χρῶ. Ἄλλο πρὸς νομὰς καὶ σηπεδόνας Ὀρειβασίου. ἁλῶν φρυκτῶν < β'. στυπτηρίας κεκαυμένης, ὀστράκου, λιβανωτοῦ, κισσήρεως κεκαυμένης ἀνὰ οὐγγ. α'. χρῶ ξηρῷ θαρρῶν. Τὸ Σαύλου πρὸς νομάς, τὸ τοῦ κυροῦ φησίν. Ἀρσενικοῦ, λιβανωτοῦ, μίσυος, χαλκίτεως, ἐν ἄλλῳ καὶ χαλκοῦ καὶ χαλκάνθου ἴσοις ἑνώσας χρῶ. Ἄλλο τὸ Πασιφίλου πρὸς νομάς. χαλκάνθου, σανδαράχης, μίσυος, χαλκίτεως ἴσα. Ξηρὸν τὸ χρυσοῦν καλούμενον. ἀφίστησιν ὅσα ποιεῖ καὶ πρὸς τὰ ῥευματικὰ καὶ τύλους ἀφίστησι συρίγγων καὶ ὑφ' ὧν χόνδρον ἀποσπᾶσαι βουλόμεθα καὶ τοὺς κόλπους γρ. κόλλισον καὶ τὰς συρίγγων ἀποφορὰς μηλωτρίδι ξύλῳ περιειλημμένῃ διὰ χροιᾶς ἐμβαπτομένῃ τῷ φαρμάκῳ. ἔχει δ' οὕτως. μελαντηρίας τῆς ἀφ' ἄλλων παλαιοῦ < ε'. σιδίων < κε'. στυπτηρίας σχιστῆς < ι'. ἐν ἄλλῳ ι'. χαλκάνθου, μίσυος, χαλκίτεως, χαλκοῦ κεκαυμένου ἀνὰ < η'. λιβανωτοῦ < ις'. κηκίδος < ιε'. ὄξους τὸ ἀρκοῦν. λειοῦν δ' εἰς ξηρὸν ἀκριβῶς προσβαλοῦ τοὺς ἥλους καὶ ὄξους δριμυτάτου κοτύλην, καὶ ἕψε ἕως ἂν τακῶσιν οἱ ἧλοι καὶ διαλυθῶσι. χρῶ. ἔστι δὲ δραστικώτατα ἡ σύνθεσις μη. Ἄλλο ξηρὸν πρὸς νομὰς καὶ ῥεύματα καὶ ἕλκη καὶ κιονίδα καὶ αἰδοῖα. χάρτου λίτρας α' S'' κρόκου λίτρας α'. ὠῶν λευκῶν κεκαυμένων οὐγγ. ς'. κηκίδων οὐγγ. ς'. λείοις χρῶ. αἱ κηκίδες δέ, ὀμφακίζουσαι ἔστωσαν.

## Τροχίσκοι πρὸς νομὰς πολύχρηστοι. Κεφ. Ν.

Βράθυος, σμύρνης ἀνὰ < γ'. σώρεως κυπρίας, χαλκάνθου, λιβανωτοῦ, ἀλόης ἀνὰ < β'. οἴνῳ λειώσας ἀναλάμβανε τροχίσκους. Ἄλλο πρὸς νομάς. τήλινον ἄλευρον μετ' ἐλαίου ὀπτήσας ἐπιτίθει καὶ ἀποσπᾶσθαι ἡ ἐσχάρα μέχρι τριῶν ἡμερῶν. Ἄλλος τροχίσκος πρὸς νομάς

νομὰς καὶ σηπεδόνας· ᾧ χρῶμαι φησὶν ὀριβάσιος· καλεῖται δὲ
ἀσκληπιὸς καὶ κύριος. κικίδων ∠ η· χυλίνων(?) ἀριστολοχίας
στρογγύλ. χαλκίτ. ὠμῆς καθαρ. ἀνὰ ∠ ιϛ· ἴρεως λεπίδ. ἀνὰ ∠ δ·
μίσυος ὠμοῦ· χαλκάνθ. στυπτηρίας σχιστῆς λιβάν. νίτρ. ἀνὰ ∠
γ· λείου ὄξει σφοδρῷ ἱκανὰς ἡμέρ. ποίει τροχίσκους κ. πρὸς τὴν χρεί-
αν ὀξυμέλιτι ἢ κηρωτῇ ἀνιέσας χρῶ· ἔστι δὲ ἡ ἀνάλυσις
αὐτοῦ, αὕτη· τροχίσκ. ο.γ. α· ἐν ἄλλ. δ· κηροῦ ο.γ. γ· μυρσίνου
ο.γ. ϛ· χαλβάν. ο.γ. δ· λείου τροχίσκον ὄξει καὶ χεῖται τὰ τηκτὰ
χλιαρὰ πρὸς ἑρπηστὰς φύματα κονδυλώματα· πρὸς δὲ ὀξείνας
καὶ ἄνθρακας καὶ τὰ ἐσθιόμενα, χρῶ ξηρῷ ἢ σὺν ὀξυμέλιτι.
Τροχίσκος ὁ κόραξ πρὸς νομὰς σηπεδόνων· μάλιστα αἰδοί-
ων καὶ ἕδρας· προσλαμβάνων τὸ ἡλιοκαυτὲς ξηρόν· ἀφίστησι
τὰ σαπέντα συντόμως. κικίδων ο.γ. β· λεπίδ. ο.γ. α ∠. χαλ-
κίτ. ὠμῆς λιβάν. ἐρεβινθίν. ἀνὰ ο.γ. α· κηροῦ ο.γ. δ· στέατος
ταυρείου ο.γ. η· μυρσίνου ἐλαίου ο.γ. γ· ὄξει τὰ ξηρὰ λείου σφοδρῶς ἱκα-
νὰς ἡμέρ. ἐν ἡλίῳ· ὕστερον δὲ ἐπιβαλὼν μέλιτος ο.γ. ϛ· ἀναλαμ-
βάνει τῇ κηρωτῇ χρῶ. ποιεῖ καὶ ἀκράτως προστιθέμενος πρὸς
πάσας μὲν νομὰς· ἰδίως δὲ πρὸς ἑρπηστὰς καὶ ὅπου ὀστέα γυμνὰ
φαίνεται· κεραννύμενος δὲ κηρωτῇ, ἵστησι μὲν ἀναχ[...]αιρει
τὰ ῥεύματα· πληροῖ δὲ, κοῖλα. ἐγώ φησιν ἀσκληπι-
άδης οὕτως ἐσκεύασα· λεπίδ. λίτρ. α· κικίδ. ο.γ. θ· ἐν ἄλλ.
καὶ στέατος ταυρ. ο.γ. θ· χαλκίτ. λιβάν. ἀνὰ ο.γ. ϛ· λειώσας ὄξει
ὡς κολλύρ. τροχίσκους ἀνέπλασα· ἐν δὲ τῇ ἀνέσει, ἔλαβον ὄξει
τοῦ τροχίσκου ∠ κα· ἐν ἄλλ. κβ· καὶ μέλιτος ἔμιξα ∠ ι· εἶτα κη-
ρωτὴν ποιήσας ἔχουσαν μυρσίνου ἐλαίου στέατος ταυρείου ἀνὰ ο.γ. θ· κηροῦ
ο.γ. α· ἐν ἄλλ. β· ἐρεβινθίν. ο.γ. δ· ἀναλύσας τῇ κηρωτῇ· καὶ
ἑνώσας ἀνέλαβον. Τροχίσκος ὁ διὰ καστορίου. σμύρνης
σιδίων στυπτηρ. σχιστῆς ἰοῦ ἀνὰ ο.γ. α· ἐν ἄλλ. β· κρόκ. ἀλόης λε-
πίδ. λιβάν. ἀνὰ ο.γ. α· καστορ. θείου ἀπύρ. ∠ δ· μέλιτος
λίτρ. α· ἔστι δὲ εἴδη ια· ο.γ. κϛ· ∠ δ· συμφορεῖ οἴνῳ λείου.
ποιεῖ πρὸς νομὰς σηπεδόνων ἐν στόματι καὶ πανταχοῦ· ἵστησι
ὀδόντας σειομένους καὶ τὰ πλαδαρὰ τῶν οὔλων [...] σφίγγει· ἰᾶ-
ται τὰ πυρρόδωτα(?) κόλπους σύριγγας ἄνθρακ. ἀναστέλλει
δὲ ὀστῶν καὶ σαρκῶν· μάλιστα [...] φυτ. [...] ποιεῖ καὶ δυσεν-
τερικοῖς· χρῆσις αὐτοῦ ξηροῦ καὶ ὑγροῦ· ἕψεται δ᾽ οὕτως· μέλιτος
λίτρ. γ· ὄξους λίτρ. α· τοῦ τροχίσκ. ο.γ. β· ἕψεως σχῆμα μέλιτος
[...]· καὶ δὲ τῶν [...], οἴνῳ μόνον ἀνίει. Τροχίσκος
ὁ διὰ τῶν φύλλων καταγραφόμενος πρὸς νομάς· σιδίων μυρσίν.
φύλλ. ξηρῶν καρύων τοῦ ἔξωθεν φλοιοῦ ξηροῦ ἀνὰ ∠ η· ἀχρω-
[...] κικίδ. ἀνὰ ∠ δ· ἄλλων ὀρυκτῶν ∠ α· ἐν ἄλλ. β· ἅπαντα
[...]λατ[...]ται· ταῦτα ὄξει φυρᾶται καὶ βάλλεται εἰς [...]
[...] ἐπ᾽ ὀπτᾶται μέχρις ἀνθρακωθῶσιν· καὶ ταῦτα λεαίνε-
ται μετ᾽ ὄξους· καὶ ὅταν κόλλαν ἔχῃ, ἐπιβάλλεται σμυρν. ∠ δ·
λιβάν. ∠ β· ἀναπλάττονται τροχίσκοι· χρῶ μετ᾽ ὄξους.
Τροχίσκος ὁ [...] πρὸς νομὰς ἀσκληπιάδου. ἐρίων
οἰσυπηρῶν κεκαυμένων μολύβδου ῥινίσματος ἀσφάλτου ἀνὰ ∠ ι·
ἐν ἄλλ.

ἐν ἄλ. ια. στυπτηρ. στρογγύλ. καὶ σχιστῆς. χυκίδων. μίσυος. λι-
βάν. ἐν ἄλ. χαλκίτιδος. καὶ σιδίων ἀν ∠ ε. σμύρν. ∠ β. ἀ-
μόργης ∠ α. λεάνας ὄξει. ἀνάπλασσε τροχίσκους. χρῶ.

Τροχίσκος ὁ Βιθυνοῦ πρὸς νομάς. σύριγγας καὶ πτερύγια·
καθαίρει τὰ ἐπὶ τῶν φαρυγγωδῶν [illegible]. στομάχου πρὸς
σηπεδόνας καὶ τὰ ὅμοια. Σιδίων. κηκίδων. ἀριστολοχ. χαλκί-
τιδος. καδμεί. ἀν. ἐν ἄλ. ἀν ∠ ς. ἴρεως. λεπίδ. ἀν ∠ δ.
μίσυος. χαλκανθ. στυπτηρ. σχιστ. χρυσοκόλλ. ἀν ∠ γ. ἐν ἄλ.
ἀν. γ. ν. λιβάν. ἀν ∠ β. ὄξει λεάνας ἐν τοῖς ὑπὸ κύνα καύ-
μασι. ἀνάπλασσε τροχίσκους. χρῶ. τὸ δὲ χρυσοκόλλιον
χευόμενον ἐμβαλών. Τροχίσκος ὁ Πασίωνος. λεπί-
δος ∠ η. ἐν ἄλ. ιβ. χαλκοῦ κεκαυμένου. ἁλὸς ἀμμωνιακ. στυ-
πτηρ. στρογγύλ. ἰοῦ. λιβάν. ἀν ∠ η. τρίβε τὸν ἰὸν σὺν χαλκῷ
καὶ λεπίδι καὶ στυπτηρίᾳ ὄξος ἐπιβάλλων ἐν ἡλίῳ. καὶ ὅταν
ἀκριβῶς λεανθῇ, ἐπίβαλε τὸν λίβανον καὶ λέαινε καὶ ὅταν συστρα-
φῇ, ποίει τροχίσκους. ἐπὶ τῆς χρήσεως χρῶ μετ᾽ ὄξους.

## Ἡ πολυειδὴς σφραγὶς ὡς Ἀσκληπιάδου

στυπτηρίας σχιστῆς ∠ ε. λιβάν. ∠ δ. ἐν ἄλ. ε. σμύρν. ἀλόης χολῆς
ταυρ. ἀν. ∠ γ. κυτίνων ∠ ιβ. σιδίων ∠ ιβ ἐν ἄλ. ις. ἐν ἄλ. καὶ
χαλκάνθ. ∠ γ. οἴνῳ γλυκεῖ παλαιῷ ἀναλάμβανε. χρῶ.

## Ἡ Κορακίνη σφραγίς.

Ποιεῖ πρὸς νομὰς καὶ περιοδυνίων φλεγμονὰς καὶ κεχαλασμέ-
νας κιονίδας. ὦτα μυδῶντα καὶ τὰς περὶ ἕδραν διαθέσεις. καὶ
σύριγγας ἐκτύλοι. σκευάζεται. ἀριστολοχίας στρογγύλης. κυτίνων. κη-
κίδων ὀμφ. λιβάν. σμύρν. χαλκάνθ. κροκομάγματος. ἀλόης. χολῆς
ταυρείας ἴσα. γλυκεῖ ἀναλάμβανε.

## Τροχίσκος ὁ ἀνδρώνιος.

Ποιεῖ πρὸς πάντα ῥεύματα ἕλκη καὶ φλεγμαινούσας κιονίδας. καὶ
περίναιον ῥευματιζόμενα παρὰ χειρουργοῦ ἔξωθεν δὲ αἰδοίων. καὶ
πρὸς παρωνυχίδας. πτερύγια. ἀρχομένους βουβῶνας. τὰς ἐν εὐ-
ρώποις ἀποστάσεις μετὰ τὰς ῥήξεις. σκευάζεται. Κυτίνων μεμυ-
κότων ∠ ι. κηκίδων. ἀριστολοχίας ἀν ∠ η. στυπτηρ. σχιστ. χαλ-
κάνθ. ἀν ∠ δ. ἐν ἄλ. ∠ β. σμύρν. ἀλόης. λιβάν. κροκ. ἀν. ∠ α. λε-
αίνε ἕκαστον καθ᾽ ἑαυτόν. εἶτα καὶ ὁμοῦ σὺν οἴνῳ ποίει τροχίσκους. χρῶ.
ἐνίοτε καὶ τὸ ἐν ἐλκῶσεις ἀποστάσεσιν μετὰ τὰς ῥήξεις μεθ᾽ ὕ-
δατος κυάθων η. ἐ δ᾽ ἀπύρετοι εἶεν μετ᾽ οἴνου. τοῦ δὲ φαρμά-
κου πρὸς δύναμιν.

## Τροχίσκος Ἀντωνίου Μούσα.

Τὸ ἰσόθεον. οὗ σὺν θεῷ. στυπτηρίας σχιστῆς. ἀλόης ἀν ∠
γ. ἐν ἄλ. ς. χαλκάνθ. ∠ γ. κυτίνων. σμύρν. τραγακάνθης ἀν. ∠ ς.
κρόκ. κροκομάγματος ἀν ∠ γ. λέαινε οἰνομέλιτι ἢ οἴνου γλυκέος
ἐσκευασμένου. ἀνάπλασσε τροχίσκους. ξήραινε ἐν σκιᾷ. χρῶ.
λέαινε δ᾽ ἐπὶ πολὺ ὡς κολλύριον. ὁ μὲν οὖν Ἡρᾶς οὕτω σκευάζει.
καὶ ἡμεῖς δέ. ὁ δ᾽ Ἀσκληπιάδης ἀναγράφει τὸν τροχίσκον ἀρεστὸν
Ταρσέως πάντα μὲν τὰ προειρημένα ὁμοίως ἐμβάλλει. τῆς δὲ χαλ-
κάνθ. ∠ ς. λέαινε δέ φησιν οἴνῳ φαλερίνῳ ἢ ἄλλῳ γλυκεῖ παλαιῷ.

λέπται δι' αὐτῆς πρὸς πάντα ῥηθησόμενα. ποιεῖ πρὸς πᾶν ἕλκος περισφαλὲς καὶ παλαιὸν νεμόμενον· σηπόμενον· πλαδαρόν· θηριωμένον φαγεδαινικόν· ἑρπυστικόν· λιπαινόμενον· συριγγῶδες· ῥεραχωμένον· πρὸς ἕλκη δὲ καὶ μετὰ χειρουργίαν ἑλκουμένας· πρὸς ὀζαίνας μετ' οἴνου· πρὸς ὦτα πυορροοῦντα μονογενῶς μετὰ ἑψήματος καὶ ὄξους ὀλίγου· πρὸς κονδυλώματα μετὰ ἑψήματος· πρὸς τὰ ἐπὶ βλεφάρων γινόμενα ἀνθρακώδη καὶ καρκινώδη ἕλκη μεθ' ὕδατος· πρὸς τὰ ἐν ῥισὶ σαρκώματα καὶ στόμασι καὶ ἀκρωτηρίοις φασὶ καὶ μήτραις καὶ αἰδοίοις· πάντα τὰ ὑπερέχοντα καθαιρεῖ, καὶ τὰ ἐν δακτύλοις πτερύγια· περιρροφεῖ τὰ κοῖλα ἕλκη κόλπους παρακολλᾷ καὶ σύριγγας. ἀνθεῖς μέγιστα καὶ χονιαστακτὸν καὶ κλυζόμενον. ποιεῖ δὲ κλυζόμενος καὶ πρὸς τὰ ἐν τῷ στόματι καὶ ἀναγαργαριζόμενος μετὰ ὑδρομέλιτος· κἂν κατὰ μῆνα τοῦτο ποιῇς, οὐδ' ὀδονταλγήσεις· οὐδ' ἄλλο τι δυσχερὲς ἐν στόματι ἕξεις. ἁρμόζει καὶ πρὸς δυσεντερικοὺς καὶ φλεγμονὰς διδύμων καὶ ἄρθρων περιχριόμενος. ἐὰν δὲ μαλάξαι τι θέλῃς καὶ διαφορῆσαι, μίσγε τοῦ τροχίσκου ἀμμωνιακοῦ μέρη δ' καὶ λεαίνων μετ' ὄξους ὡς ἔχειν μέλιτος πάχος· καὶ περιχρίσας τοὺς τόπους, ἐπιτίθει ἄνωθεν λινοῦν ῥάκος καὶ ἐπιδέσμει. εἰ δ' ἔμπλαστρον θέλεις ποιῆσαι, ἐν ᾧ μέλλει φαρμάκῳ, μίσγε τοῦ προειρημένου μέρη δ' μετὰ κηροῦ βραχέος μεμιγμένης εἴ γε σκληρότερα εἴη· μαλακτικὸν γὰρ καὶ κατακολλᾷ καὶ παρακολλᾷ. ὠφελεῖ δὲ καὶ πινόμενος ἡπατικοὺς κωλικούς· δυσεντερικούς· καὶ εἰ ἕλκος εἴη περὶ ταῦτα τὰ μέρη, θεραπεύει. διὸ καὶ τοῖς αἷμα ἀναγομένοις ἀπὸ θώρακος ἁρμόδιος καὶ τοῖς ἕλκος ἔχουσιν ἐν στομάχῳ ἢ κοιλίᾳ. δίδου δὲ τριώβολον μετὰ τοῦ οἰκείου πόματος. ἀεὶ δὲ ὥρα ὡς κρεῖττον πλύματα ἐπὶ τὴν ἡμέραν. χρῶ δ' ἕως ὑγιασθῇ. ποιεῖ καὶ πρὸς συνάγχας οἰνομέλιτι διαλυόμενος καὶ γλυκείας ῥοιᾶς χυλῷ καὶ πτερῷ διαχριόμενος. ἐν δὲ τῷ διαχρίειν ἐσθιέτω τὸ πτερὸν ἔνδοθεν καὶ ἐμεῖν ἀναγκάζε· ἀκολουθεῖ γὰρ ὠφέλεια ἱκανά.

Κροκομάγματος σκευασία.

Τὸ δὲ κροκόμαγμα τὸ ἐμβαλλόμενον ἐν τῷ τροχίσκῳ ᾧ κέχρημαι πρὸς κεφαλαλγίαν καὶ τὰ λοιπὰ σκευάζεται οὕτως· κρόκου < ρ'· σμύρνης στακτῆς ἀνθέων ῥόδων νεαρῶν κεκαθαρμένων ἀμύλου προσφάτου ἐν ἄλλ. καὶ κόμμεως ἀν. < π'. ἐν ἄλλ. ἀν. < ρν'. λεῖα οἴνῳ ὡς κολλύριον, ἀναλάμβανε, τροχίσκους. τὸν δὲ διὰ τῶν ἁλικακάβων τροχίσκον προγεγραμμένον ἔχεις ἐν τοῖς ἐδαφικοῖς.

ἐν ἄλλ. ἀν. < ν'

ΠΕΡΙ αἱμορραγίας ῥινῶν καὶ περὶ ἐσχαρωτικῶν

Κεφάλαιον να'.

Ἐπειδὴ τὰ πλεῖστα τῶν πρὸς τὰς αἱμορραγίας παραλαμβανομένων καὶ τοῖς νομώδεσιν ἕλκεσιν ἐστὶν ἁρμόδια, ἀναγκαῖον συνάψαι τοῖς προειρημένοις καὶ τὸν περὶ αἱμορραγίας λόγον. ὀξὺ ταῦτα δὲ κίνδυνος ἐπὶ τῶν αἱμορραγιῶν συμβαίνει γίνεσθαι καὶ τὸ πρᾶγμα πολλὴν ἔκπληξιν καὶ ταραχὴν παρέχει τοῖς ἰδιώταις· οὐ μὴν οὐδὲ ἰατροῖς ἀκίνδυνον ἐστι. πρῶτον μὲν οὖν εἰδέναι χρὴ ὅτι αἱ ἀρτηρίαι

φλεβῶν

φλεβῶν αἱμορραγικώτεραι. ἀπὸ τούτων γὰρ σφύζουσι καὶ ταῖς κοιλί-
αις ῥήγνυσθαι ἐοίκασι· τῶν φλεβῶν καὶ τοῖς χιτῶσι ῥωμαλεώτεραι· ὥστε μὴ
ῥᾳδίως συμπίπτειν καὶ τὸ ἐν αὐταῖς αἷμα λεπτότερον καὶ σὺν πνεύματι
πλείονι περιεχόμενον· ἐνίοτε καὶ ἑλκώσεως γενομένης κατὰ τὰς διαιρέσεις,
διαφθείρει, ὑπὸ τὸ δέρμα, τὸ αἷμα καὶ ἀνεύρυσμα γίνεσθαι. πάσχει-
ται δ' αἱμορραγία τῆς ἀρτηρίας ἢ φλεβὸς, ἢ κατὰ τὰ στόματα ἀνεστομωμένων
αὐτῶν· ἢ τοῦ χιτῶνος αὐτῶν διαιρεθέντος· ἢ ὡς ἂν εἴποι τις διιδρουμέ-
νων. ὁ μὲν οὖν χιτὼν διαιρεῖταί τι τεμνόμενος ὑπό τινος καὶ
ῥηγνύμενος διὰ πλῆθος καὶ θλώμενος καὶ διαβιβρωσκόμενος διὰ δρι-
μύτητα. ἀναστόμωσις δὲ γίνεται διὰ τὸ πλῆθος ἀθρόως ῥυὲν
ἐπὶ τὸ στόμα τοῦ ἀγγείου καὶ διά τινα στυπτικὰ φάρμακα ἔξωθεν ἀν
[illegible] ἢ ἔσωθεν· καὶ διὰ τὴν ἀτονίαν τοῦ ἀγγείου. ἡ δὲ διαπήδησις
λεγομένη ἢ διήθησις, γίνεται ἀραιωθέντος μὲν τοῦ χιτῶνος. λεπ-
τυνθέντος δὲ τοῦ αἵματος. γίνεται δὲ ποτὲ ἡ διαπήδησις καὶ διὰ ἀνα-
στομώσεων ἀγγείων μικρῶν. εἰ μὲν οὖν διαβρώσεως ἢ θλάσεως ἢ κατα-
τομῆς ἡ ῥῆξις γένοιτο, παύσαντας τὸ ποιῆσαν. εἰ δ' ὑπὸ πλήθους
γέγονεν, ἐκχωρεῖ καὶ νῦν ὅτι τὸ ἀγγεῖον ἀναρρηγνύναι ἐπὶ πλεῖον με-
[illegible] ποιοῦντες αὐτό. ἐπὶ μὲν οὖν τῶν διὰ πλῆθος ῥηγνυμένων
[illegible] ἔτι τὸ πλῆθος δι' αὐτὸ [illegible]· ἐπεὶ ὅλως
[illegible] αἷμα [illegible] καὶ τὸ [illegible]. ἀφ' ὧν δὲ [illegible]
[illegible] αἷμα·
[illegible] ἰάσθαι. πῶς οὖν ἐπισχόμενον τὸ αἷμα; γνῶναι αὐτὸ
μὲν τὸ ἐρρωμένος. ἀποστρεφομένου δ' ἔξωθεν τὸ αἷμα· συμφέρ-
ει ταῖς μὲν οὖν ταχεῖαι τῆς ῥήξεως, διὰ τὸ τῶν ἄκρων δακ-
τύλων, ὅταν ὅλως ἢ ἐπιπόλαιον τὸ τραῦμα· καὶ δι' ἐπιδέσεως· ἔτι τε
διὰ τῶν στυφόντων καὶ ψυχόντων τῶν φαρμάκων· συμφανήσεται δὲ τὸ
ἀναστομωθὲν στόμιον ὑπὸ τε θρόμβων καὶ τῶν ἔξωθεν ἐπιτιθεμένων,
αὐτῷ. τῶν δ' ἐπιβαλλομένων τὰ μὲν ἐστὶ στύφοντα· τὰ δ' ἐμπλαστικά·
τὰ δ' ἐσχαρωτικά· τὰ μὲν οὖν ἐμπλαστικὰ προστιθέμενα τοῖς αἱμορ-
ραγοῦσι τόποις, ταχεῖαν τὴν σάρκωσιν ποιοῦνται· τὰ δ' ἐσχαρωτικά,
[illegible] τὸ ἕλκος, τῆς ἐσχάρας ἀποπιπτούσης· καὶ πλείστα-
κις αἱμορραγία δυσ[illegible] [illegible] ἐπακολουθεῖ ἐπὶ ταῖς τῶν ἐσχαρῶν
ἀποπτώσεσι· τοῖς μὲν οὖν ἐσχαρωτικοῖς φαρμάκοις, ὅταν ἀνάγκη
βιάζηται χρησόμεθα ἐφ' ὧν ἐξ ἀναβρώσεως συνεχοῦς αἱμορ-
ραγία γίνεται. καὶ γὰρ ἐπὶ τοιαύταις διαθέσεσι [illegible] ἀποκαί-
ειν [illegible], ἀσφαλέστερόν ἐστιν ἤτοι καυστηρίοις καὶ ἄν
[illegible] ῥίζαν ἢ ἐσχαρωτικοῖς χρῆσθαι· καὶ μάλιστα ἐπὶ αἰδοίων
ἢ ἕδρας· ὅτι τε ῥᾳδίως σήπεται τὰ δὲ μόρια διὰ πλείστην ὑγρότη-
τα καὶ ὅτι περιττωμάτων δριμέων εἰσὶν ὀχετοί. σκοπὸς οὖν ἐστω σοι,
τῶν ἐσχαρωτικῶν φαρμάκων, οὐχ ἁπλῶς ἡ δῆξις· ἀλλ' ἄμεινον, ὅ-
ταν καὶ στύψεως μετέχῃ· οἷα ἐστὶ μίσυ· χαλκῖτις· χάλκανθος.
τὰ γὰρ διὰ τῆς ἀσβέστου καὶ ἀρσενικοῦ σφοδρότερα μέν ἐστι τούτων· ἀλ-
λ' ἀποπίπτουσι ταχέως αἱ ἐκ τούτων γινόμεναι ἐσχάραι, διὰ τὸ μὴ
μετέχειν στύψεως· ἔχονται δὲ τῶν σωμάτων [illegible]. αἱ ἐκ τῶν
στυφόντων γινόμεναι ἐσχάραι πολλῷ δὲ τούτων ἄμεινον. φθάνει γὰρ
ἀποσφηνοῦσθαι καὶ τὴν βάσιν αὐτῶν· καὶ γίνεσθαι τὴν ἐπιφυομένην
σάρκα

σάρκα καὶ διασπᾷ τὸ στόμα τοῖς ἀγγείοις· ὅθεν οὐδ' ἡμεῖς αὐτοῖς χρῆσ-
θαι οὐδὲν ὥσπερ ἔνιοι ταῖς ἐξ ἀναβολῆς ἔνθα κίνδυνος αἱμορρ-
αγίας· ἀλλ' ἐπ' ἐκείνων μόνων τῶν διαθέσεων ἐφ' ὧν διὰ τὸ πεπονθέναι
τὸ καυστήριον ἐπιφέρειν ἠναγκάσθημεν· καλεῖται δ' ἡ τοιαύτη διά-
θεσις νομή· διότι νεκρώσεις συμβέβηκεν αὐτῇ ἀπὸ τῶν πεπον-
θότων μορίων ἐπὶ τὰ κατὰ φύσιν ἔχοντα καὶ τούτων ἀεί τι προσ-
λαμβάνειν. ταῦτ' οὖν ἐνθυμηθέντα χρὴ τὸν ἰατρὸν βοηθεῖν ταῖς αἱ-
μορραγίαις πρὸς τοὺς τόπους καὶ τὰ μεγέθη τῶν φλεβῶν ἁρμό-
ζοντα τὸ βοήθημα· πειρᾶσθαι δὲ τὴν πρώτην κατάληψιν ποιεῖσθαι,
αὐτίκα μὲν ἐπιβάλλοντα τὸν δάκτυλον ἐπὶ τὸ στόμα τοῦ κατὰ τὸ ἀγγεῖον
ἕλκους· καὶ ἐρείδειν πρᾴως, καὶ πιέζειν ἀναλγήτως· ἅμα τὸ γὰρ σφί-
ξει τὸ αἷμα καὶ θρόμβον ἐπιπήξει τῷ στόματι· εἰ δὲ διὰ βάθους
εἴη τὸ αἱμορραγοῦν ἀγγεῖον καὶ μὴ ὑπείκουσι τοῖς εἰρημένοις, ἀνα-
βρόχισον κατασημαινόμενος τὴν θέσιν αὐτοῦ, καὶ τὸ μέγεθος, εἰ ἴσθι ὅτι
εἴη ἀρτηρία, καὶ καταπείρας ἄγκιστρον, ἀνατεινέτω καὶ περιστρε-
φέτω μετρίως· καὶ εἰ μὴ δι' ὅλου παύοιτο, βρόχῳ τὸ ἀγγεῖον
περιληφθῆναι καὶ σφίγγειν· ἐνίοτε δὲ καὶ τέμνειν αὐτὰ ἀγγεῖα ἐγκάρ-
σια ἀναγκαζόμεθα μετὰ τὴν τῶν βρόχων σφίγξιν· κατὰ σαρκοῦσθαι
τὸ τραῦμα διὰ τάχους ἀποβλέπομεν· τῶν δὲ μεγάλων ἀγγείων φει-
δεσθαι χρὴ καὶ μὴ ἀποβάλλειν τομῇ χρῆσθαι· σφαγὴ γάρ ἐστι τοῦτο
πρακτικώτερον· ἀλλ' εἰς τὰ μικρότερα ἐπιχειρεῖν τὰ καυτήρια
τεταγμένα· ἐπὶ δὲ μεγάλων, παντάπασι μηχανᾶσθαι τὸ διὰ
τοῦ λιβάνου καὶ τῆς ἀλόης ξηρὸν, σαρκοῦν τὸ ἕλκος· καὶ ἐπὶ τῶν βρο-
χουμένων δὲ τοῦτο ποιεῖν πρὶν ἀποπεσεῖν τοῦ ἀγγείου τὸν βρόχον,
εἰ μὴ γὰρ φθάσειεν ἡ περιττὴ σὰρξ γενέσθαι τὸ περιέχον χωρί-
ον τοῦ ἐσφιγμένου ἀγγείου· καὶ μάλιστ' εἰ ἀρτηρία τύχοι εἴη τὸ
ἀγγεῖον, ἀλλ' ἐναπομένοι χώρα κενή, τὸ καλούμενον ἀνεύρυσ-
μα γίνεται· διὰ τοῦτο καὶ τοῖς ἐμπλάστροις ἰσχαίμοις χρῆσθαι
προαιροῦ ἐπὶ τῶν τοιούτων διαθέσεων· ἀκινδυνότερον γὰρ ἐπ' αὐτοῖς
σαρκοῦται τὸ τραῦμα.

† ἴσχαιμον τὸ διὰ λιβάνου καὶ ἀλόης καὶ τοῦ λευκοῦ
τῶν ὠῶν

Ἄριστον οὖν ἐστιν ἁπάντων ὧν οἶδα φαρμάκων, ᾧ καὶ πρὸς τὰς
ἐκ μηνίγγων αἱμορραγίας ἀσφαλέστατόν ἐστι χρῆσθαι τὸ λεγό-
μενον· ἔχει δ' οὕτως· λιβάνου μέρη β΄· ἀλόης πεπλυμένης μέρος α΄·
ταῦτα ᾠοῦ τῷ λευκῷ φυράσας ὡς μελιτώδη σύστασιν ἔχειν· εἶτα παρα-
λαβὼν λαγωοῦ θριξὶ ταῖς μαλακωτάταις, τῷ τε ἀγγείῳ καὶ
τῷ ἕλκει παντὶ πλεῖστον ἐπιθεὶς καὶ ἄνωθεν ἔριον μαλακὸν
βεβρεγμένον τῷ αὐτῷ φαρμάκῳ, ἐπίδεις πλεῖστον, ἐπιδεῖν δὲ
ὀρθῶς· τὰς μὲν πρώτας ἐπιβολὰς ἐπιφέρων ἀπὸ τοῦ ἕλκους ἐπὶ δεξιὸν
κατὰ τοῦ αἱμορραγοῦντος ἀγγείου ποιούμενος· ἐντεῦθεν δὲ ἐπὶ τὸ ἀεὶ
αὐτῶν τῶν ἄνω νενομένων τῶν ἐπιδέσμων· εἶτα λῦσαι διὰ τρίτης, εἰ
μὲν ἀσφαλῶς ἔτι περιέχοιτο τῷ ἕλκει τὸ φάρμακον, αὖθις ἕτε-
ρον ἐπιθεὶς ἐν κύκλῳ καὶ περιχέων τῷ φαρμάκῳ καὶ οὕτως·

ἐπι-

ἐπιβρέχε τοῦ πρώτου μόνου μὴ μέλλει μελαγχολικῶν παντάπασιν ἐπὶ δόσει μιᾷ, ὡς ἐξ ἀρχῆς προείρηται· εἰ δ' ἀποπέσοι ὁ πρῶτος μόνος τῶν δακτύλων πιέζων τῆς ἀριστερᾶς χειρὸς ἠρέμα τὴν ῥίζαν τῆς αἱμορροΐδος, ἄφες μὲν τὸ πρῶτον μόνον· ἔλαιον δ' ὑποθεὶς καὶ ἔξω θεράπευε ἀεὶ μέχρι τῆς ἀναπλήσεως σαρκώσεως τὸ ἀγγεῖον ἀνάρραπτον ἐξ ἀρχῆς μέχρι τοῦ τέλους φυλάττων τὸ αἱμορραγοῦν μόριον καὶ ἐν ἡσυχίᾳ πλείστῃ· τούτῳ τῷ φαρμάκῳ πολυειδέστατα χρῶμαι· ποτὲ μὲν ὡς εἴρηται διπλάσιον τῆς ἀλόης βάλλων τοῦ λιβανωτοῦ· ποτὲ δ' ἐξ ἴσου· ποτὲ δὲ μάνναν ἀντὶ τοῦ λιβανωτοῦ ὡς συμπηκτικωτέραν ἐμβάλλων· δῆλον δ' ὅτι τοῖς μὲν σκληροτέροις σώμασι τὰ συμπηκτικώτερα δεῖ προσφέρειν καὶ πλείονα ἔχειν τῆς ἀλόης· καὶ ἐπὶ δὲ τῶν μειζόνων αἱμορραγιῶν καὶ ἐπὶ τῶν ἐν ἐσχάτῳ σφαγιζόντων φλεβῶν· τὰ πλείονα ἐχέτω τοῦ λιβανωτοῦ χρίσματα διὰ τὸ εἶναι μαλακώτερον τὸ σωματίζειν· καὶ κατέπεχει τούτων τὸ αἷμα χωρὶς βρόχου· ἔστι δὲ καὶ ἄλλα + πλείω φάρμακα τῶν ἐμπλαστῶν· ἀλλ' οὐδὲν οὕτω σαρκοῖ· χρῖσαι δ' ἐστὶν ἐμπλαστικὰ τὰ ζωτικὰ θέμενα διὰ τῆς φυκίου, καὶ κολοφωνίᾳ καὶ ἀλεύρου πυρίνου· χυλὸς τοῦ ἐπὶ τῶν τειχῶν τοῦ μυλωνος καὶ [illegible] καὶ τὸ παρακείμενον· ἔστι δὲ καὶ σύμφυτον· ἄριστον δὲ καὶ τοῦ συμφύτου ῥίζα· προσηκέτω δ' ἴσχαιμα φάρμακα ποιεῖν ἀεὶ ἔχειν τὸ ἰσχαιμὸν πρὸς σχεδιασμὸν καὶ ὡς ἐπὶ τὸ δέον· ἔστι δ' ὡς εἴρηται τὰ μὲν διὰ προσθέσεως ἐπιθέντα καὶ τὸ δέον· ἔστι δ' ὡς εἴρηται τὰ μὲν διαπρὸς σχεδιασμὸν ἐπὶ τὸ ἰσχαιμον· τὰ δὲ συμφορώτερα μετὰ ξηρότητος· τὰ δὲ καυστικὰ τὸ ἴσχαιμον· τὰ δὲ συμφυῆ καὶ περιεμπλαστικὰ εἰρῆσθαι πλείστα πρὸς τὸ ἐξάφθαλμα καὶ περιεμπλάσσοντα εἰρήσθαι πλεῖστα πρὸς τὸ ἐξαφανίζειν τὸ ἑκάστῳ πρόσφορον· τὸ ἐκ χαρωτικῶν αὐτοκαυστικῶν ἀσφαλὲς τὸ ἑκάστῳ πρόσφορον.

Ἰσχαιμὸν τόδε· Σανδαράχης, ἀρσενικοῦ τὸ λαμπρὸν καὶ ἄριστον ἀνὰ < δ. τούτῳ φησὶν ἐχρήσατο ἐμοὶ χαλκίτεως, ἐν ἄλλῃ καὶ τιτάνου ἀνὰ < δ. τοῦτο φησὶν ἐχρήσατο ὁ ... μὸν ὁ Χαρίτιος· ἰσχυρότερον δὲ τοῦτο ἐστὶ τόδε· χαλκίτεως < η. ἐν ἄλ. λη. χαλκάνθου < ι. ἀσβέστου χαλκοῦ κεκαυμένου ἀνὰ < ς. μίσυος διφρυγοῦς ἀνὰ < ε. Ἄλλο σφοδρότερον ἀνὰ ... ον· συμπληροῖ σχιστῆς χαλκάνθου κηκίδων ἀνὰ < ς. ἐν ἄλ. ιε· ... Ἄλλο μίσυος < η. ὠχρας < δ. τοῦτο ποιεῖ πρὸς νομὰς κάλλιστα. Ἄλλο ἐπιφερέστερον τούτου· χαλκίτεως, μίσυος, χαλκάνθου ἀνὰ < η. χαλκοῦ κεκαυμένου < β.

Φιλαγρίου σχόλιον τὸ διὰ ἀλόης καὶ λιβανωτοῦ ἴσχαιμον ξηρὸν προσαπτόμενον τῆς αἱμορραγούσης ἕλκει, πρὸς ... τῶν δακτύλων καὶ προσπιεζόμενον ἄχρις ἂν κολληθῇ ὑγρανθὲν ... ποιήσαντα δ' ἐμπλασθὲν καὶ γλίσχρον γενόμενον ἐπέχει τὴν φορὰν αἵματος· πλεῖον δ' ὀφθεὶς αὐτῷ, εἰ λαγωὰς τρίχας ἀπολαβὼν τὰς ὑπὸ γαστέρα οὔσας, ἐπιθεὶς τῷ προειρημένῳ φαρμάκῳ καὶ κεκολλημένῳ προσεπιπάσσειν ἔξωθεν αὐτὸ ἐκ τοῦ αὐτοῦ ξηροῦ. ἐὰν δὲ τὸ ξηρίον ἄχρις ἂν ἐκ τῆς παρακειμένης σαρκὸς αὐξηθῇ οἷς πλῆμα ἐπὶ τὸ διαφορεῖν. Ἡροδίᾳ κεῖται ἐν τοῖς καταπλαστικοῖς.

Ἴσχαιμον ἄριστον τὸ διὰ τῆς ἐρετριάδος γῆς· ἔστι τεχνικῶς ἔνδοξος. γῆς ἐρετριάδος ἢ κιμωλίας < η. ἐν ἄλ. κ. λεπίδ. συμπληροῖ στρογγύλης

ῥητίνης ξηρᾶς, σμύρνης ἀνὰ < η. λιβάνου < η. ἐν ἄλλῳ < κ. ὄξους τὸ ἱκανόν. τρίβε ἐν ἡλίῳ μέχρι συστάσεως· ἀνάπλαττε τροχίσκους· χρῶ. Ἄλλο ἐπίθεμα καινὸν βαλὼν ὕδατα πίονι καὶ προσθεὶς αὐτῷ ἀσφάλτου λείας καῖε ἐν χύτρᾳ· εἶτα ἐκ τούτου βαλὼν οὐγγ. α. ἐν ἄλλῳ β. χαλκίτεως μίσυος ἀνὰ οὐγγ. α. χρῶ. εἰ δὲ ξηρότερον αὐτὸ βούλει ποιῆσαι, ἔμβαλε τοῦ μὲν κεκαυμένου ὡς προείρηται ἐπιθέματος οὐγγ. β. μολίβδου κεκαυμένου πεπλυμένου οὐγγ. α. ἐν ἄλλῳ καὶ ψιμμυθίου οὐγγ. α. χρῶ καὶ ἐκ ξηροῦ.

Ἴσχαιμον ῥᾳδίως κατέχον αἱμορραγίαν.

Χαλκίτεως < η. ἐν ἄλλῳ κ. μάννης ἢ αὐτοῦ τοῦ λιβάνου < ιϛ. ῥητίνης ξηρᾶς, στυπτηρίας προσφάτου ἀνὰ < η. τὰ μὲν ἀλλὰ κόπτε· σμήχας ἀπόθου ἐν πυξίδι χαλκῇ· τὴν δὲ στυπτηρίαν ὅταν μίξῃς τῷ φαρμάκῳ χρήσασθαι, τότε λεῖον πρόσφατον μίγνυε κατὰ ἀναλογίαν.

Ἴσχαιμον ἐκ τοῦ φλεβῶν.

Μίσυος πεπλυμένου χυλοῦ ξηροῦ ἀνὰ < μβ. στυπτηρίας σχιστῆς < κα. φυράσας τὸ ξηρὸν ὄξει ἀναλάμβανε ἐπίθεμα· ἐπιτίθεις τῷ ἕλκει ἐπίδησον. Ἄλλο ἴσχαιμον καθολ. μάννα μετὰ θείου ἀπύρου ἄκρως ποιεῖ. Ὀριβασίου ἴσχαιμον προσεπιπλάττουσιν φησί· ποιεῖ καὶ πρὸς νομὰς τὰς γενομένας ἐν αἰδοίοις καὶ τοῖς λοιποῖς. θεραπεύει δὲ καὶ τύλους καὶ χοιράδας· μελίτως καὶ ῥοδίνου φυραθέντων θείου ἀπύρου σανδαράχης καὶ ἀσβέστου ζώσης ἴσα ἑνώσας χρῶ.

πρὸς δὲ τὰ ἤδη φλυκταινωθέντα. θῶν καὶ ἄλφιτα μετ᾽ ὄξους κατάχριε. ἢ χολὴν χοίρου σὺν ... χρίε καὶ κατάπλασσε. ἢ ὑοσκυάμου
χλωροῦ χυλὸν καὶ χρίε τὰς φλυκταίνας συνεχῶς καὶ μαραίνονται. ἢ κατάπλασσε τοῖς χλωροῖς φύλλοις καὶ λειώσας τὰ φύλλα
ὑοσκυάμου ποίει τροχίσκους καὶ ξηράνας φύλαττε ἐν τῷ [illegible]
μένῳ καὶ χρῶ, ἀνιεὶς ὕδατι. ἢ ἄσβεστον κηρωτῇ ὑπορροδίνῃ
μίξας καὶ ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει. ἢ σμυρνίων σὺν
οἴνῳ καὶ χρίε. τὰ δ᾽ ἀποδαρέντα καὶ ἡλκωμένα σεύτλου φύλλα
ἐν οἴνῳ ἑψήσας, λεῖα κατάπλαττε. ἢ κηρωτῇ ῥοδίνῃ σεύτλου χυλὸν ἐμβαλὼν κατὰ βραχύ, μετὰ τὸ τακῆναι ὅσον καὶ δέχεται
χρῶ. ἔστω δὲ τὸ μὲν ῥόδινον ... γ. κηροῦ ... α. χυλοῦ τὸ
ἀρκοῦν. χρῶ ὡς θαυμαστῷ. Ἄλλο. ... ἐρίου
ὀθονίῳ ἐνδήσας καὶ ... οἴνῳ λειώσας καὶ χρίε. ἢ κηρωτῇ ἀναλαβὼν χρῶ ὡς δοκιμωτάτῳ. Ἄλλο. ... τὸ
ἀποβραχέντων καὶ ἑψηθέντων καὶ σὺν ... λεάνας
λαβών, λεῖα ἐν θυίᾳ < α. καὶ ... κηροῦ < ... μετὰ ῥοδίνου < ε.
ἑνώσας χρῶ. Ἀέτιος δὲ ... τὰ πυρίκαυστα ἢ διὰ κριθῶν
... ἔλεγεν ὅλως. λιθαργύρου. ψιμμυθίου. κριθῶν κεκαυμένων λειοτάτων ἀνὰ < α. κηροῦ < γ. ῥοδίνου ἢ μυρσινίνου < θ.
... κηρωτὴν καὶ ἐπίπασσε τὰς κριθὰς λείας. τῇ ἑνώσει καὶ
χρίε τῇ λιθαργύρῳ καὶ τῷ ψιμμυθίῳ λειωθεῖσι ἐν θυίᾳ μετ᾽
οἴνου καὶ ἀναλαβὼν χρῶ.

Πρὸς καταχαυνώματα τὰ ὑπὸ χαλεποῦ ... καὶ ἡλκωμένα ξδ.

Πτελέας φύλλα ξηρὰ βάτου ἐρυθροῦ φύλλα καὶ κλήματα ἀμπέλου,
ἀμφότερα καύσας ποίει ξηρίον καὶ χοίρειον στέαρ ... καὶ
ἐπίπασσε τὸ ξηρίον καὶ ποιήσας ἔμπλαστρον θὲς ἐπιτίθει καὶ
θεραπεύσεις. Ἄλλο. ... καύσας, τὸ κάρβωνον
λειοτριβήσας καὶ κρόκῳ ... ἀναλαβὼν ... χρίε ... ἢ λιθαργύρου σὺν τῷ οἴνῳ καὶ ἐλαίῳ λειώσας ὡς γλοιώδη ἔχε καὶ χρίε.

Πρὸς τοὺς ἐν δικαστηρίῳ μαστιγωθέντας

κεφάλαιον ξθ.

Δέρμα προβάτου νεωστὶ ἐκδαρέντος ἔτι ἔνθερμον τοῖς μεμαστιγωμένοις περιθεὶς χρίσματα ... θεραπεύει δὲ πάντας ἐν
ἡμέρᾳ μιᾷ καὶ νυκτί. ... καὶ ... χυλῷ καὶ βραχεῖ
... τὸν τόπον. ἐμβροχῇ δὲ ... αὐτῶν ... λαμβανέσθωσαν

χρησίμως

χρησίμως ἡ τοιαύτη ὡς τὰ ἀφλέγμαντα γενέσθαι· ἐλαίου
μέτρα δ΄. ὄξους μέτρ. α΄. ξύλον [illegible] ἀσφόδελον· ἔπειτα κηρὸν τοῦ
[illegible] ὡς διαπαρακολουθεῖν τὸ ὄξος· εἶτ' ἐπίβαλε κηρὸν
τοσοῦτον ὡς γλοιώδες γενέσθαι, χρῶ. μετὰ ταῦτα [illegible] ποιούσης
τῇ κηρωτῇ χρῶ. ἐμβροχῇ δὲ καλλίστῃ χρῶ τῷ σφαιρίῳ καὶ τοῖς
σὺν αὐτῷ γεγραμμένοις ἐν τῷ μετὰ τοῦτον λόγῳ ἀναλύων ὡς ἐκεῖ
σε γεγράφθαι· οἱ δ' ἀνίσχοι πρὸς αὐτὰ τὸ τῆς [illegible] χρῆ-
σθαι. ἄσβεστον ζῶσαν λεάναντες ἄχρι [illegible], καὶ ἐπιβα-
λόντες ᾠὰ ὠμὰ ὡς ἐξυδαρῶσαι· εἶτα ῥοδίνῳ κηρωτὴν ποιήσαν-
τες ἐπιχέουσιν· ἑνώσαντες χρῶνται· [illegible] ἀσβέστου οὐγγ. γ΄. κη-
ροῦ οὐγγ. γ΄. ῥοδίνου οὐγγ. β΄. ἐν ἄλλ. ιβ΄· ᾠὰ ὠμὰ γ΄. χρῶνται συνεχῶς
ἀλλάσσοντες. τὰς δ' ἀπὸ μαστίγων γενομένας πληγάς, ἀδήλους
ποιεῖ τοῦτο. κηροῦ [illegible]. λιθαργύρου. ἀρσενικοῦ. βουτύρου. λιβάνου.
μίξας ἴσα ἑνώσας καὶ προπυριάσας τὸν τόπον ἐπιτίθει καὶ καθ' ἡμέ-
ραν ἀνάλλασσε. χρίσμα πρὸς μαστιγωθέντας. ἄσβεστον πε-
πλυμένην. στέαρ χήνειον. χυλόν. ῥόδινον. ἑνώσας καὶ χρίσας τὰς πληγὰς
ἐπιτίθει ῥάκος ψιλόν.

## Πρὸς ἀποσύρματα. κεφάλαιον ξϛ΄.

ἀποσύρματα καλοῦνται ὅταν ἐκ προσπταίσματος ἢ βιαίου
τινὸς [illegible], ἀποσυρῇ τὸ δέρμα. ἀφλέγμαντα δὲ τη-
ρεῖ τὰ ἀποσύρματα, ῥοῦς ξηρὸς καταπλασσόμενος λεῖος σὺν μέλιτι.
σιδηρίτιδος φύλλα λεῖα. στρατιώτης ὁ ἐν τοῖς ὕδασι σὺν ὄξει.
χρῶ καὶ τῇ ὑπογεγραμμένῃ ἐπὶ τῶν παρατριμμάτων κηρωτῇ,
καὶ τοῖς ὁμοίοις.

## Πρὸς παρατρίμματα. κεφάλαιον ξζ΄.

τὰ ἐξ ὑποδημάτων γινόμενα παρατρίμματα ἀνώδυνα
ἄπονα ποιεῖ καὶ ἀφλέγμαντα πνεύμων χοίρειος ἢ ἄρνειος θερ-
μὸς ἐπιτεθείς. κάττυμα παλαιὸν κεκαυμένον λεῖον ἐπι-
πασσόμενον. ἢ ξύλον ῥυπαρὸν καυθὲν καὶ λεῖον ἐπίπασσε. ἢ
κυτίνους ῥοιᾶς καυθ. χρῶ. ἢ ἀκακίαν σὺν ὄξει ἐπίχριε.
ἐπὶ δ' ἀπονοσφαρκῶν χρῶ τῇ διὰ κριθῶν ἐπὶ τῶν πυρικαύστων
προγεγραμμένῃ καὶ ταῖς ὁμοίαις. Καλλίστη καὶ αὕτη πρὸς
ἐξανθήματα καὶ παρατρίμματα καὶ κατακαύματα. ψιμυθίου μολύβδου οὐγγ. γ΄. κηροῦ
οὐγγ. δ΄. στέατος προσφάτου ὑείου οὐγγ. α΄. μυρσίνης λιτρ. α΄. πρὸς
δ' ἐκπυρώσεις χωρὶς στέατος σκεύαζε. χρῶ καὶ τῇ διὰ χυλοῦ
ψυλλίου τῇ ἀναγεγραμμένῃ ἐν τῷ μετὰ τοῦτον λόγῳ, τῇ δεχο-
μένῃ λιθάργυρον. ψιμύθιον. ἄμυλον.

## Περὶ θλάσματος σαρκῶν. κεφάλαιον ξη΄.

θλασθείσης τῆς σαρκὸς ὑπό τινος βαρέος ἐμπεσόντος καὶ
τῶν σμικρῶν ἐν αὐτῇ φλεβῶν διαρραγεισῶν, αἷμα προχεῖται
κατὰ διαπήδησιν ἢ διαίρεσιν· ὅπερ ἀθροιζόμενον ὑπὸ τῷ δέρ-

ματος, ποιεῖ τὸ καλούμενον ἐκχύμωμα, μὴ διαιρεθέντος
δηλονότι τοῦ δέρματος. σκοπὸς οὖν ἐστιν ἐπὶ τούτων διαφορῆ-
σαι τὸ θρομβωθὲν ὑπὸ τὸ δέρμα καὶ τοῦτο συντόμως
ποιεῖν, πρὶν μελανθῆναι. χρὴ δὲ ἀεὶ δοῦναι συστατικὸν ἢ
ἐμπλαστικὸν χρῆσθαι τοῖς διαφοροῦσι. τὰ σύμπαντα περὶ τῶν ἐν τῷ
[illegible] ἀποπνίγων λόγῳ. λέγω δὴ ἐν τῷ ὀσφύϊ χρῆναι τὰς
οἱ φλέβες χαλῶνται τεθλασμένοι πυκνώσαντες καὶ τοὺς στυπτικοὺς
τὸ μὴ καὶ ἔξωθεν ἐπιρρέειν τῷ ὑποκειμένῳ διὰ τὰς ὀδύνας.
ὕστερον δὲ τοῖς διαφορητικοῖς μόνοις χρησόμεθα ὅταν αἱ ὀδύναι
παύσοιντο. ἐνίοτε δὲ ὕστερον καὶ ἀποσχάζομεν ἀμυχαῖς τὸ
ἐκχύμωμα, ὥστε ἐξῆς τὴν διαφορητικὴν προσάγομεν. ποιεῖ δὲ
καλῶς ἐπὶ θλασθέντων καὶ ῥηγμάτων τὸ ἐν τοῖς τῶν κατα-
χλόων μετὰ ἐλαίου ἐπὶ τῶν θερμῶν. ἢ ἔλαιον κηρῶ. ῥάκος βάπτων
ἐπιρρίπτει καὶ θαυμάσεις.

ΠΕΡΙ ῥήγματος καὶ τίλματος. Κεφάλ. ξθ.

Τὸ ῥῆγμα γίνεται κατὰ βάθος ἐν τῷ σαρκώδει μέρει τῶν
μυῶν, ὥσπερ ἐν τῷ ἰνώδει, λυθείσης δηλονότι τῆς συνεχείας.
συνεκχυμώμασι δὲ γίνεται πάντως. διαφέρει δὲ τῶν κολάπτων,
τῷ μηδεμίαν ἔχειν ἀναστόμωσιν εἰς ἐκτὸς ὡς περ ὁ κόλαπος.
ἡ δὲ ἴασις αὐτοῦ σκοπὸν ἔχει διαφορῆσαι τὸ περιεχόμενον ἐν τῷ ῥα-
γέντι σώματι. διαφορητικῶν οὖν δεῖ ἐκ τῶν χαλαστικῶν φαρμάκων,
οἷά ἐστι καλὰ τῶν χαλαστικῶν ἀκόπων, τά τε διὰ τῆς ἰτέας καὶ
τὸ διὰ τῆς ἴρεως καὶ τὰ τούτοις ὅμοια. ἐπὶ δὲ τῶν ἐν βάθει
σώματος ῥηγμάτων, ἐπιτείνεσθαι χρὴ δύναμιν τῶν φαρμάκων
ὥστε δριμύτερα καὶ τμητικώτερα προστιθέναι. ὠφέλιμος δ' ἐπὶ τού-
των καὶ ἡ τῆς σικύας χρῆσις. εἰ μὲν οὖν ἐντελῶς διαφορηθῇ
τὸ ὅλον ἐκχύμωμα, συμφύεται ῥᾳδίως ἡ διεσπασμένη σάρξ.
ἐὰν δὲ χρονίσῃ καὶ ῥύπος ὑπογραφῇ, συμφῦναι τὰ ῥήγματα
τὸ λοιπὸν ἀδύνατον. παρατίθεται δ' ἀλλήλοις τὰ χείλη τῶν
ῥηγμάτων μόνον ὡς καὶ μικρᾷ προφάσει ῥᾳδίως αὐτὰ διίστασθαι. ἐμ-
πίπλασθαι δὲ πάλιν τὴν μεταξὺ χώραν αὐτῶν ὑγροῦ τινος
καὶ τρόπον τινὰ συνεχῶς ἐκχύμωμα γίνεσθαι παραπλήσιον. τῷ κατ'
ἀρχὰς ἐξ αἵματος συνισταμένῳ. χρηστέον δὲ τοῖς αὐτοῖς τῷ σπάσ-
ματι καὶ τοῖς ῥήγμασι τοῖς γινομένοις περὶ τοὺς μυώδεις τόπους. τοῦτο δ' ὂν
ὃ καλοῦσι τίλμα. ἄριστον δὲ ἡ ἅλμη μάλα προσφερόμενον τέλεον ὄ-
λεθρόν ἐστι. διὸ οὖν λέγεται καὶ ἐν τῷ λύσει τοῦ δέρματος τῆς
χοιράδος λαβοῦσαν ἔχουσι ὀλίγον λίπος περιβάλλειν τόπον ἡσύχως,
μὴ μετὰ βίας καὶ εἰς τὸν δακτύλιον, στέαρ χοίρειον. τετηγμένον ἐν τῷ
θεῖ, καὶ ἀνάκρουε συνεχῶς τῷ τῶν δακτύλων τὸ πέριξ τὴν ἕδραν
ὅσον οὖν καλούμενον κόκκυγα. εἰ δὲ ἐπιμένοι χρόνοι, καυτηρία τὸ
τόπῳ ἐπιτίθει, μὴ βαθύνων πάνυ τὴν ἐσχάραν.

ΠΕΡΙ σπάσματος. Κεφάλαιον ο.

Τὸ σπάσμα γίνεται, διασπωμένων τινῶν νευρωδῶν ἰνῶν

ἐν

ἐν τοῖς ὑμέσιν ἢ τοῖς μυσί· καὶ δεῖται παρηγορίας μόνης μέχρις ἀνωδυνίας· καλλωπίζειν γὰρ τὰς τοιαύτας ἶνας οὐ δυνατόν. ὅτι γὰρ ἐκ τοῦ γένους τῶν κόλπων καθέστηκε καὶ τὸ ῥῆγμα· καὶ ἡ ἴασις παραπλησία ἐστὶν ἐπὶ τοῦ ῥήγματος προειρημένῃ. λέγω δὴ διαφορῆσαι τὸ περιεχόμενον καὶ ἀνωδύνως ξηρᾶναι. πίνεται δ' ὠφελίμως ἐπὶ τῶν ἐκ βάθους γινομένων ῥηγμάτων ἢ σπασμάτων λέγω δὴ εὐπατόριον ἢ ἐρύθρος, ἀριστολοχία στρογγύλη· ἐπὶ τῶν ... φαρμάκων ἐπὶ τούτων ὄξει ἐπιπίνεται καὶ ἄλλο· ὁμοίως δὲ καὶ κενταυρίου μεγάλου ἡ ῥίζα καὶ χυλός· ῥαπόντικόν· κόστος καὶ βδέλλιον. ἕκαστον σὺν ὀξυμέλιτι.

## Πρὸς στρέμματα ἄρθρων. Κεφάλ. οδ.

Στρέμματα συμβαίνοντα μάλιστα ἐν τοῖς ὀλισθήμασι, θεραπεύεται ξηρὰ οἱ σπόγγοι, ἢ σπόγγος καινὸς οἴνῳ καὶ ὄξει διάβροχος ἐπιτιθέμενος· ἐπὶ δὲ τῶν ... καταπλάσματι χρῶ παραλαμβανομένου καὶ ἡσυχίας. ποιεῖ πρὸς στρέμματα καὶ βολβὸς ἑφθός, λεῖος μετὰ μέλιτος. ἐπὶ δὲ τῶν ἀπαλοσάρκων μετὰ κηρωτῆς ὕσσωπος. ἢ ἄγνου φύλλα καὶ ἅλες καὶ νίτρον ὀπτὸν λεῖα μετὰ κηρωτῆς. κνίδης φύλλα σὺν ἁλσί. ἢ λιβανωτὸν τὸ ... κεκαυμένον. σύμφυτον σὺν κηρωτῇ. ἰσχὰς κλημματίνη σὺν ὀξυμέλιτι ... ἐπὶ δὲ παρὰ πάντων βέλτιον τῶν καταπλασμάτων ... ἐπιτιθέναι.

## Πρὸς κεχαλασμένα ἄρθρα. Κεφάλ. οε.

Συνάγει καὶ στερεοῖ τὰ κεχαλασμένα τῶν ἄρθρων, ἀκακία χυλὸς σὺν ὕδατι ἀνεθεὶς καὶ καταντλούμενος· καὶ τοῖς ἀκάνθης τῆς αἰγυπτίας τὸ ἀφέψημα· βάτου μυρσίνης σιδίων καὶ δρυὸς φύλλων τὸ ἀφέψημα· ἔλαιον μυρσίνινον ἢ σχίνινον ἐπαλειφόμενον συνεχῶς· σίδια ἑφθὰ λεῖα μετὰ κηρωτῆς μυρσινίνης· ἢ καὶ αὐτὰ ἑφθὰ ἐν οἴνῳ λεῖα ἐπιχριόμενα.

## Πρὸς χιμέτλας. Κεφάλαιον ος.

Προφυλακτικὸν χιμέτλων· ἁλσὶ λεπτοτάτοις μετ' ἐλαίου ἀνατρίβεται χεῖρας καὶ τοὺς πόδας συνεχῶς. Ἄλλο προφυλακτικὸν καὶ ταῖς ἤδη γενομέναις βοηθοῦν· κιτρίων μεγάλων τὸ ἐντὸς ὀξῶδες χωρὶς τοῦ σπέρματος λεῖον ἐπὶ μέλιτι ἀναλάμβανε στέατι ὑείῳ παλαιῷ, ὡς κηρωτῆς ἔχειν πάχος καὶ ἀνιζόμενος χρῶ χειμῶνος ἀφ' ... τῶν ἀλείφων δακτύλους, κατ' ἡμέρας. Ἄλλο Ὀριβασίου· ... ἄπυρον σὺν μέλιτι ἑφθὰ ἐπίχριε. Ἄλλο καλὸν ποιοῦν καὶ πρὸς τὰ ἑλκώδη ἀναβράσματα· σμύρν. οὐγ. δ. στυπτηρίας ὑγρᾶς οὐγ. β. ὄξους τὸ ἀρκοῦν, ἐπίχριε τὰς ἀνελκώτους χιμέτλας καὶ τὰ μετὰ χιμέτλων ἀναβράσματα. Ἄλλο· ... λεῖον ἐν οἴνῳ καὶ ῥοδίνῳ, ἐπίχριε. Ἄλλο· στυπτηρίας ὑγρᾶς οὐγ. γ. μίλτος οὐγ. α. ἐν ἀλ... ὄξους λί. α. ἕψε ὁμοῦ ὡς συστραφῆναι· χρῶ ἀλεί-

φων

ση(μείωσαι) ∴

φων. Ἄλλο. ὄμφακος σταφυλῆς χυλοῦ λί(τρα) α. λιθαργύρου
ἀν(ὰ) < γ. κηροῦ < ιϛ. ἕψε ὁμοῦ πάντα, ὡς τὸ πλεῖστον τοῦ
χυλοῦ ἀναποθῆναι. καὶ ἐπιχέας εἰς θυΐαν ἀνακόπτε ἐπὶ
πολὺ καὶ χρῶ. Ἄλλο σφόδρα γενναῖον, βοηθοῦν καὶ ταῖς
ἄλλαις φλεγμοναῖς. ψιμμυθ(ίου). λιθαργύρ(ου). στυπτηρί(ας) ὑγρ(ᾶς)
ἀν(ὰ) λί(τρα) α. σμύρν(ης) οὐγ(γίας) γ. λιβάν(ου) οὐγ(γίας) γ. ὠῶν ὀπτῶν
λεκίθ(ους) ιϛ. στέατος ὑείου παλαιοῦ λί(τρας) β. τὰ ξηρὰ λεῖοῦ-
ται μετὰ στέατος· ὅξει ἐν ᾧ ἀποψύχεται σίδηρα· καὶ ὅταν τοῖς ἄλλοις
ὡς συστασιν λάβῃ, ἐπιβάλλεται τὸ ὕδωρ στέαρ ἐξηρ-
γασμένον· καὶ ἀνακόπτεται ἐπιμελῶς, ἀνελόμενοι εἰς ἀγ-
γεῖον μολίβδινον φυλάττομεν. ἐπὶ δὲ τινὸς χρῆσιν δια-
λύεται ῥοδίνῳ ἢ μυρσινίνῳ, χριόμενον. Ἄλλο. ὑοσκυ-
άμου χυλὸς ἐπιχριόμενος συνεχῶς, ἀκίνδυνον ἀφλέγμαν-
τους καὶ ἀπόνους ποιεῖ. Ἄλλο πρὸς χιμέθλας. σκόρο-
δα ἑψήσας ἐν ἐλαίῳ καὶ ἀναπλάσας κηρωτὴν χρῶ. καλῶς ποιεῖ καὶ
ἡ ἀμόργη ἐπιχριομένη καὶ ῥόος βυρσοδεψικῆς χυλὸς καὶ τὰ κύκλω
καὶ τὰ ἐντλώματα ἁρμόδια χιμέθλαις· κυκλαμίνου ῥίζης ἀφέψημα ῥοῦ
βυρσοδεψικοῦ· σευτλίον· θέρμοι πικροί· θάλασσα καθ' αὑτὴν θερμή. πάν-
των δὲ μᾶλλον τὸ τῆς γογγύλης ἀφέψημα. Πρὸς δὲ τὰς ἡλκωμένας χιμ-
έθλας παραδόξως ποιεῖ κηρωτὴ ῥοδίνη ἐν γογγύλῃ μεγάλῃ γλυφθέντι
χυθεῖσα καὶ ὀπτηθεῖσα ἐπὶ θερμοσποδιᾶς· παραπλησίως δὲ ποιεῖ καὶ ἡ ἐν
τῇ ῥίζῃ τῆς ῥαφάνου τακομένη ῥοδίνη κηρωτή. καλῶς ποιοῦσι καὶ καρ-
κῖνοι ποτάμιοι κεκαυμένοι μετὰ μέλιτος ἢ κηρωτῆς. κοτυληδὼν λεία. σίδια
ἐν οἴνῳ ἑφθὰ μετὰ κηρωτῆς ῥοδίνης. Ἄλλο. πηγάνου. μυελοῦ ταυρείου
καὶ ῥοδίνου ἴσα. καλῶς ποιεῖ καὶ πρὸς τὰ παλαιὰ ἕλκη καὶ τὰ ἐπιπολῆς
ὅσα τε σκυταλίδων. Ἄλλο. τὸ δ' αὐτὸ καὶ κωλύει γενέσθαι. ἅλας
ἀνθ(ος)· κυτίνου σχιστῆς ἀν(ὰ) < δ. σμύρν(ης). λιβάν(ου) ἀν(ὰ) < β. κηροῦ < δ. στέα-
τος ὑείου < η. μυρσινίν(ου) ὅσον ἐξαρκεῖ. Ἄλλο. σχιστῆς < γ. λιθαρ-
γύρ(ου) < δ. σμύρν(ης) < α. ὠῶν δύο τὰ λευκά. οἴνῳ καὶ μυρσινίνῳ
διαλύσας ἐπίχριε. Ἄλλο. στυπτηρί(ας) στρογγύλ(ης) < δ. ἀσβέστ(ου)
< β. κηροῦ οὐγ(γία) α. ῥοδίν(ου) ἢ μυρσινίν(ου) οὐγ(γίας) δ. ἐν ἄλλ(οις) οὕτως. σχιστῆς < γ.
λιθαργύρ(ου) < δ. ἀσβέστ(ου) < β. κηροῦ οὐγ(γία) α. ῥοδίν(ου) ἢ μυρσινίν(ου) οὐγ(γίας) δ.
χρῶ καὶ τῷ πρὸς τὰ περιρρήγματα τῷ ποιοῦντι ταύτῃ. λιθαργύρ(ου) < ϛ. ἐν
ἄλ(λοις) γ. ψιμμυθ(ίου) < γ. κηροῦ < ιβ. στέατος ὑείου προσφάτου < η. ὠῶν ὀπτῶν
λεκίθους β. μάννης < α. λεῖου λιθάργ(υρον). ψιμμύθ(ιον) καὶ τὰ ὠὰ ὄξει καὶ
ἐπίχεε τὴν κηρωτήν. καὶ ἀναλαβὼν χρῶ ἀναλαμβάνων ἐπὶ τῆς χρήσεως μετὰ
ῥοδίνου. Ἄλλο ἐξαιρετικὸν χιμέθλων, ποιοῦν πρὸς ἐξανθήματα
ἀποδεδαρμένα· περιρρήγματα καὶ ἀποσύρματα. κηροῦ. στέατος ὑείου
ἀν(ὰ) < η. ἐν ἄλ(λοις) ἀν(ὰ) < π. λιθαργύρ(ου) πίτυος φλοιοῦ ἀν(ὰ) < ιϛ. μάννης
< η. ῥοδίνου τὸ ἀρκοῦν. τινὲς δ' αὐτῇ λιθαργύρ(ου). μολύβδαιναν βάλ-
λουσιν. Ὀριβασίου πρὸς ἡλκωμένας χιμέθλας τὸ ξηρὸν φάρμακον.
ἐλαίου ὀμφακίνου. στέατος ταυρείου. ὑοσκυάμ(ου) χυλοῦ ἀν(ὰ) λί(τρα) α. λι-
θαργύρ(ου) μετάλλ(ου) ἀν(ὰ) οὐγ(γίας) ϛ. κολοφωνί(ας) οὐγ(γίας) δ. Πρὸς χιμέθλας. εἰς ὕπ-
νον ὀξύκρατον χλιαρὸν ἄλειψον τοὺς πόδας.

Πρὸς

## Πρὸς τὰ ἐν δακτύλοις πτερύγια. Κεφ. ΟΔ.

Ἰοῦ σιδήρου σκωρίαν ὄξει διάχριε· στυπτηρίαν· σανδαράχην· ἄσβεστον
διαφυσῶν ἴσα καταπλάσσε· ἄνωθεν δὲ μοτὸν δι' οἴνου ἐπιτίθει
καὶ ὠὸν ἀπαλόν. Ἄλλο. λεπίδος, σιδίων, χαλκίτεως
ἴσα ἀνὰ [illegible] μύρων ἴσα λεῖα ποιήσας ἀνολάμβανε μέλι-
τι· καὶ περιχαλαίνοντα σὺν φορ[illegible] ἀφρῷ ἡμέρας ἐπιτίθει.
Τὸ δὲ κατάβραχυ ξηραινόμενον περιχάραττε. Ἄλλο συντόμως
ξηραῖνον πτερύγια καὶ ἀπαλλάσσον. Ὤχρας κεκαυμένης
λιβαν. ἀν. < β. ἰοῦ < α. μετὰ μέλιτος χρῶ. ποιεῖ καὶ πρὸς τὰς λοι-
πὰς ἐπὶ τῶν τόπων τούτων κακοήθεις μελανίας σηπεδόνας.
Ὀριβασίου πρὸς πτερύγια· Ζωπύριος φησί· στυπτηρίας στρογγύλης
ὀξύβαφον καύσας ἐν ὀστράκοις καὶ λεάνας ἐπίχεε ὄξους κυάθ. α
ὀξείου [illegible] β. καὶ μέλιτ. [illegible] γ. καὶ συλλεάνας ἔα αὐτό. τὸ πτερύγ. ἐπι-
θεῖ. Ἄλλο καλόν. Κιμωλίας [illegible] < η. χιαστήρ. κεκαυμέν. < δ.
χαλκοῦ κεκαυμέν. κηκίδ. ἀν. < β. χρῶ. Ἄλλο πρὸς πτερύγ. καὶ
τὰ ἐπὶ τῶν δακτύλων σηπόμενα καὶ τὰ ἐν αἰδοίοις ἕλκη. λιβαν. < δ
λεπίδ. < β. ἰοῦ < α. μέλιτ. [illegible] γ. τρίβε ἐν ἡλίῳ ἕως ὑπόξανθον
γένηται καὶ περιχαλαίνοντα τῶν τόπων οἴνῳ ἀκράτῳ [illegible] κατάχριε. ἄνω-
θεν δ' ὀθόνιον ὀξυδάτῳ καὶ ποσῶν ἐπιτίθει· [illegible] ἔπαινος [illegible]
λίαν συνηρεστήκα. Ἄλλο πρὸς πτερύγια ἀδήκτως καὶ ἐν τῷ μέρει
ταύτῃ ὑγιάζον. [illegible] λιπαρῶν ἐστημένων ὡς [illegible] λεπτοτάτων γενέσθαι
< α. κόπρ. < α. λεπίδ. < β. μέλιτος τὸ ἀρκοῦν. ἐπιτίθει. καὶ
θαυμάσεις. ἐγὼ δὲ κέχρημαι λεπίδι λεία καθ' αὐτ. ἄνω-
θεν μοτὸν ἐξ οἴνου ἐπιτιθείς. Ὀριβασίου πρὸς πτερύγια. Κηκίδ.
ἀρσενικοῦ χαλκάνθ. ἴσα. Ἄλλο. ἰοῦ < α. ἐν ἀλ. δ. μάννης
θείου ἀπύρ. ἀν. < β. χρῶ δ' ὡς θαυμασίῳ καὶ τὰ μέγα [illegible]
μετ' οἴνου καὶ μοτὸν ἐπιτίθει. Ἄλλο πρὸς πτερύγια θαυμα-
στὸν διὰ πεῖρ. Κηκίδα ἄφθητον λεάν μετὰ σηπομένων ξύλ. δρυΐν. ἐπίπασσε.

## Πρὸς παρωνυχίδας. Κεφάλαιον. ΟΕ.

Παρωνυχίδας ὅταν πρὶν πόνον σχεῖν εἴη ἐν τοῖς τῶν χειρῶν δακτύλ-
οις γένοιντο· εἴτ' ἐν τοῖς τῶν ποδῶν, σπόγγον βρέχων ὕδατι ἐπιτίθει· ἢ ξύσ-
ματα ὀθονίου ὁμοίως καὶ καταψύχε πολλάκις. Ἄλλο. λιβανωτὸν λεῖον
μετὰ μέλιτος περίχριε· ἢ κηκίδα μετὰ μέλιτος. Ἄλλο. μυρσίνης φύλλα λεία
καταπλάσσε· ἢ μυρσίνην κηρωτὴν ἐπιτίθει· ἢ ῥύπον ἐξ ὠτίου περίχριε
συνεχῶς καὶ ὑγιάζει. Τὰς δὲ φλεγμαινούσας ἄρτον ὕδατι διάβρεχον
μετὰ ῥοδίνου καταπλάσσε. Πρὸς παρωνυχίδας ἐμπυωμένας, παραχεν-
τήσας καὶ τὸ ὑγρὸν ἐκχέας καταπλάσσε φακῷ μετὰ μέλιτος ἢ ῥόδοις
χλωροῖς ἢ ξηροῖς βεβρεγμένοις ὕδατι λείοις καταπλάσσε. Ἄλλο.
Ἐλαίας ἁπαλοῖς φύλλοις λείοις μεθ' ὕδατος καταπλάσσε. Ἄλλο.
Καδμίαν λεπτοτάτην περίπασσε. καὶ διαστέλλει τὴν σάρκα πάντοθεν ἀπὸ
τοῦ ὄνυχος [illegible] ὀθονίου. καὶ διὰ τῆς ἐπιδέσεως δὲ ὁμοίως δια-
στέλλε. Ἄλλο. ὀρόβινον λεῖον ἐπίπασσε ὁμοίως διαστέλλε ἢ [illegible]
[illegible] ὁμοίως χρῶ. Ἄλλο πρὸς ἡλκωμένας παρωνυχίδ. ἰοῦ λι-
θαργύρ. ἀν. < δ. σαρκοκόλλ. < α. λεία ἐπίπασσε. δαψιλῶς

καὶ

καὶ διαστήσεις ὁμοίως. ἄνωθεν δὲ μοτὸν δι' οἴνου. εἶτα σπόγ-
γον ἐξ οἴνου ἐπιτίθεις, ἐπιδέσμει. τούτῳ πολλάκις κεχρήμεθα.
Ἄλλο πρὸς παρωνυχίδας ᾧ χρῶμαι. Νίτρου, λεπίδος χαλκοῦ
κεκαυμένου, ἀνὰ < α. κιμωλίας < γ. λειώσας πάντα μετ' ὄξ-
ους καὶ μέλιτος ὀλίγου, ἀναλάμβανε τροχίσκους. ἐπὶ δὲ τῆς χρεί-
ας ἀνιεὶς ὕδατι χρῶ μετὰ ξύσματος ὀθονίου. χρῶμαι δὲ συν-
εχέστατα εὐδοκίμῳ τροχίσκῳ ὃν ἶριν ὀνομάζουσι σὺν οἴνῳ
ἀνιεμένον. ἔχει δ' οὕτως. στυπτηρίας ὑγρᾶς < ρ. κρόκου σμύρν-
ης < π. [illegible] δὲ καὶ ἀλόης < π. λειοῦ οἴνῳ καὶ ἀναλάμβα-
νε τροχίσκους. χρῶ σὺν οἴνῳ. ἄνωθεν μοτὸν ἐξ οἴνου ἐπιτί-
θει. ποιεῖ κάλλιστα καὶ ὁ τοῦ Μνάσα (?) καὶ οἱ προγεγραμμένοι. πρὸς δὲ
τὰς ἤδη νεμομένας παρωνυχίδας, ἀρσενικὸν ἢ σανδαράχην καύ-
σας ἐπιτίθει λεπτότατον δακτύλῳ· καὶ ἄνωθεν μοτὸν ἐξ οἴνου
ἐπιτίθει. ἐγὼ δὲ χρῶμαι καὶ τούτῳ συνεχέστερον. ἀρσενικῷ καὶ
σανδαράχῃ ἴσοις λείοις χρῆσθαι. πρὸς δὲ τὰ [illegible],
ἀναλαβὼν αὐτὰ τερεβινθίνῃ ὑγρᾷ ἐπιτίθημι.

## Πρὸς τεθλασμένους ὄνυχας. κεφ. οϛ.

μυρσίνης καὶ ῥοιᾶς ἁπαλοῖς φύλλοις κατάπλασσε. ἢ [illegible]
[illegible] ἐγχωρίαν (?) περίλαβε τὸν δάκτυλον τῷ χελιδονίου χυλῷ καὶ ἔα μέχρι γ' ὡρῶν (?), γρ. ταύρου
ὥρας ὕστερον καὶ λύε τὸν τεθλασμένον ὄνυχα. Ἄλλο πρὸς τοὺς αὐτούς. ἁλ-
ὀρυκτὸν μεθ' ὕδατος καὶ ἐλαίου λειώσας κατάπλασσε. τοῦτο ὠφέλιμον
σφόδρα.

## Πρὸς τοὺς ἀφαιρουμένους ὄνυχας. κεφ. οζ.

πίσσαν ξηρὰν τήξας καὶ ἄλευρον πυροῦ (?) ἐμπλάσας, ὡς
ἐπιτίθει. βέλτιον δὲ ἐὰν περιτέμνοντα ὄνυχα πρὸ [illegible] τὸ μέσον
ἐκθλίψῃς τὸ ἀποχυθὲν αὐτοῦ αἷμα· μόνον γὰρ στηρίζεται καὶ [illegible]
καλῶς δυσπαθῶν αἴτιον γίνεται.

## Πρὸς τοὺς σαλευομένους ὄνυχας. κεφ. οη.

[illegible] ἀπὸ προσκόμματος καὶ ἐπιπόνους ὄντας, ἰσχάδων
ἰσχάδων μετὰ μέλιτος λειώσας ἐπιτίθει. ἐὰν δὲ τὸ ἥμισυ τοῦ ὄνυχος
πέσῃ, καὶ τὸ [illegible] ἢ ἄλλο μετὰ χολῆς [illegible] ἀναμίξας χρῶ τῷ
παρηγορικῷ.

## Πρὸς ψωριῶντας καὶ λεπριῶντας ὄνυχας. κεφ. οθ.

στέαρ προβάτειον μαλάξας καὶ εἰς ὀθόνιον ἐμπλάσας ἐπιτίθει καὶ
λύε διὰ τρίτης· καὶ ὅταν ὁ ὄνυξ μαλακὸς γένηται (?), ξύε, καὶ
πάλιν τὸ αὐτὸ ἐπιτίθεις, ἔα τὰς αὐτὰς ἡμέρας. εἶτα λύσας,
ξύε τὸν ὄνυχα· καὶ τοῦτο ποίει συνεχῶς μέχρι παντελοῦς ἀποκα-
ταστάσεως. Ἄλλο. λίβανον λεῖον ἀναλάμβανε τῷ προ-
βατείῳ στέατι. χρῶ καθὼς προείρηται. Ἄλλο. στυπτηρίαν
σχιστὴν ἀναλαβὼν στέατι χηνείῳ, χρῶ ὡς προείρηται. Ἄλλο.
ᾧ χρώμενος εὐδοκίμησα. μαστίχην χίαν ὕδατι ζέσας, ἐμβαλὼν
καὶ μαλάξας ἐπιτίθει τῷ ὄνυχι καὶ ἐπιδέσμει· καὶ λύε διὰ τριῶν ἡ-
μερῶν

μηλῶν· καὶ ξύσας πάλιν ἐπιτίθει, καὶ τοῦτο ποίει μέχρι τῆς ἀποστά-
σεως. Ἄλλο· κρίθινον ἄλευρον μετὰ πίσσης ὑγρᾶς ἕψε ὡς
ἐμπλαστρώδη γενέσθαι, χρῶ κατὰ τὸ προειρημένον. χρονιζούσης δὲ τῆς
διαθέσεως, χρῆσθαι τοῖς ὑπογεγραμμένοις. κόμμεως ∠ ϛ.
ἐλαίου ἀγρίου δακρύου ∠ δ. χαλκάνθου ∠ β. τὸ κόμμι καὶ τὸ δά-
κρυον ὄξει προβρέχε, καὶ διαλυθέντα, χάλκανθον λεῖον ἐπι-
βαλὼν ἕψε εἰς ἀγγεῖον κεραμεοῦν ἐπὶ ἀνθράκων, μέχρι
συστάσεως. καὶ προαποσμήξας τὸν ὄνυχα ἐπιτίθει καὶ
ἐπίδησον καὶ λύε διὰ τρίτης. ἐπιλυσας, ξύσας ἐπιτίθει,
καὶ τοῦτο ποίει μέχρις ἂν ἀποπέσῃ ὁ ὄνυξ. Ἄλλο· ὠχρῶ-
ματα. ἀρσενικοῦ χρυσίζοντος. σανδαράχης ἴσα. λειότατα
ποιήσας ἀναλάμβανε τερεβινθίνῃ ὑγρᾷ ὡς ἐμπλαστρώδη γενέσθαι.
ἐπιτίθει· προκαταπλάσας τὸν ὄνυχα πρὸ μιᾶς ἢ δύο ἡμερῶν ἀλεύ-
ρῳ κριθίνῳ μετ᾽ ὄξους ἢ καὶ μετὰ σικύου ἀγρίου ῥίζης. λύε δὲ διὰ
τρίτης· καὶ ξύσας ἐπιτίθει· τοῦτο ποίει μέχρι τῆς ἀποπτώσεως.
ἐλαίῳ δὲ μὴ κωλυέσθω. Ἄλλο· σανδαράχης. ἀρσενικοῦ
χαλκίτεως. σμύρν. λιβάν. ἀνὰ ∠ β. αἰγείρου. ἀλόης ∠ ϛ. τερεβ-
ινθίν. ἀναλάμβανε. χρῶ κατὰ τὸ προειρημένον χωρὶς ἐλαίου. Ἄλλο
ἀφιστᾷ ὄνυχα χωρὶς ἑλκώσεως. ἀσφάλτου ∠ β. θείου ἀπύρ.
σανδαράχ. ἀρσενικ. ἀνὰ ∠ α. ἀναλαβὼν τερεβινθίνῃ χρῶ καὶ
λύε διὰ ἡμερῶν ϛ. ἐν ἄλλ[illegible]. ξύσας ἐπιτίθει. ὅταν ἀποπέσῃ ὁ
ὄνυξ, κηρωτῇ μυρσινίνῃ ἐχούσῃ ἐκ τοῦ φαρμάκου χρῶ.
Ἄλλο· ἄσβεστον μετ᾽ ἐλαίου ἐπιτίθει. Ἄλλο· μαστίχης μετ᾽
ὀποβαλσάμου ὀλίγου διαλύσας ἐπιτίθει. τελουμένης δὲ τῆς
διαθέσεως, καὶ μὴ βοηθουμένης ὑπὸ τῶν προειρημένων, χρῆσθαι τῷ
ὑπογεγραμμένῳ ἐκδορίῳ. [illegible]

Ἐκδόριον ψωριώντων ὀνύχων· ἀφαιρεῖ καὶ τύλους.
ἀκροχορδόνας καὶ τὰ ὅμοια. κανθαρίδας ἀριθμῷ ιε.
θείου ἀπύρ. χαλκίτεως ἀνὰ ∠ α. σκορόδων κεφαλὰς πυρῆνας θ.
τρίψας ἐπιμελῶς ἀναλάμβανε τερεβινθίνῃ ὡς ἐμπλαστρώδη γε-
νέσθαι. ἐπὶ δὲ τῆς χρείας ἀσφαλισάμενος τὰ περιέχοντα τὸν ὄνυχα ἀφ-
λεγμάντῳ τινὶ φαρμάκῳ, ἐπιτίθει τὸ ἐκδόριον ἐμπλάσ-
σων εἰς ὑμένα κύστεως βοείας· καὶ λύε τῇ ἑξῆς ἡμέρᾳ. φλυκταινῶν
δὲ γενομένων, ῥήσσε τοῖς σοῖς ὄνυξι κατ᾽ ἐκεῖνο. καὶ ῥυπαρῶν μὲν
ὄντων τῶν ὑποκειμένων τόπων, κατάπλαττε ἄρτῳ σὺν ὑδρομέλιτι
ἢ φακῷ μετὰ μέλιτος. καθαρῶν δὲ γενομένων τῶν ἑλκῶν θεράπευε
κηρωτῇ σκευασθείσῃ διὰ στέατος χηνείου καὶ κηροῦ καὶ λιβάνου.
Ἄλλο ἐκδόριον. καρδάμου. σινήπεος. θείου ἀπύρ. μελανθίου.
κανθαρίδ. χαλκάνθ. ἴσα. τρίψας ἀκριβῶς μετ᾽ ὄξους. ἀναλάμ-
βανε τερεβινθίνῃ· χρῶ κατὰ τὸ προειρημένον. Ἄλλο Ὀρειβασίου,
λεπροὺς ὄνυχας ἀφιστᾷ. προαπολούσας. κηροῦ ἀσφάλτου ἀνὰ ∠
β. θείου ∠ α. ἐλαίῳ μὴ κωλυέσθω. ἐν δὲ τῇ χρείᾳ σου χαλκῷ

ἀγγείῳ

ἀγγείῳ ὕδωρ ζέον ἔχοντι περιπλάσσε ἔξωθεν· καὶ θερμανθὲν
ἐπιτίθεται τῷ ὄνυχι. Ἄλλο τοῦ αὐτοῦ· χάλκανθον
καὶ θεῖον ἄπυρον· ἴσα ἱκανὰ ἀναλαβὼν καὶ δεσμίδι ἐμπλά-
σας ἐπιτίθει. Ἄλλο· πίσσης ὑγρᾶς· κηροῦ· κολοφωνί-
ας· ἀμμωνιακοῦ θυμιάματος· τερεβινθίνης· θείου ἀπύρου· ἀφρονίτρου· ἴσα
ξηρὰ μὴ κολλώμενα. Ἄλλο τοῦ αὐτοῦ· πίσσης ὑγρᾶς,
ἐν ἀλ. καὶ κηροῦ· τερεβινθίνης ἀνὰ οὐγγ. α· θείου ἀπύρου· σταφίδος ἀ-
γρίας· νίτρου ἀνὰ < β· σανδαράχης· κανθαρίδων ἀνὰ < α· κεδρί-
του ἀρχαίου.

Πρὸς τοὺς ἀποπεσόντας τῶν ὀνύχων ὥστε ἀναβλῦσαι.

Κεφάλαιον π.

Σμύρνης < η· στυπτηρίας σχιστῆς < δ· ἄρτου κριθίνου ξηροῦ < α·
ἐν ἀλ. δ· μέλιτι ἀναλαβὼν ἐπιτίθει. Ἄλλο πρὸς τοὺς δυσ-
κόλως φυομένους· σεύτλου ἀγρίου σπέρμα μετ' ὄξους λεάνας
ἐπιτίθει. Ἄλλο· πόλιον ξηρὸν μετὰ στέατος, μετὰ στέατος
μοσχείου καὶ τερεβινθίνης ἐπιτίθει.

Περὶ σφιγγομένων δακτυλιδίων. Κεφ. πα.

Σφίγγεταί ποτε δακτυλίδιον ἐν τῷ δακτύλῳ ὅταν στενοτέ-
ρου ὄντος τοῦ κρικίου βιασθῇ εἰς τὰ παχύτερα μέρη τοῦ δακ-
τύλου. τότε δὲ μάλιστα ἐπιγίνεται ἡ σφίγξις, ὅταν [...]
ἐμφαγὼν καὶ οἰνοποσίαν κοιμώμενος ὁ ἄνθρωπος τὴν χεῖρα κε-
χαλασμένην ἐάσῃ· διόσκολλα γὰρ τὰ ἄκρα τῆς χειρὸς γίνεται
κρεμαμένης αὐτῆς. δεῖ οὖν ὑδρελαίῳ ἢ ἀφεψήματι μα-
λάχης καταντλεῖν ἐπὶ πολὺ τὴν χεῖρα. ἡ γὰρ [...] καταν-
τλησις διόσκολλα σώματα ποιεῖ. εἶτα κατὰ περιστροφὴν ἠρέμα
ἕλκειν ἔξω τὸ δακτυλίδιον. ὅταν δὲ μὴ ὑπακούῃ, μετὰ τὴν
καταντλησιν διὰ [...] λίνον λαβόντες ἐστραμμένον, τριχώσομεν
τὴν μίαν ἀρχὴν ὥσπερ οἱ σκυτοτόμοι ποιεῖν εἰώθασι, εἶτα
ὑποβάλλομεν ταύτην ὑπὸ τὸ δακτυλίδιον. τὸ δὲ λοιπὸν τοῦ
λίνου χάλασμα περιειλοῦμεν τῷ δακτύλῳ. τούτου δὲ γενο-
μένου, ἕλκεται ἐπὶ τὰ ἄνω ἡ λεπτυνομένη τοῦ λίνου ἀρχή. ἀ-
νελκομένου γὰρ τοῦ λίνου προβιβάζεται ἔξω τὸ δακτυλίδιον. ὅταν
δὲ μὴ ὑπακούῃ, μετὰ τὴν καταντλησιν διὰ [...] λίνον λαβόντες
ἐστραμμένον ὅλως, ὑποβάλλουσι τῷ δακτυλιδίῳ τὸ πλα-
τύτερον μέρος τοῦ κοπαρίου, ῥινάριον μαχαιροειδές, ἐκκόψομεν
τὸ κρίκιον τοῦ δακτυλιδίου ἐκ τῶν ἔξωθεν τοῦ σφαιριστηρίου. εἶτα
λινοστρόφιον περιτιθέντες ἐκ τῶν ἔξωθεν ἕλκειν χρὴ καὶ διαιροῦσιν
τὸ κρίκιον καὶ ὅλως ἐξέλκειν. μετὰ δὲ τὴν ἰατροῦ κομιδήν, ῥάκιον
οἰνελαίῳ βεβρεγμένον περὶ χεῖρα ἐπιδησόμεθα.

Πρὸς

## Πρὸς ἥλους ἐν πέλμασιν· Κεφάλ. πβ·

ὁ ἧλος τύλος ἐστὶ στρογγύλος ὡμοιωμένος ἥλου κεφαλῇ·
συνεχέστατα δὲ γίνονται ἐν τῇ πτέρνῃ καὶ ἐν τῷ στήθει τοῦ ποδός·
ὄχλημα ἐμποιοῦντες ἐν τῇ βαδίσει· ὅταν αὐτῇ τυποῦνται αὐτῆς τὰ
πτήματα· πλεῖστοι δὲ καὶ ἐν τοῖς δακτύλοις τῆς χειρὸς γίνονται
περὶ τὰ ἄκρα· τὴν τομὴν δὲ καὶ τὴν καῦσιν ἐπὶ τούτων περιϊ-
στάμεθα διὰ τὴν τῶν τόπων εὐαισθησίαν καὶ τὸ νευρῶδες· χρώμε-
θα δὲ καυστικοῖς φαρμάκοις τοιούτοις· κανθαρίδων αὐτὰ τὰ
θωράκια ιε´· θείου ἀπύρου χαλκίτεως ἀμέτρως ἀνὰ ... ταῦτα
λεαίνονται κατ' ἰδίαν καὶ ἀλλήλοις ἀναμίγνυνται· εἶτα ἀνα-
λαμβάνονται ὑγρᾷ πίσσῃ· ἵνα ἐμπλαστρῶδες γένηται· ἐν δὲ
τῷ ἐξαπολύειν, ἀπολύφονται τὰ περὶ τοῦ ἥλου καὶ ἡ κεφαλὴ εἶθ'
ὅταν περιχαραχθῇ τὸ πλεῖστον περὶ αὐτόν, σπληνίον ἀφλεγμάντου,
δυνάμεως ἔγκολλον ἐκκεκομμένον κατὰ τὴν μεσότητα, ἀναλό-
γως τῇ τοῦ ἥλου περιοχῇ, προστίθεται τῷ τόπῳ· καὶ τότε τοῦ
προειρημένου φαρμάκου πλάτυσμα ἐπιτίθεται, αὐτῷ τῷ ἥλῳ
μόνῳ κατὰ τὴν διακοπὴν τῆς ἐγκόλλου ἐμπλάστρου· ἔξωθεν δὲ κατ'
αὐτοῦ χαρτίον μικρὸν ἐπιτίθεμεν· κατὰ πάντων δ' ἄνωθεν, ἄλλο
σπληνίον φυλακῆς χάριν· καὶ οὕτως ἐπιδοῦμεν καὶ ἐῶμεν ἐφ' ἡμέρας β´ ἢ γ´.
ἐν ἡσυχίᾳ ἕως ἀποστῇ τῆς ὑποκειμένης σαρκὸς ὁ ἧλος πρὸς ὀλίγην
καὶ ἀνώδυνον ἐχόμενος· εἰ δ' ἐπιμένοι μετὰ τὰς τρεῖς ἡμέρας προσεχό-
μενος τῇ σαρκὶ ὁ ἧλος, τὸ αὐτὸ πάλιν γινέσθω· ἀναιρεθέντος δὲ
τοῦ ἥλου, παραναλύφεται τὸ πτῆμα· καὶ τότε σπληνίον ἐπιτίθεται
τῆς βαρβάρου· τῆς δ' ἑξῆς πυριᾶται ὁ τόπος· καὶ παραναλύ-
φεται τὸ πτῆμα καὶ πάλιν ἡ ἔμπλαστρος ἐπιτίθεται· καὶ τοῦτο
γίνεται ἕως ἰσόπεδον γένηται τὸ ἕλκος. . Ἄλλο πρὸς ἥλους·
περιγλύψας καὶ περιχαράξας τὸν τόπον ὡς προείρηται, ὀποῦ μάλιστα
μὴ κυρηναϊκοῦ· εἰ δὲ μὴ λάσαρ μετὰ νίτρου· συχνοῦ λιπαροῦ σαρκί,
ἀναλαβὼν ἢ τερεβινθίνῃ ἐπιτίθει. . Ἄλλο πρὸς ἥλους καὶ τύλους·
θέρμων ὠμῶν καυθέντων τὸ ἄλευρον μίξας ἀναλαβὼν καὶ προπερι-
χαράξας καὶ περιγλύψας ἐπιτίθει. . Ἄλλο· ὄρνιθος κόπρον καὶ
σαύρας χλωρᾶς ταύτῃ μετὰ μέλιτος προπεριχαράξας. . Ἄλλο εὐεργὲς
σφόδρα· σανδαράχην σὺν οὔρῳ λεαίνων ἐπιτίθει προπεριχαράξας. . Ἄλλο
σφόδρα εὐεργόν· περιχαράξας τὸ περὶ ... πλήρωσον τὰ κύκλῳ πάντα
ὀποῦ κυρηναϊκοῦ λεπτοῦ· εἰ δὲ μή, λασερπιτίου· κατάθες σπληνί-
ον ἀπὸ μέλιτος ἔχον τὸν ὀπὸν ἐπιτίθει μεῖζον· τοῦτο ποιεῖ καὶ πρὸς
χοιράδας. . Ἄλλο πρὸς ἥλους ἐν πτήμασι· προπεριχαράξας
καὶ ἐρεβίνθων κυάμινον ὄξει βρέξας ἕως ἁπαλὸς γένηται καὶ λεάνας
ἐπιτίθει· τὸ αὐτὸ καὶ ὄροβοι. . Ἄλλο θαυμαστὸν ἐναργές·
προπεριχαράξας τὸν ἧλον, ἐπίπασσε ἀλκυονίου λεπτοῦ καὶ ἐπιτίθει
μοτὸν καὶ ἐπίδησον. . Ἄλλο εὐεργετικόν· περιχαράξας, ἐπίχριε εἰς
ἡμέραν μίαν τῇ προσεστραμμένῃ ... καὶ τὸ κατὰ μέρος, ξηραινόμενον
περίγλυφε. . Ἄλλο πρὸς τοὺς ἥλους δακτύλων χειρὸς ἀνωδύνως ἆραι·

γρ. καὶ κύμινον

μαστίχην

μαστίχην μέλαιναν ἢ αἰγυπτίαν ἕψε σὺν ὄξει καὶ ἐμπλάσσων
ἐπιτίθει θερμόν. Πρὸς τὸ ἧλον ἐκβάλλειν ἐξ ὑποδήματος ἢ χειρός.
περιστερᾶς κόπρον ἕψε μετὰ ὄξους δριμυτάτου· λειώσας καὶ ποιήσας
κηρωτῆς πάχος, ἢ περιξύσας τὸν τόπον ἐπιτίθει τὸ φάρμακον ἡ-
μέρας β΄ ἢ γ΄ καὶ ἐκ ῥιζῶν αἴρει τὸ ἧλον.

## Πρὸς ῥαγάδας ἐν πτήμασι. Κεφάλ. πγ΄.

Ῥαγάδες γίνονται κατὰ τὰ πτήματα καὶ ἐν ταῖς βαδίσεσι μᾶλλον
ἐμποιοῦσιν ἀλγηδόνα· θεραπεύονται δὲ φαρμάκοις, τῶν πτημάτων
συνεχῶς γλυφομένων. σύνθετα δὲ ἐπὶ τούτων ἡ ὑγρὰ πίσσα μετὰ κη-
ροῦ· δύο μὲν μέρη τῆς πίσσης, τοῦ δὲ κηροῦ μέρους ἑνὸς ἀναμαλαττο-
μένων. Ἄλλο. βολβοὺς τοὺς ἐν τῷ ἐλαίῳ ἕψησον καὶ ἀνάπλασσε ⸆ ἀνάπλασσε
καὶ ῥοδίνῳ λειώσας τῷ ἐλαίῳ περιάλειφε συνεχῶς. Ἄλλο.
καρκίνους ποταμίους καύσας καὶ σὺν μέλιτι λεάνας τὴν τέφραν χρῶ. ἢ
μετ' ἐλαίου λειώσας ἔγχριε περιλύσας. Ἄλλο. σίδια ἐν ὄξει ἑψή-
σας κατάπλασσε ἐπὶ ἡμέρας ε΄. εἶτ' ἄρας, ἐπιτίθει ἄσβεστον μετ' ἐλαίου.
Ἄλλο. κασσίτερον καύσας καὶ τὸ ἄσβεστον ὑγρᾷ πίσσῃ ἀναλαβὼν ἢ κη-
ρωτῇ ῥοδίνῃ ἐπιτίθει. Ἄλλο. ἀμόργης ἑψημένης ἐν χαλκῷ ἕως
μελιτώδους συστάσεως κοτ. α΄. ὄξους κοτύλ. α΄. λιθαργ. δ΄. μάννης ἀνὰ
∠ β΄. ξίου οἰσύπου κηροῦ μαλακοῦ ἀναπλάσσονται· τὸ ξύλον περὶ δά-
δινον ξύλον ἑλίξας καὶ κατακαύσας, σύλλειανε τοῖς ξηροῖς,
τὴν δ' ἀμόργην σὺν τῷ ὄξει ἑψήσας ἕως μελιτώδης γένηται· καὶ
ἀναλωθέντος τοῦ ὄξους τὰ ξηρὰ ἐπιπάσσων ἀναλάμβανε.
χρῶ, ἐπὶ μὲν τῶν τραυμάτων οἴνῳ ἀνιείς· ἐπὶ δὲ τῶν πτημάτων
καὶ ἀνδρείων σὺν οἴνῳ γλυκεῖ. Ἄλλο. πρὸς ῥαγάδας ποδῶν.
στέαρ ὕειον ταριχηρὸν τήξας, ἐπίσταζε θερμὸν συνεχῶς. Ἄλλο
πάνυ δόκιμον. λιθαργύρ. κολοφωνίας μέλιτος ἐλαίου ἴσα· τὰ τρία τῆξ(ον)
χρῶ. ποιεῖ καὶ πρὸς τὰ ἄλλα κοῖλα ἕλκη. Ἄλλο πρὸς ῥαγάδας ποδῶν.
ὥστε τὸ καλλέφθη σκληρὸν τῶν χειλῶν μαλάξαι. ψιμμυθ. ∠ β΄. λιθ. ⸆ καὶ σκληρὸς
ἀργύρ. ∠ ε΄. ἐνάλ. ϛ΄. σμύρν. α΄. ᾠῶν β΄. τὰ λευκά. οἶνον δύο
δὴ περιέχων λείου. χρῶ. ἐμοὶ δὲ δοκεῖ καὶ ἔλαιον προσβάλλειν· ἵνα λι-
παρὸν σχῇ τὸ σύνθεμα. Ἐγὼ δὲ τῷ κοινῷ διὰ μέλιτος ἐχρησάμην
ἴσα λαμβάνοντι κηρὸν ἔλαιον λιθάργυρον καὶ μέλι ἐπὶ πάσης ῥαγά-
δος πτημάτων καὶ χειρῶν καὶ πτερνῶν καὶ θέναρος τῆς χειρός, καὶ τῶν
ἐντὸς τῆς χειρός, ἢ τῶν δακτύλων. καὶ ἔτι μᾶλλον εἰ πλησίον τὰ παρὰ
τὸ ἕλκος τῷ ὄνυχι. ποιεῖ καὶ πρὸς τὰ τῶν πτερνῶν ἐξ ὑποδημάτων
παρατρίμματα καὶ τὰ ἐκ μακρονοσίας γινόμενα ἃ συμβαίνει κατὰ
τῶν ἀγκώνων καὶ τῶν ἰσχίων τῶν χρονίως νοσούντων. ἐπὶ τούτων παθῶν
ἐχρησάμην τῷ διὰ μέλιτος ἴσα λαμβάνοντι καθὼς προείρηται·
καὶ ... εὗρον. οὐ γὰρ εὑρέθη ἄλλο τοιοῦτον. καὶ μάλιστα ἐπὶ τῶν νοσῶν
τὴν ἱερὰν νόσον νοσούντων ἢ τῶν ἠλκωμένων ἐκ προστρίψεως τῆς κλίνης,
καὶ τοὺς ... τὰς μητρῶν. Ἡ διὰ θηραϊκῆς λεγομένη πρὸς ῥα-
γάδας ποδῶν. ἀσβέστου ζώσης ∠ δ΄. ψιμμυθ. ∠ β΄. κηροῦ ∠ γ΄. χοι-
ρείου στέατος προσφάτου ∠ ζ΄. κολοφωνίας ∠ η΄. λινοσπέρματος ∠ ιβ΄.

ἐλαίου

ἐλαίου γλυκέος < η'. ἐν ἄλλ. λη'. λειοῦ ἅμα τῷ ψιμμυθίῳ
καὶ τὴν ἄσβεστον σὺν τῷ χυλῷ τοῦ λινοσπέρματος καὶ ψύξας
καὶ ἀναξύσας τῇ κηρωτῇ μίσγε· καὶ περιπλάσσων, καθαρὰς χρῶ. αὕτη
ἄπαλον ἐργάζεται τὸ σχῆμα ὡς οὐδὲν ἕτερον. τοῖς δ' ἄλλοις οὐ
χρηστὴ ἀνεπιτήδειος· δυσώδη γὰρ αὐτὰ ἀποτελεῖ. Ἄλλο
πρὸς ῥαγάδας. ἀμόργης, μέλιτος ἀπηφρισμένου ἀνὰ < β'. συ-
στηρίας φορίνης < α'. τὰ αὐτά φησι ποιεῖ τῇ προγεγραμμένῃ.
ἐκτρίβεται δὲ καὶ ὅλα ὀδόντων καθαρτικὴ καὶ κρατυντική· καὶ
ἄφθας ἰᾶται καὶ ῥαγάδας ἐν χείλεσιν.

## ΠΕΡΙ τῶν ἐν σκέλεσιν ἢ ἐν ἄλλῳ τόπῳ τοῦ σώματος κιρσῶν. Κεφάλαιον, πδ'.

Κιρσὸς ὀνομάζεται ἡ ἀνευρυσμένη φλέψ. ἀνευρύνεται δὲ συ-
νεχῶς ἐν σκέλεσιν· ἐνίοτε καὶ ἐν ὄρχεσιν· ἀλλ' ἐν ὀσχέοις γινόμενος
ὁ κιρσὸς, ἔχει δυσχερῆ ἀπαντῶντα ἐν τῇ χειρουργίᾳ. ἐν δὲ τοῖς ἄλλοις
μέρεσι γίνεται τάδε τρόπῳ· ἁπλῇ τομὴ διδόσθω κατὰ τοῦ ὑποκει-
μένου τῷ ἀγγείῳ δέρματος· εἶτ' ἀνασπωμένου ἀγγείου τῷ περιεζωσμένῳ,
ἀνέχεται διὰ τοῦ τυφλαγκίστρου· εἶτα λινοσπέρματι βροχιζέσθω κατὰ
τὸ ἄνω πέρας καὶ κάτω, προστεθὲν διαιρείσθω, ὡς ἐπὶ φλεβοτομίας· κενω-
θέντος δ' ἱκανοῦ αἵματος, ἀποσφιγγέσθω ἐκ τοῦ ἀγγείου μέρους καὶ ὅλως
ἀποτεμνέσθω ἅπαν τὸ ἀνευρυσμένον αὐτοῦ μέρος. μετὰ δὲ τὴν χειρουρ-
γίαν μάννῃ πληρούσθω τὴν διαίρεσιν καὶ διὰ μοτῶν αὐτὴν, ἐν ἧ(?) συ-
χνὰ φυλαττομένῃ, ἰσόρροπον ποιοῦντα τὸ μέρος ἐν τῇ κατακλίσει,
ἵνα μὴ ῥευματίζηται, κατάρροπον γινόμενον. ἡ δ' ἑξῆς θεραπεία πυο-
ποιὸς γενέσθω. ἡ μέθοδος σύντομος καὶ ἀσφαλὴς θεραπεία αὕτη. τινὲς
δὲ καὶ καυτῆρι παραλαμβάνουσιν ἐπὶ τούτοις· ἐκ διαστημάτων δακτυ-
λιαίων ἐπιβάλλοντες καυστῆρας κατὰ τοῦ ἀγγείου· καὶ μετὰ τὴν ἐσχαρῶν
ἀπόπτωσιν καὶ τὴν σάρκωσιν, οὐλῶν γενομένων στερροποιοῦσι τὸν τόπον. τινὲς
δὲ φαρμάκοις ἐπιχειροῦσι τοὺς ἀρχομένους κιρσοὺς θεραπεύειν τού-
τοις. Ἔμπλαστρος πρὸς κιρσοὺς ἀναξηραίνουσα ἀνωδύνως
καὶ τὰ χρονίως ῥευματιζόμενα σκέλη, κἂν ἐν αὐτοῖς κιρσοὶ γένωνται, ἀνα-
ξηραίνει αὐτά. ἀσφάλτου ἰουδαϊκῆς οὐγ. ιβ'. ἐν ἄλλ. ιη'. ἐλαίου παλαιοῦ
στάτες κοτ. η'. τερεβινθίνης ὑγρᾶς οὐγ. ζ'. θείου ἀπύρου οὐγ. δ'. ἐν ἄλλ. α'. τὴν
ἄσφαλτον τρίψας εἰς τερεβινθίνην μίγνυε ὁμοῦ καὶ ἕψε μετὰ τοῦ ἐλαίου μὴ κι-
νῶν ἕως ταχέως ἐπίβαλε τὴν τερεβινθίνην καὶ ἕψε μέχρις ἀναλώ-
του. ἄρας ἀπὸ πυρὸς, ἐπίπασσε τὸ θεῖον λειότατον. ἑνωθὲν ἱκανῶς
ἐπίχεε εἰς θυίαν ἔχουσαν ὕδωρ ψυχρόν· ἀναμάλασσε ἐπὶ πολὺ
χειρί.

## ΠΕΡΙ τῶν ἐν βραχίοσι καὶ σκέλεσι δρακοντίων, Λεωνίδου. Κεφάλαιον πε'.

Τὰ λεγόμενα δρακόντια παρωνομίασται τοῖς ἐν ἐντέροις γινομένοις ἑλμ-
ίνθοις· καί ποτε μὲν μεγάλα, μικρά ποτε δ' εὑρίσκονται· πλεονάζει
δὲ περὶ κνήμας· ἐνίοτε καὶ περὶ βραχίονα γίνεται ἐν μυώδεσι τόποις·
καὶ μᾶλλον ἐπὶ παιδικῆς ἡλικίας τοῦτο συμβαίνει. ἐν δὲ τῇ Αἰθιοπίᾳ

καὶ τῇ τῶν ἰνδῶν χώρᾳ τὸ πάθος μᾶλλον συνεδρεύει. ἡ δὲ γένεσις παραπλησία ταῖς πλατείαις ἕλμισιν γίνεται. ζῶντα γὰρ κινεῖται ὑπὸ τὸ δέρμα, μηδὲν χαλεπὸν ἐμποιοῦντα. τῷ δὲ χρόνῳ κατὰ τὸ πέρας τοῦ δρακοντίου ἐκπυοποιεῖται ὁ τόπος, καὶ τὸ δέρμα ἀναστομοῦται καὶ ἔξω προέρχεται ἡ τοῦ δρακοντίου κεφαλή. ἑλκόμενον δὲ τὸ δρακόντιον πρὸς τὴν ἔξοδον, ἀλγηδόνα ἐμποιεῖ. καὶ μάλιστα ὅταν μετὰ τοῦ ἑλκόντων βίᾳ ἀποκοπῇ. τὸ γὰρ καταλειπόμενον αὐτοῦ μέρος, χαλεπὰς ὀδύνας ἐπάγει. προσήκει τοίνυν λίνῳ στερεῷ σφίγγειν τὸ προκύψαν μέρος τοῦ δρακοντίου, καὶ ἀποδεσμεῖν ταῖς ἀρχαῖς τοῦ λίνου περὶ τὴν κνήμην ἢ τὸν βραχίονα, ἵνα μὴ ἀναδράμῃ. καὶ τοῦτο ποιεῖν ἐφ' ἑκάστης ἡμέρας. τὸ κατὰ βραχὺ προπίπτον ἀποσφίγγοντα μέν· μὴ ἀποτέμνοντα δέ. παραλαμβανέσθω δὲ καὶ καταντλησις διὰ μελικράτου θερμοῦ καὶ ἐλαίου, καὶ ἀφεψήματος ἀβροτόνου ἢ ἀψινθίου ἢ τινος ἑτέρων τῶν πρὸς ἕλμινθας ἀναγραφέντων. μόνα δὲ τὰ δριμέα παραιτούμενος διὰ φλεγμονάς. καὶ καταπλάσματα δὲ διὰ τῶν χαλαστικῶν καὶ πυοποιῶν ἀλεύρων προσαγέσθω μετὰ μελικράτου καὶ ἐλαίου. εἰ μὲν οὖν αὐτομάτως κατὰ βραχὺ δύναται δρακόντιον ἐξελκεσθῆναι, μηδὲν ἕτερον ἐπεξεργαστέον. εἰ δὲ μᾶλλον εἰς διαπύησιν τραπείη, ἐπιμένοντα τοῖς καταπλάσμασι καὶ τῇ τοῦ μελικράτου καὶ ἐλαίου καταντλήσει. εἰωθαμεν δὲ τῇ διὰ δαφνίδων ἐμπλάστρου μετὰ τὸ ἀφαιρεῖν τὸ κατάπλασμα ἐπιτιθέναι. διαπυήσεως δὲ γενομένης, διαιρείσθω τὸ δέρμα κατὰ τὸ μῆκος ὑποβαλλομένης μήλης καὶ γυμνούσθω τὸ δρακόντιον. καὶ κολλάσθω ἡ διαίρεσις. καὶ ἡ ἀγωγὴ ἔστω πυοποιός, ἄλλως μὴ ἐξαιρείσθω. ὅτι συμβαίνει σηπόμενον καὶ πυοποιούμενον τὸ δρακόντιον ἐκπίπτειν. τὸ δ' ἕλκος συναναρχούμενον ἐπουλούσθω.

## Πρὸς συκάμινον. Κεφάλαιον, πς.

Ἀκακίας ∠ ιβ. τιτάνου ∠ ιβ. ἀρσενικοῦ, σανδαράχης ἀνὰ ∠ δ. οἴνου τὸ ἀρκοῦν. χρῶ δ' ἐπὶ μ. ἡμέρας ἢ πλείους καὶ θεραπεύσεις.

Τέλος τοῦ ιδ λόγου περὶ ἑδρικῶν καὶ αἰδοιικῶν καὶ περὶ τῶν ἰσχιάδων παθῶν· καὶ περὶ τῶν ἐναίμων τραυμάτων· καὶ περὶ κοίλων καὶ κακοηθῶν ἑλκῶν καὶ κόλπων καὶ συρίγγων καὶ τῶν λοιπῶν.

# ΠΙΝΑΞ

## Τῶν κεφαλαίων τοῦ ιε βιβλίου.

Περὶ οἰδημάτων. σκίρρων. χοιράδων. βρογχοκήλων. γαγγλίων. ἀθερωμάτων καὶ ἑτέρων τινῶν καὶ ἐμπλάστρων διαφόρων.



φλα-

φιλαγρίου. ι. περὶ ἀνθρυσμάτων. ια. περὶ κηρίων. ιβ. περὶ ὑδρο-
κεφάλων. λεωνίδου. ιγ. ἔμπλαστρος ἔναιμος κολλητικὴ καὶ πολύχρηστος.
ιδ. ἡ διὰ τῆς ἀφρακτυλίδος χλωρὰ κολλητική. ιε. ἄλλη χλωρὰ
ἀνδρομάχου ἡ ἑκατοντάδραχμος. ις. ἡ ἶρις χλωρὰ ἡ τοῦ τίτου λεγο-
μένη. ἄλλοι δ' ἥμωνος ἐπιγραμματέως. ιζ. ἡ μαχαιρίωνος. ιη.
ἡ διὰ βοτανῶν. ιθ. ἡ ἑστία. κ. ἡ πορφυρᾶ. κα. ἡ φοινικί-
νη γαληνοῦ. κβ. ἡ δι' ἐδρελαίου. κγ. ἡ δι' οἰνελαίου. κδ. ἡ δι' ὀξ-
ελαίου. κε. κηρωτὴ ἡ τοῦ ἀλιδος. κς. ἄλλη κηρωτὴ τοῦ ἀλιδος.
κζ. γαληνοῦ ἡ τοῦ ἀλιδος ἀνέκδοτος. κη. τυρία ἀνέκδοτος.
κθ. ἡ διὰ τῆς ἀνεμώνης. λ. ἑτέρα σκευασία τῆς ἀνεμώνης δι'
ὄξους. λα. ἔμπλαστρος κεφαλικὴ καὶ καταγματικὴ πολύχρηστος.
λβ. ἡ ῥακαστπαίδοκος βάρβαρος μέλαινα ἣν οἱ ἰνδοὶ ἄφθαν κα-
λοῦσι. λγ. μέλαινα πανάληθης. λδ. αἰγυπτία ἀνδρομάχου. λε.
ἡ πανάκεια ὑπὸ δέ τινων τῶν τριῶν ἀδελφῶν λεγομένη. λς. μέλαι-
να ἱκεσίου. λζ. ἀσκληπιάδου καταγματικὴ ἀρίστη μέλαινα.
λη. ἡ ἀθηνᾶ. λθ. ἡ δι' ἰτεῶν μέλαινα. μ. ἡ δι' ἰτεῶν ὡς κρί-
των καὶ ἡρόδοτος. μα. ἐκ τῶν ὀριβασίου ἡ διὰ τοῦ χυλοῦ τῆς ἰτέας.
μβ. ἡ κυζικηνή. μγ. ἡ μοσχίωνος καταγματική. μδ. ἡ ἶσις.
με. ἔμπλαστρος ἔνδοξος. μς. ἡ διὰ κενταυρίου. μζ. ἡ διὰ δικτάμ-
νου. μη. ἔμπλαστρος μαλακτικὴ καὶ διαφορητικὴ καὶ πολύχρηστος.
μθ. μέλαινα ἀχίλλεος. ν. ἡ δι' αἱρῶν μέλαινα διαχυτική.
να. ἡ ὑγιὰ μέλαινα. νβ. ἡ μέθη διαπνευστική. νγ. ἔμπλαστρος
ἡ διὰ χυλῶν. νδ. ἄλλη διὰ χυλῶν. νε. ἡ διὰ πιτυΐνης.
νς. ἡ διὰ ψυλλίου. νζ. ἄλλη διὰ ψυλλίου. νη. ἡ διὰ ἐρα-
πιάδων. νθ. τὸ ψιττάκιον. ξ. ἡ διὰ τῆς ἀλθαίας πάνυ καλή.
ξα. ἡ διὰ λινοσπέρματος πάνυ καλή. ξβ. ἡ κεφαλική. ξγ. ἄλλη κεφ-
αλική. ξδ. ἡ διὰ τῆς ἰξίας βοτάνης ἣν ἐπὶ τῆς χολάδος ὀρθοῦ. ξε. ἡ σμάραγδος
πάνυ καλή. ξς. ἡ διὰ τοῦ ὀναθύρου ἡ τῆς βουλαρίου πάνυ καλή. ξζ. ἡ διὰ τοῦ
ἀγάθου. ξη. ἡ πάγουρος. ξθ. ἡ διὰ τῶν κηρύκων. ο. ἡ διονυσιακή.
οα. ἡ διὰ σάπωνος. οβ. ἄλλη διὰ σάπωνος διαφορητική. ογ. ἡ διὰ
τοῦ ἡλιοτροπίου πάνυ καλή. οδ. μάλαγμα τὸ μνασαίου. οε. μάλαγμα τὸ
ἰσχιαδικόν. ος. μαλακτικὸν καὶ διαφορητικὸν ἀποστημάτων. οζ. ἄλλο
διαφορητικὸν ἀποστημάτων. οη. ἡ διὰ γύρεως πρὸς ἀποστήματα καὶ ἀθερώματα.
οθ. τὸ διὰ ζύμης. π. ἡ μαστιχηρά. πα. τὸ τρίδδον. πβ. ἡ τῆς ἴσι-
δος. πγ. ἔμπλαστρος ἡ τῆς πολυθρυλουμένης. πδ. ἔμπλαστρος ἡ κωφή. πε.
φάρμακον τὸ τοῦ κηρομαλίτου. πς. ἄλλο μαλακτικόν. πζ. ἡ πυξίς.
πη. ἡ διὰ μέλιτος. πθ. μηλίνη σεραπίωνος τραυματική. ϙ. μηλί-
νη πασίωνος ἀθανασία. ϙα. ἡ ἀφροδίτη πολύχρηστος. ϙβ. ἑ-
τέρα ἀφροδίτη. ϙγ. ἡ πανάκεια. ϙδ. ἡ διὰ λαπάθου πολύχρηστος. ϙε.
ἡ διὰ πτίσνης ἀσκληπιάδου. ϙς. ἡ διὰ πτίσνης ἑτέρα γαληνοῦ. ϙζ.
μάλαγμα τὸ καθ' ἡμᾶς τοῦ λουκίου πρὸς αὐχένα ἐπιγραφόμενον. ϙη. ἡ διὰ
ψυλλίου διὰ πέτρας. ϙθ. μάλαγμα πηγανηρόν. ρ. μάλαγμα διαλυ-
τικὸν χοιράδων. ρα. ἄλλο μαλακτικὸν διαφορητικὸν πρὸς χοιράδας.

ρβ. ἄλλο διαφορητικὸν ἀποστημάτων καὶ χοιράδων. ργ. ἄλλο μαλακτικὸν κάλλιστον πεπειραμένον. ρδ. ἔμπλαστρος ἡ διὰ τοῦ βδελλίου. ρε. ἡ διὰ τῶν λίθων ἔμπλαστρος ἡ ὑπό τινων ὀνομαζομένη τυραννὶς καὶ παμπαθής. ρϛ. διαφορητικὴ πρὸς χοιράδας. ρζ. ἄλλη πρὸς χοιράδας καλὴ Ὀρειβασίου. ρη. Δαμοκράτους διαφορητικὴ δι' ἀλόων πᾶσαν τὴν σκληρίαν. ρθ. ἄλλη διαφορητικὴ Δαμοκράτους. ρι. Φιλαγρίου διαφορητικὴ βρογχοκήλων καὶ σκληριῶν. ρια. πρὸς χοιράδας καὶ πᾶσαν σκληρίαν. ριβ. ἡ διὰ λαπάθου, πρὸς χοιράδας. ριγ. ἡ διὰ σκολοπενδρίου. ριδ. ἄλλη διὰ λαπάθου. ριε. ἡ διὰ σταφίδων διαφορητικὴ χοιράδων. ριϛ. ἡ ἀνίκητος Κρίτωνος. ριζ. ἀποστημάτων διαφορητική. ριη. ἄλλο πρὸς ἀποστήματα. ριθ. ἔμπλαστροι ῥηκτικαί. ρκ. ἔμπλαστρος αὐτο[illegible] ποιουμένη. ρκα. ἄλλη διαφορητικὴ ἡ χαλαστικὴ. ρκβ. ἄλλη ἡ [illegible]. ρκγ. περὶ τῶν ἐπιθετικῶν καὶ διαφορητικῶν ἐμπλάστρων Γαληνοῦ. ρκδ. λευκὴ ἐπιθετικὴ καὶ ἄλλαι. ρκε. μηλίνη. ρκϛ. ἄλλη πρὸς χοιράδας γαγγραίνας. ρκζ. ἡ Κηφισοφῶντος. ρκη. ἄλλη ἣ ἐχρήσατο Μενεκράτης καὶ ἄλλη ἐπιθετική. ρκθ. ἡ Διονυσίας· αὕτη κοινῶν ἐστὶ τῆς ἄλλης. ρλ. ἐπιθετικὴ καὶ διαφορητική. ρλα. ἡ διὰ σκορόδων. ρλβ. ἡ αἰχμάλωτος καὶ ἄλλως ἡ αἰχμάλωτος. ρλγ. ἄλλη διὰ πυρὸς πρὸς χοιράδας. ρλδ. ἐκ τῶν νεωτέρων πρὸς χοιράδας. ρλε. ἡ διὰ καππάρεως. ρλϛ. ἡ διὰ τοῦ ἀγαρικοῦ. ρλζ. κηρωτὴ πολύχρηστος. ρλη. τὸ τετραφάρμακον. ρλθ. τὸ μακεδονικόν. ρμ. ἡ τοῦ [illegible]. ρμα. ἑπταφάρμακον. ρμβ. ἐννεαφάρμακον Ὥρου Μενδησίου. ρμγ. τοῦ φιλοσόφου. ρμε. ὑσσώπου σκευασία. ρμϛ. ἡ χλωρά. ρμζ. τὸ βρόμιον καὶ ἄλλο. ρμη. ἡ δι' ὠῶν. ρμθ. τὸ πτ[illegible]. ρν. διὰ ὠῶν Ὀρειβασίου. ρνα. πτ[illegible] Ὀρειβασίου. ρνβ. ῥοδιακὴ Ἀσκληπιάδου. ρνγ. ἡ [illegible]. ρνδ. τὸ σφαιρίον. ρνε. τὸ πεντάθυρον. ρνϛ. ἡ δι' ὤχρας. ρνζ. ἡ Τηλαμῶνος. ρνη. πιλάριον τὸ δι' [illegible]. ρνθ. διὰ πομφόλυγος καὶ ἄλλη [illegible] καὶ ἄλλη Ὀρειβασίου. ρξ. τὸ πηγανινόν. ρξα. ἡ διὰ [illegible]. ρξβ. ἡ διὰ τοῦ χυλοῦ τοῦ σεύτλου. ρξγ. [illegible]. ρξδ. τὸ μυρσινάτον. ρξε. μήλινον ἐπουλωτικόν. ρξϛ. ἡ διὰ σανδύκων. ρξζ. Ὀρειβασίου πρὸς ἐξανθήματα. ρξη. ἡ διὰ σχίλλης. ρξθ. ἡ διὰ πομφόλυγος ἢ [illegible].

## Ἀετίου βιβλίον πεντεκαιδέκατον.

### Περὶ οἰδημάτων· Γαληνοῦ· κεφ. α.

Ὥσπερ ἐπὶ χολώδει ῥεύματι τὸ ἐρυσίπελας συνίσταται, οὕτω ἐπὶ φλεγματώδει τὸ οἴδημα γίνεται· ἔστι δὲ χαῦνός τις ὄγκος ἀνώδυνος, ἔχων ἐν αὐτῷ τι τῆς [illegible] φυσώδους πνεύματος ἀτμώδους

ὑπόστη-

ΠΛΑΞ
ΥΛ·

ὑγρότητος ἐγγόνου ... καὶ μάλιστα ἐν τοῖς ὑδρωπικοῖς πάθεσι
καὶ φθόαις ἀθροίζεται τὸ τοιοῦτον· μάλιστα κατὰ τοὺς πόδας· βοθρούμε-
νον κατὰ τὰς πιέσεις τῶν δακτύλων· τῇ δὲ χροιᾷ ὠχρόλευκόν ἐστιν·
ἐνίοις δὲ καὶ τὸ πρόσωπον οἰδαίνει· ἰᾶται δὲ τούτοις προσηκόντως τριβόμεν-
ται τὰ οἰδοῦντα μέρη· ἐνίοτε μὲν δι' ὀξυροδίνου· ποτὲ δὲ δι' ἁλῶν καὶ ἐλαί-
ου· καὶ ὅλως διὰ τῶν διαφορούντων καὶ ξηραινόντων ἀλύπως· ἐφ' ὧν δὲ
φλέγματος πλεονάζοντος ἐπιρρυέντος τὸ οἴδημα κατεσκεύασε, σπόγ-
γον ὕδατι ὀξυκράτῳ βρεχόμενον χρὴ ἐπιτιθέναι καὶ ἐπιδεσμεῖν
ἠρέμα σφίγγοντας· ἐκ τῶν κάτω μὲν ἀρχομένους, τελευτῶντας δὲ
εἰς τὰ ἄνω· καινὸν δ' εἶναι χρὴ τὸν σπόγγον· εἰ δὲ μὴ ἐπιτύχοι
τοιοῦτος, ἐκκαθαίρειν χρὴ καὶ ἀποπλύνειν τὸν παρόντα σπόγγον
ἀφρονίτρῳ· καὶ μᾶλλον τῇ στακτῇ κονίᾳ· μὴ καθισταμένου δὲ ἐπὶ
τούτοις τοῦ οἰδήματος, ἐπιβάλλειν χρὴ τῷ ὀξυκράτῳ βραχὺ τῆς
στυπτηρίας· ἀγαθὸν δὲ καὶ τὸ ταρσικὸν λευκόϊον ἢ ἔλαιον μάλιστα
κατὰ τὸ τοιοῦτο ὑπὲρ δεθὲν καὶ ἐπιτιθέμενον ἀντὶ τοῦ σπόγγου·
ἐπιτήδειον δὲ εἰς τὰ τοιαῦτα ἐστὶ καὶ τὸ γλαύκιον καὶ ὁ δι' αὐτοῦ
σκευαζόμενος κολλύριος· ὃς καὶ τὸν ἐπὶ ταῖς λυχνίαις ἐκ τῶν λύχνων συ-
ναγόμενον ῥύπον λαμβάνει· ἀνίεται δὲ καὶ αὐτὸς διὰ τοῦ ὀξυκρά-
του· ἐπὶ δὲ τῶν κεχρονικότων οἰδημάτων προσυπαλείψας κηρωτῇ
τὸ μόριον, ἐπιτίθει σπόγγον καινὸν τῇ κονίᾳ βεβρεγμένον καὶ σφ-
ίγγε βιαιότερον· ἐκ τῶν κάτω μὲν ἀρχόμενος· τελευτῶν δ' εἰς τὰ ἄνω·
καὶ θαυμαστῶς ... ἢ ἰσχνοῦται ὁ ὄγκος τοῦ οἰδήματος· περὶ τοὺς πόδας
ὄγκους θαυμαστῶς διαφορεῖ τε καὶ προστέλλει· καὶ γῆ δὲ λευκὰ παρὰ πᾶσα·
καὶ μάλιστα ἡ ἐν τῇ φακῇ εὑρισκομένη μέλαινα κατακριομένη ἐν
ἡλίῳ, κάλλιστα διαφορεῖ· προσιστορεῖται δὲ περὶ ταύτης ἀκριβ-
έστατα ἐν τῷ β' λόγῳ·

## Περὶ ἐμφυσήματος· κεφάλαιον β'·

Πνεῦμα φυσῶδες ἀθροιζόμενον ἔν τινι τῶν μορίων ἐμφύσημα
γεννᾷ· ἀθροίζεται δέ, ποτὲ μὲν ὑπὸ δέρματι· ποτὲ δ' ὑπὸ τοὺς περι-
οστίους ὑμένας ἢ τοὺς τοὺς μῦς περιέχοντας· ἢ κατὰ τὰ σπλάγχνα ἢ
τὰ ἔντερα· δῆλον δ' ὅτι περὶ μὲν τὰ σπλάγχνα, οὐ φαύλης διαί-
της ἢ τοῦτο γένοιτ' ἄν· κατὰ δὲ μυώδεις τόπους, ἀλλ' ἀσθενεστέρου
γεγραμμένου τοῦ σώματος, τὸ ἐμφύσημα γίνεσθαι· καὶ δυσίατοι γίνον-
ται αἱ τῶν μερῶν τοιαῦται διαθέσεις· ἐπειδὴ κατὰ πολλὰ μόρια
τῶν τοῦ μυὸς διαχωρήσεσι φυσῶδες πνεῦμα σφιγγόμενον
ὑπὸ τῶν περιεχόντων αὐτὰ σωμάτων καὶ τῶν ἔξωθεν πολλῶν ἐπιβ-
λημάτων ἄχρι τοῦ δέρματος· ἐπὶ μὲν οὖν τῶν κατὰ τὴν γαστέρα καὶ
τὰ σπλάγχνα τὰ λεπτύνοντα καὶ θερμαίνοντα σὺν ἐλαίῳ ἐψό-
μενα· καὶ καταντλούμενα καὶ ἐνιέμενα, ἀραιοῖ καὶ διαπνευστὸν πα-
ρασκευάζει τὸ πνεῦμα· καὶ σικύα μεγίστη χωρὶς ἐγχαράξ-
εως ἐπιτιθεμένη κατὰ μέσης τῆς κοιλίας, ὥστε περιλαμβάνειν
ἐν κύκλῳ τὸν ὀμφαλόν, εὐθέως ταχέως ἀπαλλάξει τῆς ὀχλή-
σεως

σεως τοῦ ἀνθρώπου· ὥστε θαυμάζεσθαι τὸ τάχος καὶ μαγγανείᾳ παραπλήσιον εἶναι δοκεῖν τοῖς ὁρῶσιν. ἐπὶ δὲ τῶν μυῶν τῶν διὰ πλάσιν ἐμφυσωμένων, ὅτι μὲν διαφορεῖσθαι χρὴ τὸ πνεῦμα πρόδηλον· ἐπεὶ δὲ θερμὰ καὶ δριμέα τυγχάνει πάντα ἐστὶ τὰ διαφοροῦντα φάρμακα, συμβαίνει τοὺς μῦς ἀγανακτεῖν καὶ ταῖς ὀδύναις ἐπιτείνεσθαι διὰ τὸ μᾶλλον γίνεσθαι τὰς φλεγμονάς· μικταῖς οὖν διὰ τοῦτο δυνάμεσιν εἰθίσθαι χρὴ τὰ τοὺς ἐμπεφυσημένους μῦς ὠφελήσοντα· καὶ μάλιστα ὅταν ἡ πλάσις αὐτῶν ἔχῃ τι καὶ φλεγμονῆς καὶ δυσίατοι γίνονται. ἐπικρατεῖν δὲ χρὴ ἐν ἀρχῇ μὲν τὸ παρηγορικὸν εἶδος τῶν φαρμάκων· ἐπὶ τέλους δὲ τὸ διαφορητικόν· οὐκ ἀθρόως δὲ χρὴ μεταβαίνειν· ἀλλὰ κατὰ βραχὺ τῶν μὲν παρηγορικῶν ἀφαιροῦντας, τῶν δὲ διαφορητικῶν προστιθέντας. παρηγορικὰ μὲν οὖν ἐστι πρὸς τὰς τοιαύτας διαθέσεις τῶν μυῶν, ἕψημα καὶ ὕσσωπον μετ' ἐλαίου βραχέος. διαφορητικὰ δέ ἐστιν ὄξος καὶ νίτρον, καὶ μᾶλλον ὁ ἀφρὸς αὐτοῦ καὶ ἡ στακτὴ κονία. διὸ κατ' ἀρχὰς μὲν ἀρκεῖ μόνῳ χρῆσθαι τῷ ἑψήματι βραχέος ἐλαίου μιχθέντος· ἐνίοτε δὲ καὶ οἴνου ὀλίγου, ἵν' ἔχῃ τι καὶ ἀποκρουστικόν. ἀναλαμβάνεσθαι δὲ ταῦτα θερμανθέντα οἰσυπηροῖς ἐρίοις· εἰ δὲ μὴ παρείη ταῦτα, αὐτὸ ὕσσωπον ἅμα τοῖς θερμαινομένοις ἀναλαμβάνεσθαι τοῖς παρατυχοῦσιν ἐρίοις χρή. πρὸ πάντων δὲ φυλάττεσθαι προσήκει μὴ τὸ ψυχθῆναι τῶν ἐπιβρεχομένων προσφέρειν, μηδ' ἐπὶ πλείονα χρόνον ἐπικείμενον ἐᾶν καταψύχεσθαι. περιβάλλεσθαι οὖν ἔξωθεν ἔρια θερμὰ προσήκει· καὶ ὅταν μηκέτι ὁ κάμνων τῆς ἀπὸ τῶν ἐπικειμένων θερμασίας αἰσθάνηται, αὖθις νεαροποιεῖν τὴν ἐμβροχήν. παρηγορηθέντος δὲ καὶ ἀπονωτέρου τοῦ κάμνοντος γινομένου, ἐπιτείνοντας τοῦ ὄξους παραμιγνύναι χρὴ τῇ ἐμβροχῇ καὶ ἐκ τοῦ νίτρου· κατὰ βραχὺ αὐξάνοντας τὸ πλῆθος αὐτῶν. ὅσα δὲ τῶν ἐμφυσημάτων ἀμεληθέντα χρονίζει, πρῶτον μὲν ἐπ' αὐτῶν τῇ διὰ κονίας ἐμβροχῇ χρῆσθαι δεῖ· κἄπειτα τῶν ἐμπλάστρων τινὶ τῶν μαλακτικῶν τε καὶ διαφορητικῶν. οἷόν ἐστι τοῦτο· γλοιὸν ἀπὸ βαλανείου λαβὼν καὶ ἀναζέσας διηθῶν πρῶτον ὥστε γενέσθαι καθαρόν, ἔπειτα ἐμβαλὼν τῷ γλοιῷ τῆς κακάβης, τίτανον ζῶσαν λειώσας ἐπίπασσε ὡς ἄλευρον μέχρι ἐμπλαστώδους συστάσεως. χρῶ. ἀγαθὸν δ' ἐπὶ τούτων ἐστὶ καὶ τὸ διὰ ὀποῦ τῶν συκομόρων φάρμακον. ἔστι δ' ἡ Μοσχίωνος καὶ τὰ παραπλήσια.

ΠΕΡΙ τῶν ἐσκιρρωμένων μορίων. Γαληνοῦ. Κεφάλ. γ'.

Ἐναντία διάθεσίς ἐστιν ἡ τῶν ἐσκιρρωμένων σωμάτων τῇ τῶν οἰδημάτων· καὶ γὰρ ἐπ' ἐκείνων ἐν ταῖς σημειώσεσιν, εἴκει καὶ βαθύνεται τὰ σώματα κατὰ τὰς τῶν δακτύλων ἐρείσεις· ἐπὶ δὲ τῶν ἐσκιρρωμένων, ἀντίτυπος καὶ σκληρὸς ὁ ὄγκος ἐστὶν ἀεί· καὶ μᾶλλον εἰς δυσαισθησίαν προήκοντες, ὡς εἰς τὰ πολλὰ καὶ ἀναίσθητοι ὦσι

τέλ

τόποι γίνονται καὶ ἀκριβῶς σκληροὶ ὥσπερ τὰ ὀστᾶ· καὶ εἰσὶν οἱ τοι-
οῦτοι παντάπασιν ἀνίατοι. ἀφαιροῦνται δ' ὑπ' αὐτῶν αἱ ὑποκείμεναι τοῖς
τόποις τρίχες καὶ τότε ψιλοῦνται τελέως. συνίστανται δὲ πολ-
λοὶ μὲν φλεγμονῆς προηγησαμένης καὶ σφοδρῶς ψυχθείσης· ἐνίοτε δ'
ἐπὶ τοῖς ξυστᾶσι· ἐπειδὴ καὶ μᾶλλον ἐπὶ τούτων τὰ ἐμψύχοντα
πράσσουσιν οἱ ἰατροὶ μέχρι πλείονος χρόνου· καίτοι δεόμενα μετὰ τὰς
ἀρχὰς διαφορήσεως. καὶ οἱ μὲν ἐπὶ τοῖς ξυστᾶσι γινόμενοι, περὶ
τὸ δέρμα μόνον ἔχουσι τὴν σκληρίαν· οἱ δ' ἐπὶ ταῖς φλεγμοναῖς
καὶ περὶ τὰς ὑποκειμένας σάρκας ἐπὶ πλεῖστον βάθος· ἐφ' ὅσον καὶ αἱ φλεγ-
μοναὶ τῶν ξυστάντων ἐν βάθει τὴν σύστασιν λαμβάνουσιν.
ἐπὶ μὲν οὖν τῶν ἀρχομένων σκίρρων καὶ ἔτι σῳζομένην αἴσθησιν ἀμυ-
δρὰν ἐχόντων, ἐπιχειρεῖν προσήκει θεραπεύειν διὰ τῶν μαλασσόντων
δηλονότι τὰ ἐσκληρυσμένα σώματα φαρμάκων· ἅμα τε καὶ σύμ-
μετρον διαφορεῖν τὸ κατὰ βραχὺ μαλαττόμενον καὶ λυόμενον
δυναμένων. τὰ γὰρ σφοδρῶς διαφοροῦντα καὶ ἀθρόως κενοῦντα
χωρὶς τοῦ μαλάττειν, ἐν μὲν ταῖς πρώταις ἡμέραις καθαιρεῖν δο-
κεῖ τὸν ὄγκον· τὸ δ' ὑπόλοιπον τῆς διαθέσεως ἀνίατον καθίστη-
σι. παντὸς μὲν τοῦ λεπτομεροῦς διαφορηθέντος· ἐμμένοντος δὲ τοῦ
γεώδους τε καὶ δυσδιαφορήτου. διὰ τοῦτο ἐπὶ τῶν διεστώτων φαρ-
μάκων αὐτοῖς δεῖ χρεία, ἅμα μετὰ τοῦ μαλάττειν, καὶ διαφορεῖν πέφυ-
κε· πρότερον μὲν οὖν τοῖς μαλάττειν δυναμένοις χρησάμενοι, ἐπὶ
τὰ διαφοροῦντα μεταβαίνειν, κατὰ βραχὺ προσπλέκοντες αὐτὰ τοῖς
μαλακτικοῖς. προσβλέπειν δὲ χρὴ καὶ τὴν τοῦ θεραπευομένου
σώματος ἕξιν καὶ τὴν τοῦ πάθους σύστασιν, εἰς ὅσον ηὔξηται·
εἰς ταῦτα γὰρ ἀποβλέποντες, τὸ χαλαστικὸν μὲν ἀλλὰ μετ' ἰσχύος
ἢ πρὸς τὴν χρῆσιν εἴσῃ τοῦ μαλάττοντος φαρμάκου· μετὰ μίαν
δ' ἢ δευτέραν ἡμέραν ἔτι καὶ ἐπιτείνειν προσήκει. ἐπὶ τῷ ἐκλῦσαι
τὴν δύναμιν τοῦ φαρμάκου νοήσας. προσήκει τοίνυν ὥσπερ κἀπὶ
τῶν ἄλλων φαρμάκων· οὕτω κἀπὶ τούτων παρεσκευάσθαι τῷ βουλομέ-
νῳ καλῶς θεραπεύειν πλείω φάρμακα τῶν ὁμογενῶν· ἢ πάντως
γε τά τε ἰσχυρότατα καὶ τὰ μετριώτατα· ἵνα ἐκ τῆς
διαφόρου μίξεως αὐτῶν ἐπὶ τῆς χρείας γινομένης ἐργάζηται τὰ
μεταξὺ τῶν ἄκρων πάμπολλα φάρμακα. Μαλακτικὰ μὲν
οὖν ἐστι τῶν ἐσκληρυσμένων σωμάτων, στέαρ αἴγειον καὶ βόειον· ἐν
αὐτοῖς δὲ τούτοις, τὰ μὲν τῶν ταύρων καὶ τράγων ἰσχυρότερα· τὰ
δὲ τῶν αἰγῶν καὶ βοῶν ἀσθενέστερα μὲν τούτων· οὐκ ἄπρακτα δὲ,
οὐδ' αὐτά· τὰ δὲ τῶν ἐρίφων καὶ μόσχων, ἔτι καὶ τούτων ἀσθενέστε-
ρα. τὸ δὲ χοίρειον, καὶ τοῦτο αὐτῶν ἀσθενέστερον. διαφορητικώτερα
δὲ τούτων τὴν δύναμιν ἐκ τοῦ μαλακτικωτέραν, τὸ λεόντειον καὶ τὸ
παρδάλειον· ὑαίνης τε καὶ λυκός. τὰ δὲ τῶν ἀλεκτορίδων, μεταξὺ τούτων

χηνὸς

χηνὸς καὶ τοῦ ἰξοῦ τέτακται. τῶν δὲ μυελῶν ἄριστος μὲν ὁ ἐλάφειος· δεύτερος δ' ὁ τοῦ μόσχου· καὶ ῥητῖναι δ' αἱ μὴ δριμεῖαν ἔχουσαι τὴν ὀσμὴν μιγνύμεναι τοῖς προειρημένοις καὶ τοῖς ῥηθησομένοις, τὸ μὲν ἑλκτικὸν τοῖς συντιθεμένοις φαρμάκοις παρέχονται· τὸ δὲ μαλακτικὸν αὐτῶν οὐκ ἀναιροῦσι. ἐπιτηδειοτάτη δ' αὐτῶν ἐστὶν ἡ τερεβινθίνη καλουμένη ῥητίνη· καὶ ἡ λάριξ τὴν σύστασιν παραπλησίαν ταύτῃ ἔχουσα· μετὰ δὲ ταύτην ἡ πευκίνη· καὶ μετ' ἐκείνην ἡ ἐλατίνη. αἱ δὲ ξηρόταται, οἷόν ἐστιν ἰδίως καλούμενον πιτύινον φύσημα, ἀλλ' ἥττους καὶ ξηραίνουσαι μᾶλλον καὶ διὰ τοῦτο ἀνεπιτήδειοί εἰσιν εἰς τὴν τῶν μαλαγμάτων μίξιν. χρηστὸν δὲ τῇ τερεβινθίνῃ καὶ τῇ λαρικίνῃ· καὶ πίττα δὲ ἡ βρυττία, τὴν αὐτὴν ἔχει δύναμιν· τὸ δὲ πάνυ ξηρὸν οὐ μικτέον τοῖς μαλάγμασιν ὥσπερ οὐδὲ τὴν ἄσφαλτον· πάνυ γὰρ ξηραίνουσι. ὑπάρχει καὶ τῇ χίᾳ μαστίχῃ τι μαλακτικόν· ἡ δ' αἰγυπτία μέλαινα μαστίχη, ἔχει μέν τι καὶ μαλακτικόν· τὸ δὲ πλεῖστον αὐτῆς τῆς δυνάμεως, πεπτικὸν καὶ διαφορητικὸν ὑπάρχει· καὶ τῷ λιβανωτῷ δ' ὑπάρχει τι μαλακτικὸν ὥσπερ καὶ τῷ τῆς λίνδος σώματι· καὶ διὸ καὶ τοῦ μαλάττειν ἐμπλασθέν. διὰ οὖν καὶ τὸν λίβανον ἐμβάλλειν δεῖ ὀλίγον πᾶσι τῶν μαλαγμάτων. καὶ ὁ ἐκ τῶν βαλανείων συναγόμενος γλοιὸς καὶ τὸ βούτυρον, τῆς αὐτῆς ἐστι τάξεως. καὶ τὸ τῆς ἀλθαίας ἀφέψημα. μεταξὺ δὲ τῶν ὄντως μαλακτικῶν καὶ ἰσχυροτάτων ἐστὶ πρόπολις· ἰσχυρότατα δὲ λέγω τὸ ἀμμωνιακὸν θυμίαμα καὶ βδέλλιον μάλιστα τὸ σκυθικόν, ῥητινωδέστερον ὑπάρχον καὶ τῇ χροιᾷ μέλαν. καὶ ὁ στύραξ μάλιστα μὲν ὁ ὠχρός, καλαμίτης καλούμενος. ἐφεξῆς δ' ὁ ξανθὸς καὶ λιπαρός. καὶ ἡ χαλβάνη καὶ ὁ ὀποπάναξ πρὸς τὸ διαφορεῖν ἔχουσί τι καὶ μαλακτικόν. ὑπερέχει δὲ τῷ μὲν διαφορεῖν ὁ ὀποπάναξ, τῷ δὲ μαλάττειν ἡ χαλβάνη. τοιαύτη μὲν οὖν τίς ἐστι τῶν μαλακτικῶν φαρμάκων ἡ δύναμις. σὺ δ', ὅταν τι τῶν γεγραμμένων ἐν ταῖς φαρμακίτισι βίβλοις ἐξετάσῃς τε καὶ κρίνῃς ἢ συνθῇς αὐτός, ἀκηκοὼς ἀρετὰς κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τοῖς φαρμάκοις διαφοράς, ἀκηκοὼς δ' ὁμοίως καὶ τὰς τῶν πονούντων σωμάτων διαφοράς, τὰ μὲν ἰσχυρὰ τοῖς ἰσχυροῖς, τὰ δ' ἀσθενῆ τοῖς ἀσθενέσι προσάγαγε. ἐν δὲ τῷ θεραπεύειν, καταντλεῖν χρὴ τὸ μέρος ἐλαίῳ θερμῷ λιπαρῷ. τῶν δ' ἐκτικῶν φαρμάκων οὐδὲν ἀφαιρεῖν χρὴ μετὰ τὸ ἐπιτεθῆναι πρὶν αὐτόματον ἀποστῆναι. ἀλλὰ κἂν λύηται τις ἐὰν ἐπιτεθῇ. φυλάττεσθαι δὲ δεῖ πάντα τὰ τῶν φαρμακωδῶν ὑδάτων λουτρά· καὶ μάλιστα ὅσα χαλκανθώδη ἐστὶ καὶ στυπτηριώδη ἢ θειώδη· βλαβερώτατα γὰρ αὐτοῖς ἐστι. ταῦτα μὲν οὖν ἱκανὰ συνεκτικὰ αὐτοῖς καί τινα τοῖς βιβλίοις ἤδη κατὰ τὰ τῆς τέχνης στοιχεῖα κεκλημένοις. πάντα δὲ οὐ παντελῶς εἰσὶ τοιοῦτοι, προστιθέναι δεῖ καὶ τὰ τῇ πείρᾳ κεκριμένα φάρμακα. τὰ κάλλιστα ἀπὸ τῶν μαλακτικωτάτων ἐν αὐτοῖς ποιησαμένους, ἃ καὶ τὰς μικρὰς ἰδίας φλεγμονὰς σκληρότητά τινα κεκτημένας· ἁπλούστερον δ' ἐν αὐτοῖς ἐστι τὸ πυρίτην καλούμενον

γρ. καταλεῖν

μενον

μένον· καὶ ἡ διὰ βδελλίου καὶ κολοφωνίας καὶ κηροῦ ἰσχὺν ἐμβαλλομέ-
νων τῶν τριῶν· ἔπειτα δὲ ἡ Μνασαίου καὶ αἱ παραπλήσιαι· καὶ τὸ ἑλλα-
δικὸν μάλαγμα· καὶ τὸ διὰ τερεβινθίνης· καὶ τὸ Λουκίου πρὸς ἀγκύλας·
καὶ τὰ σὺν αὐτοῖς γραφησόμενα μετ' ὀλίγον ἐν τῷδε λόγῳ.

## Θεραπεία συνδέσμων καὶ τενόντων σκιρρουμένων Γαληνοῦ· ἐν ᾗ καὶ τὴν διὰ τοῦ πυρίτου καὶ μυλίτου πυρίαν ἔχεις. Κεφάλαιον λδ.

Ἡ μὲν τῶν σκιρρουμένων μορίων μάλαξις ἰσχυρῶς διαφορητικῶν, διὰ τῶν
προειρημένων γίνεται φαρμάκων ἅτινα μαλάγματα συνήθως κα-
λεῖται· τὸ δ' εἶδός τινα τῶν μορίων, τὰ μὲν ἀραιότητα φύσει· τὰ δὲ
πυκνότητα ἔχων δι' αὐτῆς βοηθημάτων κατ' εἶδος ἀναγκαῖον δεῖται·
διὰ τοῦτο ἐπὶ τῶν τενόντων καὶ συνδέσμων ἀναγκαῖον ἔδοξέ μοι
βέλτιον εἶναι παραμιγνύναι τι τῇ διὰ τῶν μαλακτικῶν τῶν φαρμά-
κων ἀγωγῇ, τῆς τμητικῆς δυνάμεως· ἐπεὶ ἐν τοῖς μάλιστα ὄξος
ἐστὶ τοιοῦτον· ἐπὶ τῶν μὲν οὖν προμαλαχθέντων καὶ προμαλαχθέν-
των διὰ τῶν προειρημένων μαλαγμάτων, πολλάκις οὐδὲν χρὴ μαλα-
κτικῶν· ἡ πυρία αὕτη· ὄξει δριμυτάτῳ σβέννυμι λίθον διάπυρον· εἰ μὲν
οἷόν τε εἴη, τὸν πυρίτην καλούμενον· μὴ παρόντος δὲ τούτου, τὸν μυ-
λίτην λεγόμενον, ὡς δὴ τοὺς μύλους ἐξ αὐτοῦ κατασκευάζουσι· εἶτα
ἀναφερομένου τινὸς ἀτμοῦ δριμέος μετὰ τὸ καταχυθῆναι τοῦ λίθου τὸ
ὄξος, ὁ ἐσκιρρωμένος σύνδεσμος ἢ τένων κατὰ τὸν ἀναφερόμενον
ἀτμὸν διακινούμενος τῇ δὲ καθέσει, ὠφελεῖται μεγάλως· καὶ
διαλιπὼν ... ἐπιτίθημι τὸ μαλακτικὸν φάρμακον· καὶ δια-
μετὰ ταῦτα πάλιν ἐπιτίθημι τὸ μαλακτικὸν φάρμακον· καὶ δια-
λιπὼν ὀλίγας ἡμέρας, πάλιν χρῶμαι τῇ αὐτῇ πυρίᾳ· πολλάκις
δὲ ἐν ταῖς διακινήσεσι καὶ ἀνωρθώσεσι τὸν ἐσκιρρωμένον σύνδεσμον
ἢ τένοντα κατὰ τὸν ἀναφερόμενον ἀτμόν, διελύθη ὁ σκίρρος.
Ῥοδιακὴ Ἀσκληπιάδου καλλίστη. κεφάλ. ρνβ.

διαφορεῖ τὰς μάστων σκληρίας ἔτι καὶ ἕδρῃ καὶ ἀγαθὴ ... μεν. ἐλαίου μυρσίνου ἢ ῥοδίνου. λιθαργύρ. λίτρ. α. ψιμμυθ. στέατος ὑείου προσφάτου ἀνὰ οὐγ. ϛ. ἐλαίου νέου λευκοτάτου λίτρ. α. ... σμύρν. ∠ δ. ὠῶν λεκίθους λευκὰς β. ἕψε ... λεῖς συνεψήσας. ψύξας ἐπίχεε τοῖς ὠοῖς λειωθεῖσι μετὰ οἴνου λευκοῦ. χρῶ ποτὲ μὲν ἀκράτῳ. ποτὲ δ᾽ ἀνειμένῳ.

Ἡ φικηστύχα. κεφάλ. ρνγ.

μάλιστα ποιεῖ πρὸς τὰ ἐν δακτυλίῳ ἕλκη καὶ τὰ ἄλλα δὲ πάντα. κρόκου οὐγ. α. ψιμμυθ. λιθαργύρ. μυελοῦ ἐλαφείου. στέατος

στέατος ταυρείου· κηροῦ ἀνὰ οὐγ. ϛ'. ῥοδίνου οὐγ. ιϛ'. ὠῶν λ'. τὰ λευκά· οἴνου τὸ ἀρκοῦν.

Τὸ σφαιρίον διὰ ἐμβροχῆς. κεφάλ. ρνδ'.

Ποιεῖ πρὸς ἀποσύρματα· παρατρίμματα· πυρίκαυστα· πρὸς τοὺς ἐν δικαστηρίῳ μαστιζομένους· πρὸς τὰ χρόνια [illegible] μίων· λιθαργύρ. ψιμμυθ. ἀσβέστου ζῶντος ἀνὰ ∠ γ'. ἐν ἄλλ. οὐγ. γ'. κηροῦ οὐγ. α'. [illegible] οὐγ. α'. ῥοδίνου λί. α'. λειότατα ποιήσας τὰ ξηρὰ καταχεῖ αὐτοῖς τὰ τηκτά· πλάσσε κυκλίσκους μεγάλους· ἐπὶ δὲ τῆς χελώνης βαλὼν ἐλαίου οὐγ. ϛ'. ἐν ἄλλ. ιϛ'. ῥοδίνου οὐγ. γ'. κηροῦ οὐγ. α'. ἐν ἄλλ. β'. τήκει ἐπ' ἀνθράκων· εἶτα ἐπίβαλε φαρμάκου οὐγ. β'. [illegible] ἐπίβαλε ὀξυβράχου ὕδατος οὐγ. γ'. ἑνώσας χρῶ.

Τὸ πεντάθετον. κεφάλαιον ρνε'.

Κηροῦ· πίσσης· κολοφωνίας· στέατος ταυρείου· ἀσβέστου ἴσα· τήξας ἐπίπασσε τὴν ἄσβεστον· καὶ ἐπὶ τῆς χελώνης ἀνάλυε ὡς προείρηται, βαλὼν ἐλαίου οὐγ. ιϛ'. κηροῦ οὐγ. β'. τοῦ φαρμάκου οὐγ. β'. τήξας ἐπ' ἀνθράκων ἐπίβαλε ὀξυκράτου οὐγ. γ'. ποιεῖ πρὸς τοὺς ἐν δικαστηρίῳ μαστιγωθέντας καὶ ξεσθέντας· καὶ πρὸς χρόνια καὶ τὰ λοιπά, ὡς τὸ πρὸ αὐτοῦ.

Ἡ δι' ὤχρας διὰ ἐμβροχῆς. κεφ. ρνϛ'.

Ποιεῖ τοῖς προειρημένοις. ὤχρας λί. β'. κηροῦ· βρυτίας· κολοφωνίας· πίσσης· πιτύ. ἀνὰ λί. α'. λιθαργύρ. [illegible] ἀνὰ οὐγ. η'. ἐλαίου λί. β'. οἴνῳ λειώσας τὰ ξηρὰ ἐπίχεε τὰ τηκτὰ καὶ ἀνάπλασσε κυκλίσκους· ἐπὶ δὲ τῆς χελώνης βαλὼν κηροῦ λί. α'. ~~[illegible]~~ ἐλαίου λί. γ'. τήξας [illegible] ἐπίβαλε τοῦ φαρμάκου λί. α'. καὶ ὅταν διαλυθῇ, ἔνσταζε ὀξυβράχου· οἴνου λί. α'. χρῶ ὡς ταῖς πρὸ αὐτῆς. ποιεῖ φησὶν ἡ δι' ὤχρας ὡς αἱ πρὸ αὐτῆς, πρὸς παρατρίμματα· μάλιστα ἐν ἄρθροις, οἷς χειρώνεια· κονδύλοις καὶ μεμαστιγωμένοις ἐν δικαστηρίῳ τοῖς βασανισθεῖσι· πρὸς ἀποσύρματα· ἔτι δὲ ἀνώδυνος ἀφλέγμαντος.

Ἡ Καμμύνιον. κεφάλαιον ρνζ'.

Φάρμακον λευκὸν ἐπιτετριμμένον· ποιεῖ πρὸς ἀνθρακώσεις· ἀναξηραίνει κόλπους [illegible] ἔτι καὶ [illegible] λιθαργύρ. ἀσβέστου· κηροῦ· πιτύ. ἀνὰ ∠ π'. ἐν ἄλλ. ν'. ψιμμυθ. ∠ κε'. ἐν ἄλλ. οὐγ. κε'. ἐλαίου λί. α'. [illegible] ἕψε λιθάργυρον [illegible] ἕως συστάσεως· εἶτα κηρὸν [illegible] τὴν δὲ ἄσβεστον καὶ ψιμμύθιον λειότατα ποιήσας ἐν τῇ θυίᾳ ξηρὰ ἐπίβαλε τοῖς τηκτοῖς καὶ ἑνώσας ἀναλάμβανε· χρῶ δὲ ἐπὶ μὲν τῶν ἀνθράκων εἰς ὀθόνιον ἐμπλάσσων καὶ ἐπιτιθείς· ἐπὶ δὲ τῶν λοιπῶν [illegible] μετ' ἐλαίου ῥοδίνου ἢ μυρσίνου ὡς κηρωτῆς γενέσθαι· χρῶ ὡς μεγίστῳ φαρμάκῳ.

Πιλάριον τὸ δι' ἐλκύσματος. κεφάλ. ρνη'.

Πρὸς ἀποσύρματα καὶ τὰ ὅμοια· ἐλκύσματος οὐγ. ϛ'.

κηροῦ

κηροῦ· ταυρείου στέατος ἀν(ὰ) οὐγ(γ.) ι· κολοφων(ίας) οὐγ(γ.) δ· πίσσης οὐγ(γ.) ϛ· ἰξοῦ οὐγ(γ.) β Ϛ'· ἐνίοτε τὸ ἐγχυματιστήριον ἐπιπλάσσομεν· ἐνίοτε δὲ οἴνῳ λεάνομεν ἢ χυλῷ τεύτλων· ἐγχυματιστοῦ δὲ μὴ παρόντος, μολιβδαίνῃ χρώμεθα.

## Φάρμακον τὸ διὰ πομφόλυγος. Κεφ. ρνθ.

πάνυ πεπειραμένον ἐπὶ ὀξυηχόων, γυναικῶν καὶ παίδων καὶ μαλακοσάρκων ἑλκωμένων· ὅπου χρὴ ἀδήκτῳ ἐπιπλάσσειν· ὥστε καὶ ἐπὶ τῶν καρκινωδῶν ἑλκῶν. ψιμμυθ(ίου), λιθαργύρ(ου), πομφόλυγος ἀν(ὰ) οὐγ(γ.) β· καδμεί(ας) οὐγ(γ.) α· ἐν ἄλλ(ῳ) δ· μυελοῦ ἐλαφείου οὐγ(γ.) γ· κηροῦ, ῥοδίνου ἀν(ὰ) λίτρ(ας) α· μυρσίνου οὐγ(γ.) ϛ· καὶ ψιλώσας τὰ μεταλλικὰ, λεάνας σὺν οἴνῳ· καὶ ἐπίχει αὐτοῖς τὰ τηκτά· χρῶ.

## Ἄλλη ὡς Κελσῖνος καὶ Ὀριβάσιος.

Πομφόλυγος, ψιμμυθ(ίου), λιθαργύρ(ου) ἀν(ὰ) οὐγ(γ.) α· λαδάνου οὐγ(γ.) β· ἀκακίας ∠ δ· κηροῦ οὐγ(γ.) γ· μυρσίνου οὐγ(γ.) η· ὠῶν ὀπτῶν λεκύθ(ους) θ· οἴνου τὸ ἀρκοῦν.

## Ἄλλη Ὀριβασίου.

Λιθαργύρ(ου), ψιμμυθ(ίου), πομφόλυγ(ος), στέατος χηνείου ἀν(ὰ) οὐγ(γ.) ϛ· κρόκ(ου)· κηροῦ ἀν(ὰ) οὐγ(γ.) α· ὠῶν ὀπτῶν λεκύθια δ· ῥοδίνου τὸ ἀρκοῦν· οἴνου τὸ ἀρκοῦν.

## Τὸ πηγανηρόν. Κεφάλαιον ρξ.

Ποιεῖ πρὸς ἐξανθήματα ψωρώδη. Καδμείας, λιθαργύρ(ου), ἐγχυματιστοῦ, θείου ἀπύρ(ου)· ἐν ἄλλ(ῳ) καὶ ψιμμυθ(ίου) ἀν(ὰ) οὐγ(γ.) β· στυπτηρ(ίας)· χυλοῦ πηγάνου χλωροῦ ἀν(ὰ) οὐγ(γ.) α· κηροῦ οὐγ(γ.) α· ἐν ἄλλ(ῳ) η· μυρσίνου λίτρ(ας) β· οἴνου τὸ ἀρκοῦν εἰς τὴν λείωσιν.

## Ἡ διὰ πεντεκαιδεκάδων. Κεφάλ. ρξα.

Πρὸς κόλπους· πεντεκαιδεκαφύλλου λίτρ(ας) β· κηροῦ, κολοφων(ίας), ἰξοῦ ἀν(ὰ) λίτρ(ας) α· λειώσας τὴν βοτάνην ἀκριβέστατα, τῆξον τὰ τηκτὰ καὶ ψύξας, ἐπίχει εἰς θυίαν· ἕνωσον, χρῶ. ἐπὶ δὲ τινῶν τῶν σφοδροτέρων ἀποχρεῶσθαι, εἴωθεν ἐν τοῖς παρακειμένοις τόποις φλεγμονὰς ποιεῖν καὶ τὴν ὕλην ἐκθλίβειν δυνάμενον· ὅθεν εἰ ἐπὶ φλεγμοναῖς ποιεῖν καὶ τὴν ὕλην ... ἐπιτίθει τῷ ὕστερον φλεγμαίνοντι τόπῳ ἐκ τούτων γένοιτο, ἐπιτίθει δὲ τὸ στόμιον τοῦ κόλπου ἐπιτίθει δὲ τοῦ φαρμάκου· ἢ τὴν ἀφροδίτην ἢ τὴν μηλίνην ἢ ἐξ ἀρσενικοῦ διαρροίας.

## Κηρωτὴ διὰ σεύτλων χυλοῦ. Κεφ. ρξβ.

Πρὸς τὰ φλεγμαίνοντα τραύματα· ἰχῶρας καὶ τὰ πυρίκαυστα. Κηροῦ λίτρ(ας) α· ἰξοῦ λίτρ(ας) α Ϛ'· ἐν ἄλλ(ῳ) β Ϛ'· λίτρ(ας)· τήξας καὶ ἄρας ἀπὸ πυρός, ἐπίσταζε κατὰ βραχὺ τὸν σεύτλων χυλὸν ὅσον ἐπιδέχεται· ἕνωσον χρῶ. εἶθ' ἅμα δὲ λεῖα καὶ βαλὼν τοῦ χυλοῦ τῇ κηρωτῇ κατὰ βραχὺ βέλτιον ποιήσεις.

## Τοῦ ψυχρισμοῦ. Κεφάλ. ρξγ.

Πρὸς φλεγμονὰς καὶ κόλπους κηρωτή· κηροῦ λίτρ(ας) α· ἰξοῦ λίτρ(ας) α.

λιτρ. α. ἐν ἄλλ. β. ... ἀφροσελήνου· χυλοῦ τὸ ἀρκοῦν. λαβὼν τὴν κηρωτὴν ἐπίχεε εἰς ψυχρὸν ὕδωρ καὶ πλύνε ἀλλάσσων τὸ ὕδωρ πλειστάκις· εἶτα βαλὼν αὐτὴν ἐν θυίᾳ λείου τοῦ ἐπιδιδοὺς καὶ ἐπιστάζων χυλὸν ἀφροσελήνου ὅσον ἐπιδέχεται· ἑνώσας χρῶ. καὶ πρὸς πᾶσαν φλεγμονὴν ὀφθαλμῶν.

Τὸ μυρσίνινον ἐπουλωτικόν. κεφάλ. ρξδ.

Ποιεῖ καὶ πρὸς παρατρίμματα καὶ τὰ ψωρώδη. κηροῦ λιτρ. α. μυρσίνου ἐλαίου λιτρ. β. μολύβδου κεκαυμένου οὐγγ. ϛ. ψιμυθίου. λιθαργύρου. σμύρνης ἀνὰ οὐγγ. α. οἴνου τὸ ἀρκοῦν εἰς τὴν λείωσιν.

μήλινον ἐπουλωτικόν. κεφάλ. ρξε.

χαλκίτεως ὠμῆς οὐγγ. ϛ. καδμείας οὐγγ. γ. κηροῦ λιτρ. α. μυρσίνου λιτρ. α. ἐν ἄλλ. β. οἴνῳ λείου τὰ μεταλλικά.

Ἡ διὰ σάνδυκος. κεφάλαιον ρξϛ.

Ἄνθρωπος καλεῖται· ἐπουλοῖ τὰ χρόνια καὶ κακοήθη καὶ τὰ ἐν τοῖς αὐτοῖς κνημίοις αὐτῶν καθ' ἑαυτὴν ἐπιτιθεμένη. σάνδυκος λιτρ. α. ἐλαίου γλυκέος λιτρ. β. ἕψε ἅμα μέχρις ἀμολύντου· χρῶ θαρρῶν.

Ὀριβασίου πρὸς ἐξανθήματα. κεφάλ. ρξζ.

Ποιεῖ καὶ πρὸς παρατρίμματα καὶ κατακαύματα καὶ χίμετλα μὴ ἀποδεδαρμένα καὶ ἐκτραπέντα μηδέπω ἀνεξομενώμενα· πρὸς τὰ ἀποσύρματα καὶ τὰ ἐν αὐτοῖς κνημίοις ἕλκη. καὶ πρὸς τὰ παλαιὰ καὶ πρὸς τὰ ὑπὸ τὸ δέρμα ῥήγματα· πρὸς μόνην τὸ ἐπουλῶσαι χωρὶς τοῦ στέατος σκευάζεται. σκωρίαν μολύβδου λείαν ὡς οὐγγ. γ. ἢ δ. ἀναλάμβανε κηρωτῇ ἐχούσῃ κηροῦ οὐγγ. η. ἢ ι. λίπους χοιρείου προσφάτου ἐν ἄλλ. οὐγγ. α. μυρσίνου ἐλαίου ἀνὰ λιτρ. α.

Ἡ διὰ σκίλλης χλωρὰ ὡς Ἀσκληπιάδης. κεφ. ρξη.

Ποιεῖ πρὸς σύριγγας κόλπους νομὰς σηπεδόνας καὶ ἐκβάλλει τὰς ὑπεροχὰς τῶν ἑλκῶν. ἐπεὶ τὰς πλαδαρὰς τῶν σαρκῶν καὶ ἀνακαθαίρει. ἐπὶ δὲ τῶν στενοστόμων συρίγγων, σκολιὸν κλωστῆρα ἐκ τοῦ φαρμάκου ποιοῦντες ἐντιθέμεν αὐτῇ σύριγγι ἀντὶ τοῦ κολλυρίου. καὶ ἀνευρυνθέντος τοῦ στομίου ἀνοιγνύντες τὸ κόλπον καὶ περικλύσαντες τὸν κόλπον ἢ τὴν φαρμάκου ῥοδίνῳ· καὶ περικλύσαντες τὸν κόλπον ἢ τὴν σύριγγα μελικράτῳ ἢ οἰνομέλιτι, ἐντίθεμεν τὸ φάρμακον καὶ σκεπάσαντες ἐμπλάστρῳ, ἐπιδεσμοῦμεν. ἀνακαθαίρει γὰρ ἐντεταμένη καὶ σαρκοῖ καὶ παραλύει. μάλιστα δὲ ἁρμόζει περὶ κεφαλὴν ἕλκεσι συριγγώδεσι καὶ νεμομένοις ἁρμόζει· ἐφ' ὧν ὀστοῦν γυμνωθῇ ἢ μήνιγξ. χρῶ δ' αὐτῇ ἀκραίῳ ἐπὶ ἐφ' ὧν ὀστοῦν γυμνωθῇ ἢ μήνιγξ. καὶ ἐπὶ τῶν ἐν κεφαλῇ καταγμάτων καὶ ὀρθοπνοικῶν κατὰ τοῦ θώρακος, ἐπιμιγνύντες ἐμπλάστροις ποιοῦσιν ἐπιτιθέντες. καὶ ἐφ' ὧν βούλει ἐπὶ τῶν ἐπιφαινομένων ὕλας προσκολλᾶσθαι. ἔχει δ' οὕτως·

σκίλλης

χειλάριον κεκαθαρμένης οὐγ. ε. λεπίδ. ἴρεως ἀν οὐγ. γ. σμύρνης ∠ ιη. ἀμμωνιακοῦ θυμ. ∠ ιβ. χαλβάνης. πίσσης ὑγρᾶς. στύρακος ἰουδ. πίτυος ξηρᾶς ἀριστολοχίας ἀν οὐγ. ϛ. κηροῦ οὐγ. κ. τερεβινθίνης οὐγ. κ. ξαίνου παλαιοῦ λι. β. ὄξους δριμυτάτου ξε. θ. ἡ δὲ σκευασία. τὸ χειλάριον [illegible] λείου ἐν ἡλίῳ θερινῷ ὄξος ἐμβάλλων [illegible] ὅσον ἐξαρκεῖ εἰς τὸ λειοῦσθαι [illegible] γενομένης τῆς χειλαρίου εἰς [illegible] θυΐαν λείου ἰοῦ, λεπίδα [illegible] πολὺ μετὰ ὄξους. εἶτ' ἔμβαλε τὰ ξηρὰ [illegible] λεαινόμενα κοσκίνῳ. εἶτ' ἀμμωνιακόν. στύρακα. σμύρναν. χαλβάνην. καὶ λείου ἐμβάλλων ὄξος. εἶτα τῆξον τὰ τηκτὰ καὶ ψύξας, ἔμβαλε τοῖς λειωθεῖσι καὶ ἑνώσας χρῶ. πρὸς μὲν σύριγγας καὶ ὀστῶν φθορὰς, [illegible] ποιοῦ καὶ ἐντιθεὶς μέχρις ἀποβολῆς τῶν ὀστέων. πρὸς δὲ τὸ ἀνακαθαίρειν ἕλκη τοῦ μὲν φαρμάκου οὐγ. β. δ. κηροῦ οὐγ. α. ἐν ἄλ. β. ῥοδίνου, οὐγ. γ. πρὸς δὲ λεῖον τὰς ἀνακαθαρθείσας μειῶσαι [illegible] τοῦ φαρμάκου καὶ προσθεῖναι τοῦ κηροῦ μέχρις [illegible] ὡς γίνεσθαι τὸ [illegible] πρὸς τὸ ἐπουλῶσαι μᾶλλον, τοῦ μὲν φαρμάκου οὐγ. α. κηροῦ οὐγ. δ. μυρσινίνου δὲ ἢ ῥοδίνου οὐγ. η.

## Ἡ διὰ πομφόλυγος Ἡρᾶ κατὰ παιδὸς ἀναδιδομένου ὀφθάλματος. κεφ. ρξθ.

Μάλιστα ποιεῖ πρὸς τὰ [illegible] καὶ καρκινώδη [illegible] καὶ τὰ παλαιὰ ἕλκη καὶ δυσεπούλωτα καὶ τὰ πυρίκαυστα ἀνιεμένη μυρσίνῳ ἢ ῥοδίνῳ. [illegible] δὲ μετὰ βουτύρου ἀνιεμένη. πρὸς δὲ τὰ περὶ ἕδραν, μάλιστα μετὰ ῥοδίνου. Καδμείας βοτρυίτιδος πεπλυμένης ∠ π. πομφόλυγος πεπλυμένης ∠ ζ. μολύβδου κεκαυμένου καὶ πεπλυμένου. ψιμμυθίου πεπλυμένου ἀν ∠ θ. λιβάνου ∠ δ. λιθαργύρου πεπλυμένου ∠ π. κηροῦ λευκοῦ ∠ ρ. τερεβινθίνης χίας ∠ ζ. ἐν ἄλ. ξ. μυρσινίνου ∠ ρξ. ἐν ἄλ. ρο. τὰ ξηρὰ κόψας σήσας τρίβε ἐν θυΐᾳ μολυβδίνῃ ἢ διὰ δοίδυκι μολυβδίνῳ μετ' οἴνου [illegible] προβρεχέσθω ἐν οἴνῳ ἀλφιτώδη κεκομμένα τὰ ὑπογεγραμμένα. ἴρεως. [illegible] ἀριστολοχίας. κωδιῶν μήκωνος ὑοσκυάμου λευκοῦ σπέρματος ἀν ∠ π. ἐν ἄλ. ἀν οὐγ. ϛ. ταῦτα κόψας ὡς εἴρηται [illegible] ὡς ἄλφιτα βρέχε ἐν τῷ οἴνῳ. καὶ ἐάσον [illegible] λείου τῷ οἴνῳ τούτῳ ὡς προείρηται τὰ μεταλλικά. ὅταν δὲ [illegible] μένα, ἐπίβαλε ἐν θυΐᾳ τὸ μυρσίνινον καὶ λείου. καὶ ὅταν σύστασιν κηρωτῆς λάβη, [illegible] εἰς κακκάβην καινήν. καὶ ἐπὶ [illegible] ἀνθράκων μαλακῶν [illegible] ὅταν δ' ἐπι[illegible] ἔμβαλε τὴν τερεβινθίνην καὶ ἑνώσας ἆρον ἀπὸ πυρός. καὶ ψύξας [illegible] χρῶ. ἄλλη [illegible] ἔμπλαστρος ποιοῦσα πρὸς [illegible] καὶ [illegible] ἄρθρων καὶ νεύρων. [illegible] ἔμφυσιν [illegible] ἐν δὲ τῷ [illegible] καὶ σύριγγας καὶ

καὶ κα

καὶ ἀχρῶνται· καὶ θηριοδήκτοις· καὶ ὀφθαλμικοὺς παρέχει
θείσας ἐφ' ἡμέρ. ζ´. ἐξελευθ. καὶ κολλυρικοὺς εἰς ὕδωρ
ἀποξυνωθείσας ἰᾶται· ἡ λύσις καὶ σχίσματα, καὶ ...
... δὲ ποιεῖ πρὸς κολλυρικοὺς· ἡ παρὰ χοὺς ποδαγρικοὺς
μάλιστα καὶ ῥευματιζομένους. ἔχει δὲ οὕτως·
λιθαργύρ. ψιμμυθ. ἰοῦ ξυστοῦ ἀνὰ οὐγγ. γ´. λεπίδ. χαλκοῦ
οὐγγ. β´. λιβάν. ἄρρενος οὐγγ. β´ ... ἀσφάλτου ἰουδαϊκῆς οὐγγ. η´.
ἰχθυοκόλλης οὐγγ. γ´. κηροῦ ξανθοῦ· πίσσης ξηρᾶς ἀνὰ λίτρ. γ´.
ἐλαίου παλαιοῦ λίτρ. β´. λίθου γαγάτ. λίτρ. θ´. στύρακος λίτρ. θ´.
ἀλόης ... μαστίχης ... μυροβαλάνων ἀνὰ
οὐγγ. γ´. τὴν λιθάργυρον· ψιμμύθιον· λεπίδα· ἰὸν ἄσφ-
αλτον καὶ λίβανον μετὰ γ´ ξηρῶν πάντων κόψας καὶ βαλὼν εἰς
θυίαν, ... ὄξος καὶ λειώσας ὥστε γλοιοῦ ...
καὶ τὰ τηκτὰ ... βαλὼν χύτραν πίσσαν ... ταῦτα ...
... καὶ ἀναμαλάξας ... χρῶ.

Τέλος τοῦ ιε´ λόγου περὶ οἰδημάτων
σκίρρων χοιράδ. ἀποστημάτων καὶ παρωτι-
δίων. καὶ περὶ ἐμπλάστρων ποικίλων.

## Πίναξ σὺν θεῷ κεφαλαίων τοῦ ιϛ´ βιβλίου.



Κ

κ. τίνα προηγεῖται σημεῖα μελλούσης γίνεσθαι φθορᾶς
καὶ ὅπως δεῖ συνεργεῖν τῇ ἀποβολῇ τοῦ φθειρομένου ἐμ-
βρύου. κα. περὶ τῶν διμήνων καὶ τριμήνων φθειρουσῶν. κβ. κατὰ πόσους
τρόπους γίνεται δυστοκία περὶ τῶν παρὰ φύσιν γεννωμένων. κδ.
περὶ ἐμβρυουλκίας καὶ ἐμβρυοτομίας, Φιλουμένου. κε. περὶ
χορίου ἐξελκύσεως Φιλουμένου. κς. περὶ ἐπιμελείας μετὰ τὴν ἐμ-
βρυοτομίαν ἀποστάσεως. κζ. αἰτίαι ἀνδρῶν καὶ γυναικῶν δι'
ἃς οὐ παιδοποιοῦσι. θεραπεία. σημεῖα συλλήψεως. κη. περὶ
στείρας μήτρας θεραπεία καὶ σημεῖα. κθ. θερμοτέρας μήτρας σημεῖα
καὶ ἐπιμέλεια. λ. θεραπεία τῶν δι' ὑγρότητα τῆς ὑστέρας μὴ συλ-
λαμβανουσῶν. λα. θεραπεῖαι τῶν ἄλλων διαφόρων διαθέσεων
ἐφ' αἷς οὐ κυΐσκουσι. περὶ τῶν διὰ παχυχυμίαν τοῦ τόπου παχυνουσῶν
γυναικῶν. περὶ τῶν διὰ ἐμπνευμάτωσιν τῆς μήτρας μὴ συλλαμβαν-
ουσῶν. περὶ τῶν μεμυκυίας τὰς ὑστέρας ἐχουσῶν. καὶ περὶ τῶν ἑλκώδες
ἐχουσῶν τὸ στόμα τῆς ὑστέρας καὶ διεστραμμένον. λβ. περὶ τῶν διά τινα
τῶν ἀτοκίων φαρμάκων προσφορὰν μὴ συλλαμβανουσῶν. λγ. ἐπιμέ-
λεια ἐφ' ὧν οὐδὲν ὁ χλωρὸν φαίνεται. λδ. πόματα πεσσοὶ καὶ
ὑποθυμιάματα συλληπτικά. λε. περὶ ἀρρενογονίας. λς.
περὶ γάλακτος λήψεως. λζ. πρὸς τὸ μὴ θρομβοῦσθαι τὸ γάλα
ἐν μαστοῖς. λη. πρὸς χονδριώδεις μαστούς. λθ. περὶ ἐπηρμέ-
νων μαστῶν. μ. περὶ κακώσεως γάλακτος βλαπτούσης
τοὺς μαστούς. μα. πρὸς τὰ ἐν μαστοῖς φύματα. μβ. πρὸς τὸ μὴ
χαυνοῦσθαι μαστοὺς καὶ χαλᾶσθαι ἐκ τόκου. μγ. πρὸς τὰς τῶν
μαστῶν φλεγμονὰς Φιλουμένου. μδ. πρὸς τὰς σκληρυνομένας
φλεγμονὰς μαστῶν Φιλουμένου. με. περὶ ἀποστημάτων ἐν
μαστοῖς. μς. περὶ τῶν κατὰ τοὺς μαστοὺς συρίγγων. Λεωνίδου. μζ. περὶ
τῶν ἐν μαστοῖς νομῶν. μη. περὶ τῶν ἐν μαστοῖς φαγεδαινικῶν ἑλκῶν.
μθ. περὶ τῶν ἐν μαστοῖς καρκινωμάτων. ἐκ τῶν δὲ τοῦ Ἀρχιγένους καὶ
Λεωνίδου. καὶ περὶ σημείων τῶν ἡλκωμένων καρκινωμάτων. ν. ποῖα
τῶν καρκινωμάτων θεραπευτὰ καὶ τίνα ἀνίατα. να. χειρουργία
καρκινωμάτων, ἐκ τῶν Λεωνίδου. νβ. περὶ τῶν ἐκτεμνομένων ἢ
καυστῶν ἐπιμέλεια. νγ. καρκινωμάτων ἐπιμέλεια τῶν χειρουργίαν μὴ
ὑπομενόντων. νδ. ἐπιμέλεια τῶν ἀνελκώτων καρκινωδῶν ὄγκων. νε.
ἡλκωμένου καρκίνου ἐπιμέλεια. νς. περὶ σκιρρωθέντος μαστοῦ
Λεωνίδου. νζ. περὶ τῶν ἐπεχομένων ἐμμήνων ἐκ τῆς ῥύσεως καὶ
ἀπαρτισμοῦ. νη. τίνα συμπτώματα παρέπεται ταῖς μὴ
καθαιρομέναις. νθ. θεραπεία τῶν διὰ παχύτητα θερμότητα
μὴ καθαιρομένων ἐκ τῆς ῥύσεως. ξ. διάγνωσις τῆς ψυχρο-
τέρων οὐσῶν καὶ θεραπεία. ξα. πεσσοὶ αἱμαγωγοί. ξβ. τοῦ Φι-
λουμένου ἀγωγὸν καταμηνίων. ξγ. θεραπεία τῶν διὰ πλῆθος ἐπι-
μελίου μὴ καθαιρομένων. ξδ. θεραπεία τῶν ὑπὸ ἀτροφίας μὴ κα-
θαιρομένων. ξε. θεραπεία τῶν διὰ μοχθηρίαν χυμῶν μὴ καθαιρο-
μένων. ξς. θεραπεία τῶν διὰ πλεονασμὸν χυμῶν μὴ καθαιρομένων.
ξζ. θεραπεία τῶν δι' ἕλκος ἢ τόπων κλονουμένων δι' αἱμορροΐδων ἢ μυχί-

ων. τέρων

ψις.

λήρων. καὶ διὰ τοῦτο μὴ καθαιρομένων συμπίπτει ἐπιθεραπεία τῶν
δι' ἀργίαν μὴ καθαιρομένων. ξθ. θεραπεία τῶν δι' αἰτίαν ἑτέραν
τινὰ τῶν περὶ τὴν ὑστέραν μὴ καθαιρομένων. ο. περὶ σπάργης
καθαιρούσας. οα. περὶ ὑπερκαθαιρούσας. οβ. περὶ γυναικείου
ῥοῦ. ἐκ τῶν Ἀρχιγένους. ογ. θεραπεία τῶν ὑπὸ ῥοῦ γυναικείου
ἐνοχλουμένων. οδ. ῥοῦ λευκοῦ θεραπεία. οε. πρὸς τὰς κα-
θυγραινομένας σφόδρα τὸν γυναικεῖον κόλπον καὶ διὰ τοῦτο μὴ
κυϊσκούσας πολλάκις. ος. περὶ ὑστερικῆς πνιγός. ἤτοι
μήτρας ἀναδρομῆς. οζ. περιάμματα πεσσῶν σκευασία.
πρὸς ὑστερικὰς πνίγας ἐκ τῶν Φιλαγρίου. οη. περὶ μητρομα-
νίας. οθ. περὶ γονορροίας Σωρανοῦ. π. περὶ ἀτονού-
σης μήτρας τοῦ αὐτοῦ. πα. περὶ παραλυούσης μήτρας τοῦ αὐ-
τοῦ. πβ. περὶ πνευματώσης ὑστέρας τοῦ αὐτοῦ. πγ. περὶ πα-
ρεγκλίσεως. ἀποστροφῆς. ἀναδρομῆς μήτρας. Ἀσπασίας.
πδ. περὶ ἐμπνευματώσης μήτρας. πε. περὶ [illegible]
μήτρας. πς. περὶ ὑδρωπιώσης μήτρας. πζ. περὶ ἰδίως
ὑδρωπιώσης μήτρας. πη. περὶ μύλης ὅ ἐστι πάθος
ὑπό τινων ὕδερος καὶ αὐτὸ νομιζόμενον. πθ. περὶ οἰδήματος
μήτρας Σωρανοῦ. ϟ. περὶ σατυριώσης τοῦ αὐτοῦ. ϟα.
περὶ φλεγμονῆς ὑστέρας Φιλουμένου. ϟβ. πεσσὸς ἀνώδυ-
νος. ϟγ. πεσσὸς ὑπνοποιὸς ἀνώδυνος. σκληρίας πεπτικὸς
μαλακτικός. ϟδ. πεσσὸς ὑπνοποιὸς πρὸς φλεγμονάς.
ϟε. πεσσὸς πρὸς φλεγμονὰς καὶ παρεγκλίσεις ὁ χρυσοῦς.
ϟς. σκίρρου καὶ σκιρρωμάτων ἐν ὑστέρᾳ Σωρανοῦ. ϟζ. ἄλλος
πεσσὸς πρὸς σκληρίας. ϟη. πεσσὸς μαλακτικός, ὁ ἐπιλε-
γόμενος. ϟθ. πεσσὸς ἐκ τῶν Ἀρχιγένους. ρ. Ὀρειβασίου
διὰ δαφνίδων ἐπίθεμα. ρα. περὶ ἀποστημάτων ἐν μήτρᾳ Ἀρχι-
γένους. ρβ. ὅπως δεῖ ἐνεργεῖν περὶ τὸ στόμα τῆς μήτρας γενομένου ἀπο-
στήματος. ργ. ἐπεὶ μάλιστα ὧν σύρρηξις μετὰ τῶν ἐντέρων καὶ τοῦ
περιτοναίου γίνεται. ρδ. περὶ ἑλκώσεως μήτρας Ἀρχιγένους. ρε. περὶ
ῥαγάδων τῶν ἐν τῇ μήτρᾳ ἀνθρακωδῶν ἑλκῶν. ρς. πρὸς τὰ ἐν μήτρᾳ
ἀκαθάρτως ἕλκη. ρζ. πρὸς ὑγρὸν φερόμενον ἀπὸ τοῦ γυναικείου αἰδοίου
ου. ρη. πρὸς τὰ νεμόμενα ἐν ὑστέρᾳ ἕλκη. Ἀσπασίας. ρθ. περὶ
τινὰ Ἀσκληπιάδου τῶν ἐν ὑστέρᾳ ἑλκῶν. ρι. περὶ καρκινωμάτων
ἐν μήτρᾳ Ἀρχιγένους. ρια. περὶ φυμωσάσης μήτρας. ριβ. περὶ
ἀτρήτου ὑστέρας. ριγ. περὶ αἱμορροΐδων ἐν μήτρᾳ ἐκ τῶν Ἀσπασίας.
ριδ. περὶ λιθιώσης μήτρας. ριε. περὶ τῶν ἐν κύστει λίθων. ρις.
περὶ ὑδροκήλης ἐκ τῶν Ἀσπασίας. ριζ. περὶ βουβωνοκήλης.
ριη. περὶ κιρσοκήλης ἐκ τῶν Ἀσπασίας. ριθ. περὶ νυμφο-
τομίας Φιλουμένου. ρκ. περὶ κερκώσεως. ρκα. περὶ ἑρμα-
φροδίτων. ρκβ. περὶ θύμων ἐν ὑστέρᾳ καὶ μυρμηκιῶν καὶ ἀκρο-
χορδόνων Φιλουμένου. ρκγ. περὶ κονδυλωμάτων Ἀσπασίας.
ρκδ. περὶ ῥαγάδων ἐν ὑστέρᾳ. ρκε. περὶ χειλωδῶν σκιρρωμά-
των ἐν μήτρᾳ Ἀσπασίας. ρκς. περὶ ψωροειδῶν ἐξανθη-
μάτων

μάτων ἐν ὑστέρα. ρκζ. περὶ ἀποστημάτων ἐν τοῖς περὶ ὑστέραν τόποις
ρκη. πρὸς ἐξομφάλους γυναῖκας. ρκθ. πρὸς τὸ μὴ ποιεῖν
τὴν κοιλίαν ῥαγάδας καὶ μελανίας ἐκ τοκετοῦ ἀπὸ ἀκρασίας.
ρλ. σμήγματα ὄψεως καὶ τοῦ λοιποῦ σώματος. ρλα. νίμμα
θαυμάσιον ἀποκαθαῖρον τὴν ὄψιν καὶ λαμπρῦνον. ρλβ. σκευασί-
αι μύρων μοσχάτων κονδίτων οἰνανθαρίων θυμιαμάτων καὶ
ἑτέρων τινῶν μυρεψικῶν. ρλγ. κράμβη φυκτὸν ὃ καλοῦσι
βζεδίζα. ρλδ. σκευασία ἀραβικῶν ἢ λαϊκῶν. ρλε. ῥοδάτου
ξηρόμυρον ρλϛ. ἄλλο ξηρόμυρον τὸ καλούμενον λευκόφυλ-
λον ᾧ χρῶνται εἰς τοὺς βραχίονας καὶ τὰς μασχάλας. ρλζ. ὑπομύ-
ρου σκευασία, ᾧ χρῶνται εἰς τὰ ὦτα αἱ γυναῖκες. ρλη. ζαίου
σαλιγκᾶ σκευασία πολυτελής. ρλθ. φουλιάτου σκευασία ἐκ τῶν
Ὀρειβασίου. ρμ. πολυκάτου σκευασία. ρμα. οἰνανθαρίου
σκευασία. ρμβ. ἀψινθάτου ἤτοι ῥοδαψινθάτου ὑγιεινοῦ σκευα-
σία κάλλιστη. ρμγ. ῥοδάτου σκευασία. ρμδ. κονδίτου σκευα-
σία καθαρτικοῦ ἀπὸ τῶν φαρμακικῶν. χρῶ δὲ τούτῳ ἐν χει-
μῶνι. ρμε. ἀψινθάτου σκευασία. ρμϛ. μαστιχάτου σκευασία.
ρμζ. κιτράτου σκευασία. ρμη. ῥοδομήλου σκευασία. ρμθ.
μουστακίων σκευασία. ρν. γάρου νηστικοῦ σκευασία.
ρνα. θυμιάματος μοσχάτου σκευασία. ρνβ. θυμιάματος τοῦ
βασιλικοῦ σκευασία. ρνγ. θυμιάματος μοσχάτου δεσποτικοῦ
σκευασία. ρνδ. θυμιάματος κοινοῦ ῥοδάτου σκευασία. ρνε.
μοσχάτου τοῦ ἐν τῇ ἐκκλησίᾳ θυμιωμένου σκευασία. ρνϛ.
θυμιάματος μυρεψικοῦ κοινοῦ σκευασία. ρνζ. θυμια-
ματος ξανθοῦ σκευασία. ρνη. θυμίαμα τῆς κυρίας ῥωμύλ(ας)
ρνθ. θυμίαμα ῥοδάτον τοῦ ἐμβαλαίου. ρξ. θυμία-
μα ῥοδάτον ἀπὸ σκευῆς πεμφλ. ρξα. θυμίαμα μυρε-
ψικὸν ἢ φικότυχον.

## Ἀετίου βιβλίον τέσσαρον καὶ δέκατον (ἕκτον)

### Περὶ μητρικῶν παθῶν καὶ θυμιαμάτων

### Περὶ θέσεως, μήτρας καὶ μεγέθους καὶ τῆς λοιπῆς διαπλάσεως. Κεφάλαιον α.

Ἡ μήτρα λέγεται καὶ ὑστέρα. μήτρα μὲν ἀπὸ τοῦ μητέρα ταύτην
πάντων ἐν βίῳ γεννωμένων ζώων εἶναι. ὑστέρα δ' ἀπὸ τοῦ ὑστά-
των κεῖσθαι τῶν σπλάγχνων. κεῖται δ' ἡ μήτρα ἐν τοῖς τοῦ
περιτοναίου, μεταξὺ κύστεώς τε καὶ ἀπευθυσμένου. καὶ τῷ μὲν
ἀπευθυσμένῳ ἐντέρῳ ἐπίκειται. κύστεως δὲ κατὰ μὲν τὸ πρὸς
τὸν ὀμφαλὸν μέρος ἔνθα ὁ πυθμὴν αὐτῆς ἐστιν ὑπερέχουσα ἄ-
νω ὡς τὰ πολλά. κατὰ δὲ τὸ πρὸς τὸ αἰδοῖον μέρος ἡ κύστις
τῆς μήτρας ὑπερέχει τῷ αὐχένι. τῷ δὲ μεγέθει οὐκ ἴση ἐπὶ πα-

σῶν

σὺν ὅτι τελείων γυναικῶν ἡ μήτρα· ἐπὶ μὲν τῶν κεκυηκυιῶν μείζων ἐστίν·
ἐπὶ δὲ τῶν ἀτόκων μικρά· παρὰ δὲ τὰς ἡλικίας τοῖς μηδέπω συν-
ουσίαις κεχρημένοις ἐλάττων· ὅτι δὲ τὸ μῆκος αὐτῆς ὡς τὸ πολὺ ἐπὶ
τῶν μετρίων γυναικῶν ἀπὸ τοῦ κατὰ τὸν πυθμένα μέρους τοῦ κατὰ τὸν
ὀμφαλὸν μέχρι τοῦ αἰδοίου δακτύλων ἕνδεκα· κατὰ δὲ τὸ πλά-
τος, ἐφ' ἑκάτερα τῶν λαγόνων ἐκτείνεται ταῖς κεραίαις·
τὸ δὲ σχῆμα αὐτῆς, τὸ μὲν ἄλλο πᾶν κύστει· μάλιστα ὁ πυ-
θμὴν, κύστει ἔοικεν· ἔχει δ' ἐκ πλαγίων μερῶν ἀμφοτέρων
τοῦ πυθμένος ἄνωθεν, ἀποφύσεις τινὰς κεραίας ὅτε ἀσκη-
αίας καλοῦσι· πλατεῖς μὲν ἄνω γινομένας, στενὰ δὲ κάτω νεύ-
ούσας καὶ βραχὺ στενουμένας, ὡς ἐοικέναι τὸ στενωθὲν καὶ
κάτω νεῦον αὐτῶν τῶν κεραιῶν μέρος, φλεψί· τοῦτο δὲ τὸ
στενούμενον τῶν κεραιῶν μέρος κιρσοειδὲς γινόμενον, φέρεται ἄ-
νωθεν κάτω καὶ ἐμφύεται τοῖς διδύμοις ἔξωθεν, τοῖς μὲν τῆς ἑκα-
τέρωθεν αὐτῆς ἐκ τῶν πλαγίων τεταγμένοις ἐκ δεξιῶν καὶ
τὰ εὐωνύμων· διὰ δὲ τῶν κιρσοειδῶν κεραιῶν ἡ μήτρα ἐν ταῖς συνου-
σίαις τὸ σπέρμα ἐπὶ τῶν ὀρχέων εἰς ἑαυτὴν ἕλκει· εἰσὶ δὲ οἱ τῆς
γυναικὸς ὄρχεις μικρότατοι καὶ ὁμοίως ψαφαροί
ὥσπερ οἱ τῶν ἀνδρῶν· ἀλλ' οἷον δερματώδεις καὶ ὥσπερ πεπλα-
τυσμένοι· προσήρτηται δ' ἡ μήτρα κατὰ τὴν ἰνώδη ἀπο-
φύσιν, τῇ τε κύστει καὶ τῷ ἀπευθυσμένῳ· μάλιστα δὲ τῷ ἱερῷ
ὀστῷ· καὶ πολλὰ μέρη ἐξήρτηται διά τινων λεπτῶν δεσμῶν
νευρωδῶν καὶ μυωδῶν· ἀρτήματα δ' αὐτῆς ἐστι καὶ τὰ ἐκ τοῦ
νωτιαίου μυελοῦ εἰς αὐτὴν ἐμφυόμενα νεῦρα καὶ διαπλέκον-
τα αὐτῆς ὅλον τὸ σῶμα· ἐξήρτηται δὲ καὶ ἐκ τῶν εἰς αὐτὴν
ἐμφυομένων ἀγγείων, φλεβῶν λέγω καὶ ἀρτηριῶν· ἀπὸ μὲν τῶν κυρτῶν τοῦ ἥπατος
τῆς κοίλης φλεβὸς τῆς διὰ τῆς ῥάχεως
καταφερομένης καὶ τῆς μεγάλης ἀρτηρίας τῆς ἐκ τῆς καρδίας ὑπο-
τῇ κοίλῃ φλεβὶ καταφερομένης, ἐμφύεται ἀγγεῖα καὶ φέρεται
ὡς πρὸς τὴν μήτραν δύο ἑκατέρωθεν, μία φλὲψ καὶ μία ἀρτη-
ρία· ταῦτα δὲ τὰ δ΄ ἀγγεῖα ἐπιφύεται μὲν ἄνω κατὰ τὸν πυθ- ϯ. ἐμφύονται
μένα τῆς μήτρας· καὶ διασχιζόμενα διαπλέκει ὅλην αὐτὴν καὶ
ἔξωθεν καὶ ἔνδοθεν· μάλιστα δ' ἔνδοθεν· διὰ τῶν ἀγγείων τούτων τὸ
καταμήνιον αἷμα φέρεται εἰς τὴν μήτραν· καὶ μὲν καὶ ἕτεραι φλέβες καὶ
ἀρτηρίαι ἑκατέρωθεν τῆς μήτρας ἐμφύονται· αἱ μὲν εἰς τοὺς ὄρχεις·
αἱ δὲ κατὰ τὸν πυθμένα αὐτῆς καὶ τὸ αἰδοῖον· αὐτὸ δὲ τὸ σῶμα τῆς
μήτρας δύο χιτώνων ἐστί· ὁ μὲν ἔξωθεν, νευρωδέστερος, ὅς τις καὶ
ἀποδέρεται· ὁ δὲ ἔνδοθεν φλεβωδέστερος· καὶ ὁ μὲν ἔξωθεν ἐστὶν
ἁπλοῦς· ὁ δὲ ἔνδοθεν διπλοῦς· ὡς εἰ θελήσαις ἀποδεῖραι τὸν
ἄνωθεν χιτῶνα, δύο σοι φανοῦνται μῆτραι ἐνὶ αὐχένι συνεζευγ-
μέναι· ὁ δὲ αὐχὴν τῆς μήτρας, μυώδης ἐστὶ γενόμενος ἐκ σαρκὸς σκ-
ληρᾶς καὶ χονδρώδους· καὶ ἀεὶ σκληρότερος ἑαυτοῦ γίνεται τῷ
χρόνῳ· ὥστε ὅσαι πολλὰ ἐκύησαν ἢ πρεσβύτιδές εἰσι, ἱκανῶς

ταύταις

ταύταις ὁ αὐχὴν τῆς μήτρας σκληρότερος καὶ χονδρωδέστερος ἐστίν·
ὡς ἔοικεν βρόγχῳ. τρῆμα δὲ ἔχει ὁ αὐχὴν τῆς μήτρας δι' οὗ κα-
ταμήνια μὲν τὰ καταμήνιον· ἀναλαμβάνει δὲ πρὸς ἑαυτὴν ἡ μήτρα
ἐν ταῖς συνουσίαις τὴν τοῦ ἄρρενος γονήν· διὰ τούτου δὲ τοῦ τρήμα-
τος καὶ τὸ ἔμβρυον ἐξέρχεται· ἄπιστον δὲ ὡς ὅτι ὁ πόρος οὗτος στε-
νὸς ὢν ἐν παντὶ μὲν τῷ χρόνῳ [illegible] πυρῆνα μήλης μόλις ὑπο-
δέχεται· κυούσης δὲ γυναικὸς σφόδρα ἀκριβῶς μέμυκεν ὁ πό-
ρος οὗτος ὡς μηδὲ [illegible] ἐπιδέχεσθαι· ἀπολυομένου
δὲ τοῦ ἐμβρύου τῆς μήτρας διΐσταται ὁ πόρος οὗτος· ὅτι δὲ [illegible]
καὶ [illegible], τὸ ἔμβρυον ὅλον δι' ἐκείνου ἐξέρχεται. καλεῖται δὲ ὁ
αὐχὴν οὗτος εἰς τὸ γυναικεῖον κόλπον καὶ τὸ αἰδοῖον καλούμενον.
τὸ δὲ μῆκος τοῦ αἰδοίου ὡς ἐπίπαν ταῖς ἤδη ἡλικίαις δακτύλων ἐστὶν
ἕξ· παχύτερον δὲ γίνεται τὸ αἰδοῖον κατὰ τὰς ἀφροδισίους καὶ
τὰς συνουσίας [illegible]. ἔξω δηλονότι τοῦ τραχήλου τῆς
μήτρας· καὶ ἐπὶ μὲν τῆς παιδικῆς ἡλικίας [illegible] ἐστὶ καὶ μα-
λακόν· ἐπὶ δὲ τῶν πλεῖστα τετοκυιῶν, [illegible] γίνεται, ὡς
χόνδρῳ ἐοικέναι τῇ σκληρότητι. [illegible] τῷ χρόνῳ [illegible]
[illegible] συνεχῶς ἐν ταῖς συνουσίαις καὶ ταῖς ἀποκυήσεσιν·
ἀλλὰ καὶ διὰ τὴν δι' αὐτοῦ γινομένην ἐπιμήνιον κάθαρσιν, μᾶλ-
λον [illegible]. ὥσπερ τὰ διὰ πλείστων [illegible] ὑγρὰ [illegible] συρ-
ρεόμενα [illegible]. [illegible] δ' ἐστὶν ἡ μήτρα καὶ [illegible] φαίνεται, ὅταν ὁ
καιρὸς τῶν ἐπιμηνίων ἐπιφαίνηται. λευκότερα δὲ καὶ [illegible] φαίνεται
ἐν [illegible]· καὶ [illegible] μὲν ἐστι ταῖς πλειστάκις μάλιστα κυησά-
σαις. λευκότερα δὲ ταῖς μήπω κυηθείσαις· καὶ πάλιν ἐν μὲν ταῖς
πρώταις ἡμέραις τῆς συλλήψεως παχέα φαίνεται· ὅταν δὲ ἤδη τελειω-
θῇ τὸ ἔμβρυον καὶ καιρὸς τῆς ἀποκυήσεως γένηται, λεπτότατον τὸ
σῶμα τῆς μήτρας γίνεται· τὸ γὰρ πάχος αὐτῆς εἰς μῆκος ἐκτεινόμενον
λεπτύνεται, ὥσπερ αἱ κύστεις πνεύματος πληρούμεναι [illegible]
[illegible] καὶ [illegible] τῆς μήτρας ὧδε ἔχει.

## Τίνα κυούσης τῆς γυναικὸς ἐν τῇ μήτρᾳ φύεται. κεφάλαιον ϛβ.

Ἐν καιρῷ τῆς κυήσεως, γίνεται ἐν αὐτῇ τὸ χορίον τὸ ἔξω-
θεν περιέχον ὅλον τὸ ἔμβρυον· καὶ μετὰ αὐτό, ἕτεροι δύο ὑμένες,
ὅ τε ἀλλαντοειδής καλούμενος [illegible] ὑποχωρεῖ [illegible]
μέσον τοῦ ἐμβρύου· καὶ μετὰ αὐτὸν ὁ ἀμνίος προσαγορευόμενος,
λεπτός, πανταχόθεν περιβεβλημένος τῷ ἐμβρύῳ.

## Περὶ γενέσεως τοῦ ἐμβρύου χορίου. κεφ. ϛγ.

Ἡ γένεσις τοῦ χορίου γίνεται τόνδε τὸν τρόπον· τὰ στόματα τῶν
φλεβῶν καὶ ἀρτηριῶν τῶν εἰς τὸ ἐντὸς τῆς μήτρας ποικίλως διασχιζομέ-
νων κατὰ τὰς [illegible], ἕκαστον κονδυλώδη ἐξοχὴν ἔχει, ἐοικ-
υῖαν ταῖς ἐν ἕδρᾳ γινομέναις αἱμορροΐσι· ταύτας κονδυλώδεις ἐξο-
χάς, κοτυληδόνας καλοῦσί τινες. μικρόταται δὲ εἰσὶν αὗται ἐπὶ
τῶν γυναικῶν, [illegible] ἐπὶ τῶν αἰγῶν· βοῶν· ἐλάφων καὶ τῶν
παραπλησίων ζώων· σώματα δέ ἐστι ταῦτα τὰ ἐπὶ τῶν ἄλλων ζώων
φαινόμενα πλαδαρὰ ὑπόμυξα τῷ σχήματι ἐοικότα τοῖς φύλλοις
τῆς κοτυληδόνος βοτάνης· [illegible] δέ· ταῦτα οὖν τὰ στόματα

τῆς τ' εὐθὺς διαχωρισθείσης τῆς μήτρας διαναστομουμένων ἀγγείων
ἀνέῳχθαι στόματα ἡ γυνὴ συλλαβοῦσα φανερὰ γίνεται· ἐπειδὴ οὐδὲ ὁ μὴν
συλλαβοῦσαν λέληθεν, ἢ ἀρχομένων τῶν καταμηνίων ἢ παυομένων. ἀνε-
στόμωνται μὲν γὰρ καὶ ἐν τῷ ἅπαντι χρόνῳ τῆς καθάρσεως τὰ
ἀγγεῖα ταῦτα. ἀλλ' οὐκ ἂν λάβοι πρὸς ἑαυτὴν ἡ γυνὴ τηνικαῦτα·
οὐ γὰρ δύναται μένειν τὸ τοῦ ἀνδρὸς σπέρμα ἐν τῇ μήτρᾳ ὄντι τα-
χυρρόῳ· ἐκκλυζόμενον τῷ πλήθει τοῦ προσρρέοντος αἵματος. ἀρχο-
μένων δὲ τῶν καταμηνίων, μάλιστα παυομένων, ἀνεστόμωνται μὲν τὰ ἀγ-
γεῖα· τὸ δὲ καταμήνιον αἷμα οὐκ ἔστι πολύ· οὐκ ἀθρόον ἐκχεῖται· ἀλ-
λ' ὀλίγον καὶ κατὰ βραχύ· ὥστε προσφύεσθαι μὲν διὰ τῶν τραχυτή-
των τῇ μήτρᾳ τὸ σπέρμα· αὐταρκῆ δὲ ἔχειν τροφὴν τὴν ὀλιγοστὴν τα-
τοῦ φερομένου αἵματος. περὶ δὲ τὸν καιρὸν τῶν καταμηνίων οὐκ ἂν
συλλάβοι ἡ γυνή· ὅτι καὶ τοὺς τρέφοντας δέχεται τὸ σπέρμα καὶ τοῖς
προσφύεσθαι οὐκ ἔχει· λεία γὰρ ἡ μήτρα τηνικαῦτα ἐστίν· τῶν
μεμυκότων τῶν ἀγγείων. ὥστε διὰ τοῦτο ἀπορρεῖ τὸ σπέρμα ὥσπερ τὰ
χριόμενα ἀπὸ τῶν λειοτάτων τοίχων. καὶ γὰρ καὶ τοὺς τοίχους οἱ κατα-
χρίειν βουλόμενοι, τραχύνουσι πρότερον, ἵνα οὕτω κατέχηται τὰ
χριόμενα. καταβληθὲν μὲν οὖν τὸ τοῦ ἀνδρὸς σπέρμα καὶ κατασχε-
θὲν ἐν τῇ μήτρᾳ προσφύεται ταῖς κοτυληδόσιν· εἰ κατὰ τὸ
στόμιον αὐτῆς κόλπου· ἐπίσχεται τὸ συνώνυμον· συνάγει δὲ ἑαυτὴν
ἡ μήτρα καὶ περισφίγγεται τὸ σπέρμα πανταχόθεν. ἀρχὴ τοίνυν
τῆς τοῦ χορίου γενέσεως ταῦτα τὰ ἀγγεῖα γίνεται τῶν ἐς αὐ-
τὴν διαναστομουμένων ἀγγείων. ἐξ ἑκάστου γὰρ στόματος ἀγγεῖον ἐκ-
φύεται. ἀρτηρία μὲν ἀπὸ τοῦ τῆς ἀρτηρίας στόματος· φλὲψ δὲ
ἀπὸ τοῦ τῆς φλεβός. συνδεῖ δὲ ταῦτα τὰ ἀγγεῖα πρὸς ἄλληλα
λεπτὸς μὲν, ἰσχυρὸς δὲ ὑμὴν περιφυόμενος ἔξωθεν ἅπασι· καὶ
οὗτος συνίστησι τὸ χορίον. συνερχόμενα δὲ πάλιν ἀλλή-
λοις τὰ ἐν τῷ χορίῳ διεσπαρμένα ἀγγεῖα, ἀποτελεῖ δύο φλέ-
βας καὶ δύο ἀρτηρίας. αὗται δὲ ἐμφύονται κατὰ τὸ μέσον
τοῦ ἐμβρύου. περιλαμβάνουσαι πανταχόθεν τὴν ἔκφυσιν τῶν ἐκ
τοῦ ἐμβρύου κατὰ τὴν ἀλλαντοειδῆ ὑμένα φερομένων, δι' ὧν
ἐκκρίνεται τὸ οὖρον τοῦ ἐμβρύου καὶ ἀθροίζεται ἐν τῷ ὑμένι·
ὥστε τὸ συγκείμενον ἐκ πάντων τούτων, γίνεσθαι τὸν λεγόμενον
ὀμφαλόν. μετὰ δὲ ταῦτα αἱ μὲν δύο φλέβες ἑνωθεῖσαι
μὲν ποιοῦσι μίαν· καὶ αὕτη φερομένη διὰ τοῦ ὀμφαλοῦ,
ἐμφύεται ἐν τοῖς σιμοῖς τοῦ ἥπατος τοῦ ἐμβρύου τῇ κοίλῃ
λεγομένῃ φλεβί. καὶ διὰ ταύτης ἐκ τῆς μήτρας τὸ αἷμα εἰς
τροφὴν ἐμβρύου χορηγεῖται. δεχόμενον γὰρ τὸ τοῦ ἐμβρύου ἧπαρ
τὸ φερόμενον αἷμα ἀναδίδωσιν εἰς ὅλον αὐτοῦ τὸ σῶμα. αἱ δὲ
προειρημέναι δύο ἀρτηρίαι αἱ κατὰ τὸν ὀμφαλὸν πάλιν μίαν ἀ-
ποτελοῦσιν ἀρτηρίαν· καὶ αὕτη φερομένη διὰ τῶν πλαγίων μερῶν τῆς
κύστεως τοῦ ἐμβρύου ἐμφύεται τῇ μεγάλῃ ἀρτηρίᾳ τῇ κειμέ-
νῃ κατὰ τὴν ῥάχιν αὐτοῦ. καὶ διὰ ταύτης τὸ ζωτικὸν αἷμα ἐκ
τῶν ἐν τῇ μήτρᾳ ἀρτηριῶν εἰς τὸ ἔμβρυον μεταδίδοται. κατὰ δὲ
τὸν καιρὸν τῆς ἀποτέξεως, ὅταν τελειωθῇ τὸ ἔμβρυον καὶ μέγα
γενόμενον, περιλύει πανταχόθεν τὴν μήτραν· καὶ διαλύει ὅλη
καὶ τὸ χορίον τηνικαῦτα στενοχωρούμενον. ἀλλὰ μὴν δὲ

τὰ ἐν

τῇ ἐκ τῆς μήτρας αὐλῷ χορηγουμένην τροφὴν ἀρχόμενον τὸ ἔμ-
βρυον σκιρτᾷ καὶ ἀπορρήγνυσι τοὺς περικειμένους ὑμένας· καὶ
οὕτως ἀρρήτῳ λόγῳ ἀνοιγνύουσα ἑαυτὴν ἡ μήτρα, ἐκβάλ-
λει τὸ ἔμβρυον. ταῦτα μὲν οὖν καθ' ὅσον δι' ὀλίγων διὰ βρα-
χέων σαφηνίσαι βουλομένοις εἰρήκαμεν. εἰ δέ τις βού-
λοιτο ἅπαντα τὰ προειρημένα ἀκριβῶς ἐξετάσαι θεάσασθαι,
ἀναλεμνέτω διὰ τὰ ἐξηγούμενα μάλιστα ἢ βοὸς ἢ κάπρου
ἢ δορκάδος θηλειῶν πρὸ τοῦ τῆς ἥβης ὅσα. εὑρήσει τὰ
ἀνατομὴν οὐ φυσικὸν τὸ δέρμα. φαίνεται γάρ σοι ταύτῃ
ποιοῦντι ἀσφαλῶς, ἡ πρὸς τὰ περικείμενα μόρια τῆς
μήτρας κοινωνία.

Περὶ τοῦ πόσον ἔτος ἄρχονται αἱ γυναῖκες
καθαίρεσθαι. Κεφάλαιον, δ.

Τὰ καταμήνια ταῖς γυναιξὶν ἐπιφαίνεται περὶ τὸ τεσσα-
ρεσκαιδέκατον ἔτος ἅμα τῷ ἡβάσκειν καὶ τοὺς μαστοὺς
καθαίρεσθαι. οὐ πάσαις δὲ κατὰ τὸν αὐτὸν καιρόν, οὐδὲ
τὸ αὐτὸ μέτρον τῆς κενώσεως. ἀλλὰ τὰς αὐτὰς ἡμέρας
κατὰ δὲ τὸ πλεῖστον φέρεται ἡμέρας γ. πλεῖον δὲ ὅσον
κοιλίαν β. ἢ πλεῖον ἢ ἔλαττον. καιρὸς δὲ ταῖς μὲν διὰ
κ. ἡμερῶν. ταῖς δὲ πλείσταις διὰ τριάκοντα. ἐνίαις δὲ
διὰ τοῦ μηνός. παύονται δὲ τοῦ καθαίρεσθαι οὐ πρότερον
τῶν λε. ἐτῶν. ἀλλὰ μετὰ πεντήκοντα ἔτη ἐπιφαίνονται.
ἔνιαι δὲ μέχρι τῶν ξ. ἐτῶν ἐκαθάρθησαν. αἱ δὲ
καταπίμελοι ταχέως παύονται. ἀρξάμεναι δὲ τὸ πλῆ-
θος ἐκ τοῦ κατὰ μικρόν, ἕως τῆς ἀκμῆς. εἶτα μὲν τὸ
ἰσότητα φυλάττειν παρὰ τὸ μᾶλλον καὶ ἧττον ἐπι-
χέονται. ὅταν δὲ μὴ ἔτι βελτίω, ἐλαττοῦνται πάλιν
κατὰ βραχύ, ἕως τέλεον ἐκλείπῃ. συντελεῖ δὲ εἰς τὸ ἀ-
κριβῶς ταχέως ἢ βραδέως φέρεσθαι ἢ ὀλίγον ἢ πολὺ ἡλικία καὶ
τάξεως ἢ διαίτης φέρεσθαι ἢ ὀλίγον ἢ πολὺ ἡλικία καὶ
ὥρα καὶ δίαιτα καὶ τὰ λοιπὰ ἐπιτηδεύματα καὶ τῆς φύσεως
ποιότητα καὶ ἰδιότητα καὶ νόσων παρεμπτώσεις.

Τίνα προσημαίνει ταῖς παρθένοις τὸ μέλλειν
ἔσεσθαι αὐταῖς καθάρσεις. Κεφάλ. ε.

μέλλουσαν ἐπιφαίνεσθαι κάθαρσιν, προσημαίνει μασθῶν
κνησμοί. πόνος ἰξύων. ὀσφύος. κεφαλῆς. ἔμετος χο-
λώδης. πόνος ἢ φλεγμάτων. ὧν τινων προφαινομένων περὶ τὸ τεσσα-
ρεσκαιδέκατον ἔτος, δεῖ τὸ ἰᾶσθαι τὸ καταμαίρεσθαι ὡς πρὸ-
ς τὴν κάθαρσιν καὶ συντελεῖν τῇ τοῦ αἵματος φορᾷ διὰ
τῶν ἀπολύσεων ἀποστημάτων.

Πῶς γνώσεται εἰ ἔφθαρται ἡ κόρη ἢ οὔ. Κεφ. ς.

Ἐπὶ τῆς σχηματισθείσης μετὰ κάμψεως καὶ διαστάσεως τῶν
σκελῶν, ὁ δάκτυλος ἐν τοῖς τῶν πτερυγωμάτων βάθει ἤτοι ὀπῇ

καὶ

καὶ τοὺς δακτύλους τῆς ὑποτεταγμένου (?) ἔμμηνα δείκνυσι·
μάλιστα δὲ εἰ καὶ ὄζον τοῦ στόματος ἐκφυσᾷ· καὶ περικύπ-
τειν αὐτῇ παρακελεύεται. ἐκ δὲ τῆς φθορᾶς οὐδὲ φαίνεται
αἱ τοιαῦται ῥαγείσης τῆς περικυπτ(?) ἢ ἐκτέταται ὡς διασπα-
ομένου τοῦ πνεύματος αὐτῶν. φασὶ δὲ καὶ ἔζβαν (?) κομιδῇ
ὁμοίως, ἀρώματα φαγεῖν (?) ἐν ὀστρακίνῳ καινῷ ἀστραγάλῳ (?) βα-
λών, ποίει ἐνστῆναι· καὶ εἰ παρθένος εἴη, φυλάττει (?) ὅμως
τὸ μείζον ζ εὐκατάσχετον κείμενον. εἰ δὲ μή, οὔ.

## Πότε ἄρχεται φαίνεσθαι τὸ κάθαρμα· καὶ πότε ἄρχον-
## ται συλλαμβάνειν. Κεφάλ. ζ.

Τὸ κάθαρμα ἄρχεται φαίνεσθαι περὶ τὸ τεσσαρεσκαιδέκατον
ἔτος· ταῖς δὲ πλείοσιν ἅμα τῷ ἡβᾶν· γόνιμοι δὲ γίνον-
ταί τισι περὶ τὸ ὀκτωκαιδέκατον ἔτος. ταῖς δὲ πλεί-
οσι περὶ τὸ εἰκοστόν· καὶ ἐπιθυμίαι γίνονται τοῦ συνου-
σιάζειν ἐπιφανέντος εὐθέως τοῦ καθάρματος.

## Πῶς σημειωσόμεθα τὰς δυναμένας συλλαβεῖν
## Σωρανοῦ. Κεφάλαιον η.

Εὐφυεῖς δὲ πρὸς τὸ συλλαβεῖν ὑποληπτέον (?) νομιστέ-
ον τὰς ἀπὸ πεντεκαίδεκα ἔτους τῆς ἡλικίας μέχρι
τῶν μ. ἐτῶν ὡς ἐπὶ τὸ πολύ· καὶ μήτε ἀνδρώδεις ἢ στυφ-
νὰς τὴν ἕξιν καὶ στερεάς (?), μήτε ἄγαν ἐκλελυμένας καὶ
κατύγρους ἢ τὴν κοιλίαν συνεχῶς ὑγραινομένας· τὰς
δὲ τὴν διάνοιαν καὶ ἱλαράς· εὔρωστα τὰ περὶ τὴν ὀσφὺν καὶ
ὑπογάστριον ἐχούσας καὶ ἀπαρασήμως (?) καθαιρομένας καὶ ἀπηλλ-
αγμένας τοῦ ὑπὸ νοσημάτων συνεχῶς ἐνοχλεῖσθαι· μάλιστα
τὰ περὶ τὴν ὑστέραν. προγνωστικὸν δέ φασιν εἶναι τὸ δὲ εἰ συ-
λλήψεται ἡ γυνή· σχηματίσας τὴν γυναῖκα ῥαζ(?) ὑποθυ-
μία ἵνα διὰ τοῦ αἰδοίου δέξηται τὸν καπνόν· ἐὰν εἰς τὸ στόμα
αὐτῆς διαδοθῇ ἡ ὀσμή, συλλήψεται· εἰ γὰρ μὴ ἕτερον ζ
πάντα περὶ τὴν ἐκφύσησιν στερεῶσαι τὴν μήτραν συμβέ-
βηκεν· εἰ δὲ μή, οὔ. Ἄλλο. σκόροδα λεπτίσας καὶ
ξηρὰ προσθεῖσα, δίδου προστιθέσθαι ὡς πεσσὸν καθ-
εύδειν μελλούσῃ· καὶ ἐὰν πρωῒ ἡ ὀσμὴ τῶν σκορόδων ἐμφαί-
νηται διὰ τοῦ στόματος αὐτῆς, συλλήψεται· εἰ δὲ μή, οὔ.
φασὶ δὲ τινὲς κηροῦ ἀπαρτίσου (?) καὶ βουτύρου ἰσότητα (?) γάλα-
κτι γυναικὸς ἀρρενοτοκούσης αὐτῇ δίδου πίνειν· καὶ εἰ μὲν
ἐρεύγεται, τίκτει ἡ γυνή· εἰ δὲ μή, ἀλλὰ μᾶλλον ἀποπνευ-
ματίζεται, οὐ κυεῖ. Ἄλλο. τοὺς μαστοὺς καὶ ἀγκῶνας
καὶ τὰς χεῖρας τῆς γυναικὸς ἔωθεν χρῖσον στέατι χλωρῷ
μετὰ χυλοῦ πολυγόνου· καὶ ἐὰν ἕως ὀψὲ ὀσφρανθῶσι καὶ πυρ-
σωθῶσιν αἱ φλέβες αὐτῆς, κυεῖ· εἰ δὲ κατέχου-

σι,

στι, δυσχερῶς. εἰ δὲ λεπταὶ καὶ κακόχροοι ὦσιν, στεῖ-
ραι εἰσί. φασὶ δὲ καὶ ἐν χύτραις νέαις δύο, σπέρματα
κριθῶν ἐμβληθέντα, ἐνουρηθέντα τῇ ἰδίᾳ τὸ μὲν ὑπὸ
τοῦ ἀνδρὸς, τὸ δ' ὑπὸ τῆς γυναικὸς. ἱκανῶς δὲ καὶ εἰς ἐκ-
νοῦν ἀποτεθέντα τόπον, διὰ τῆς ἑβδόμης ἡμέρας, εἰ φύονται,
μαρτυρεῖν ὡς δ' ἀμφότεροι τὸ γόνιμον· ἡ μὴ βλαστήσαντα
τὸ ἄγονον. ὁμοίως καὶ εἰ ἤδη συνειλήφασι δοκιμαζέσθω
ἐκ τοῦ ἐπιθυμιάματος, εἰ μὴ διαδίδοται διὰ τοῦ στόματος
τὸ θυμίαμα. μηδ' ἐν ταῖς στείραις καὶ ταῖς συλλαβούσαις
καὶ ταῖς παρθένοις τὸ στόμα τῆς μήτρας. φασὶ δὲ ταῖς οὕτω
δοκιμάζειν καὶ τὸ παχὺ μελίκρατον. εὐθὺς γὰρ πινούσης ὁ
στρόφος ἐπιγίνεται.

Πῶς σημειωσόμεθα τὰς ἤδη συνειληφυίας. Κεφ. θ.

Συνειληφυίας δὲ γνωσόμεθα τὴν γυναῖκα ἐκ τοῦ προτέρου μὲν
ἐρωτωμένην ὑπό γε μαίας, εἰπεῖν ὡς οὐκ ἀποκέκριται
τὸ σπέρμα τοῦ ἀνδρὸς μετὰ τὴν συνουσίαν· καὶ ἐκ τοῦ κατὰ τὴν συν-
ουσίαν φρικώδους αἰσθήσεως ἀντίληψιν τῇ γυναικὶ γεγο-
νέναι. ἀλγεῖν δὲ μετρίως τὰ περὶ αἰδοῖον καὶ ὀμφαλὸν μέχρι
ἡμερῶν ἑπτά· καὶ ἐκ τοῦ κατάξηρον καὶ ἀνικμὸν ἔχειν τὸν κόλπον
καὶ στόμιον τῆς μήτρας. μεμυκέναι τε αὐτὸ τὸ τῆς ὑστέρας στόμα
χωρὶς σκληρίας καὶ φλεγμονῆς. καὶ ἐπὶ ποσὸν ἄνω ἀνακεχω-
ρηκέναι. καὶ ἐκ τοῦ ἀνορεκτεῖν γίνεσθαι περὶ τὰ ἀφροδισια-
σμούς. καὶ ἐκ τοῦ ἐν τῷ ἑξῆς χρόνῳ τὴν κάθαρσιν μὴ ἐπιφαί-
νεσθαι. καὶ τὰς περὶ τὸ στῆθος φλέβας πρασιζούσας ἢ πελιδ-
νὰς γίνεσθαι καὶ ἐπαίρεσθαι. τοὺς τε μαστοὺς διογκοῦσθαι. καὶ γάλα
ἄγειν προϊόντος τοῦ χρόνου. καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ὑπόχλωρα
εἶναι. πολλὰ καὶ φακοὺς ἐξανθίζονται τὸ πρόσωπον. ἐνίαις δὲ
καὶ ὄρεξις ἐπιγίνεται. καὶ ἐκ τοῦ τὸ πρόσθιον μέρος τοῦ τραχή-
λου ἐξοιδοῦν εἶναι. τὰ δ' ὀπίσθια ψυχρά. καὶ ἐκ τοῦ
περὶ τὸ δ[illegible] μήτε παρὰ τὸ ἔθος αὐτὰς ἐπιθυμεῖν ὀξέων
ἢ ἁλικῶν. ἐνίαις δὲ καὶ ὁ στόμαχος ἀτονεῖ ἔμετον ποιῶν. ὄγκος
τε περὶ τὰς ἐνδείας ὑπογίνεται καὶ τὸ βλέμμα ταραχῶδες
καὶ λίαν θῆλυ ἐπιγίνεται πρὸ τοῦ τόκου. τρέπεται δὲ καὶ ἡ χροιὰ
ἐπὶ λευκὴν ἢ ξανθὴν ὠχρότητα παρὰ τὰ πολλὰ ἀνδρὶ
κεκρυμμένα. περὶ δὲ τὴν κάθαρσιν προϊόντος μηνὸς βα-
ρύνονται καὶ πνευματοῦνται τὰ περὶ τοὺς μαστοὺς καὶ ἡ ὀσφὺς
δυσκάμπτως ἔχει. καὶ ἡ κύστις ἐπὶ πρηνῶς ἐξουρεῖ πυ-
ρρὸν καὶ ξηρόν. τῆς ἐν κόλπῳ δημοσίας αὐτῆς συγκαθ-
ούσης. καὶ τὸ ἐκ τούτου ἔμμηνον διακρινούσης ἐπὶ τὸ οὖρον.

Τίνα σημεῖα κατὰ τοὺς ἀρχαίους τοῦ ἄρρεν ἢ θῆλυ
εἶναι τὸ κυούμενον. Κεφάλαιον. ι.

Ἱπποκράτης φησὶ καὶ ἄλλοι τοῦ μὲν ἄρρενα κύειν σημεῖα
τὸ εὐχροεῖν μᾶλλον ἐπειδὰν ἀντὶ κυούσης καὶ εὐκινητότερον·

καὶ τὸ

καὶ τὸν τῆς δεξιᾶς μαζὸν μείζονα ἔχειν καὶ εὐσαρκότερον· καὶ μάλιστα τὴν θηλήν. καὶ ἐπὶ μὲν τοῦ ἄρρενος τὰ τοῦ δεξιοῦ μέρους αὐξάνεται, καὶ αἱ φλέβες μᾶλλον ἐν ὄγκῳ εὑρίσκονται· καὶ μάλιστα αἱ ὑπὸ τὴν γλῶσσαν. ἐπὶ δὲ τοῦ θήλεος αἱ ἐν τοῖς ἀριστεροῖς. καί φασι τὰς θηλυκὰς εἰ ἐπισκάφοι τις, ἐπὶ μὲν τῶν θηλειῶν καταπίπτειν· ἐπὶ δὲ ἀρρένων ἐπανίστασθαι. δοκεῖ τὸ δὲ καὶ βεβαιότατον εἶναι σημεῖον, τὸ ἐπὶ μὲν τῶν ἀρρένων τὸν σφυγμὸν τῆς δεξιᾶς χειρὸς εἶναι τῆς ἑτέρας σφοδρότερον, ταχύτερον, μείζονα καὶ σκληρότερον· ἐπὶ δὲ τῶν θηλειῶν, τῆς ἀριστερᾶς τοιοῦτον εἶναι.

## ΠΕΡΙ ΚΙΤΤΗΣ· ΓΑΛΗΝΟΥ. ΚΕΦΑΛ. ΙΑ.

Τὸ περὶ τὸν δεύτερον μῆνα συμβαῖνον ταῖς κυούσαις πάθος, κίττα ὠνόμασται ἐκ μεταφορᾶς ὄρνιθός τινος ζώου οὕτω λεγομένου, ἄλλοτε ἄλλως καὶ ποικίλως φθεγγομένου. τινὲς δέ φασι καὶ ἐκ μεταφορᾶς τοῦ φυτοῦ λεγομένου κιττοῦ, τοῦ πολλοὺς ἔχοντος διαφόρους φύσεις τοῖς πέταλοις· καὶ γὰρ αἱ κιττῶσαι γυναῖκες ἐπιθυμοῦσιν ἐδεσμάτων ποικίλων καὶ μάλιστα ἐκείνων ὧν τινων τῆς ὀδμῆς καὶ ἡδονῆς αὐτῶν λαμβάνονται. ἐπιγίνεται δὲ ταῖς κυούσαις τὸ πάθος ὡς ἐπὶ τὸ πολὺ περὶ τὴν τεσσαρακοστὴν ἡμέραν μετὰ τὴν τῆς κυήσεως ἀρχήν. ἔχει δὲ ταραχὴν στομάχου καὶ ναυτίαν, ἀπορίαν, ἀλυσμὸν καὶ ἐμέτους σιτίων, χολῆς καὶ φλέγματος. τινὲς δὲ καὶ συνεχῶς κεφαλαλγοῦσι καὶ ἀσιτοῦσι. ταῦτα δὲ συμβαίνει διὰ τὸν πλεονασμὸν αἵματος. τὸ γὰρ εἰωθὸς διὰ τῶν ἐν τῇ μήτρᾳ ἀγγείων κατὰ μῆνα ἀποκρίνεσθαι αἷμα κωλυόμενον ὑπὸ τοῦ ἐμβρύου ἀναφέρεται πρὸς τὰ ἄνω μέρη καὶ ἐνοχλεῖ τῷ στομάχῳ μάλιστα αἰσθητικωτάτῳ ὑπάρχοντι· ποικίλων καὶ ἀλλοκότων ἐπιθυμοῦσι πρὸς τὴν τῆς ἐπικρατούσης κακοχυμίας ἰδέαν. αἱ μὲν γὰρ ὀξέων· αἱ δὲ ἁλυκῶν· αἱ δὲ γῆς· ἕτεραι ὀστράκων ἢ ἀνθράκων ἐσβεσμένων ἐπιθυμοῦσι. παραμένει δὲ ἡ κίττα ἐνίοτε ἄχρι τετάρτου μηνός. κατὰ γὰρ τὰς ἀρχὰς ἐλάχιστόν τι αἵματος ἀναλίσκεται εἰς τὴν τοῦ ἐμβρύου τροφήν. ὕστερον δὲ μείζονος γινομένου, πλείονος δεῖται· καὶ οὕτω τοῦ μὲν αἵματος χωροῦντος ἐπὶ τὴν μήτραν εἰς τὴν τοῦ ἐμβρύου τροφήν, τῆς δὲ κακοχυμίας κενωθείσης διὰ τῶν ἐμέτων, ἄνεσις γίνεται τῶν προειρημένων συμπτωμάτων. ἐφ᾽ ὧν μὲν οὖν ἱκανὸν φαίνεται συνειλεγμένον αἷμα, ὀλιγοσιτία σύνθετος καὶ γυμνασία γυναιξὶ πρέποντα τὰ διαφορεῖν δυνάμενα τὸ πλεονάζον· κόποι τε καὶ ἀποδημίαι. αἱ δὲ ἀταλαιπώρως εἰθισμέναι διαιτᾶσθαι, ὁ χρὴ σωφρονοῦσι κυοῦσαι τὰς ἐξαίφνης ἢ ἐπιπονωτέρας κινήσεις. ἐφ᾽ ὧν δὲ δριμὺ ἢ ὀξῶδες ἢ ἁλυκὸν ὑπάρχον ἀναδάκνει τὸν στόμαχον καὶ ἐκπυροῖ, σύνηθες χλιαρὸν ὕδωρ πινόμενον πρὸς τὸ εἰς ἔμετον ἐρεθίζεσθαι τὴν γαστέρα καὶ συνεκκρίνειν παρασκευάσει τὸν ἐνοχλοῦντα χυμόν. σιτία δὲ μὴ

ἄγαν

ἄγαν γλυκέα ἔστω· οἶνος δὲ κιρρὸς ὀλιγοφόρος, παλαιός, καὶ ὑπόστυφος. τὸ μὲν δὲ ὅλον πολὺν ὀλίγον ἔστω πρὸς τὸ μὴ ἐπιπολάζειν τῷ στομάχῳ τὰ σιτία. ἁρμόδιον δὲ πρὸς τὴν σιτίων ἰδίας κολυμβάδας διδόναι μετὰ ἄρτου κλιβανίτου ἀπαλοῦ, δεόντως ἐσκευασμένου καὶ ἀμύγδαλα πικρὰ ε ἢ ζ. ἄλφιτα μετὰ χυλοῦ πυρίνου ὅσα μὲν κατάπικρα μέλανα καὶ βρωμώδη· χοίρων πόδας καὶ ῥύγχη· καὶ μήτρας καὶ κοιλίας· καὶ τῶν πτηνῶν μετὰ σινήπεως ἐσκευασμένα· θαλασσίων δὲ ἐχίνους προσφάτους· μετὰ δὲ τὴν τροφήν, διδόναι ἀσταφίδας καὶ ῥόας καὶ ἀπίους· σύμμετρα δὲ ἔστω, καὶ ταῦτα καὶ τὰ προειρημένα. τὰ δὲ μὴ ἐσθίειν δυναμένη πρὸ τροφῆς εἰς ἔδεσιν τὰ ποικίλα σιτία καὶ τὰ πρὸς ἡδονήν. ταῖς δὲ γῆν ἐσθιούσαις, ὠφελεῖ μᾶλλον τὸ ἄμυλον ἐσθιόμενον αὐτῆς ἀντὶ τῆς γῆς. ἔστω δὲ πρόσφατον· ὡς δὲ φάρμακον διδόναι ἀνδράχνης ἀπόβρεγμα καὶ αὐτὴ ἐσθιομένη ὠφελεῖ καὶ σικύου σπέρμα λελειωμένον μεθ' ὕδατος πινόμενον· πολυγόνου ἀφέψημα πινόμενον καὶ ἀνήθου ὁμοίως· καὶ ῥοῦ πολιτικοῦ καὶ ναρδοστάχυος ἀπόβρεγμα· ὁ σέρεως χυλὸς καὶ αὐτὴ ἐσθιομένη συνεχῶς ὠμὴ καὶ ἑφθή· εἰ δὲ πολὺ εἴη τὸ ἐμούμενον καὶ διὰ γλισχρότητα δυσχερῶς ἐκκρίνοιτο, διδόναι ῥαφανίδας μετὰ ὀξυμέλιτος ἐσθίειν, καὶ τάριχον· καὶ πάντα τρόπον μηχανητέον ἀλύπως καὶ δίχα σπαραγμοῦ ἐκκενωθῆναι τὸ λυποῦν. βοηθεῖ ἔξωθεν οἰνάνθη· βαλαύστιον· ῥόδα· κύτινοι ῥόος· μυρσίναι· σμύρνη· κόμη· μαράθου σπέρμα καὶ οἶνος διὰ ῥάχεων καὶ μετὰ ἐλαίου ... προσφερόμενα καὶ μετὰ ἢ κυμίνου ἢ ἀψινθίου. βοηθεῖ δὲ προσφόρως καὶ ἔξωθεν τῷ στομάχῳ ἐξ ... τοῦ τόπου φοινίκων σάρκες ἐν οἴνῳ ἑψημέναι ἢ βεβρεγμέναι λελειωμέναι, μαλάγματα ... ἐπιτιθέμενα· ἢ μῆλα κυδώνια ἐν ὀξυκράτῳ ἑψηθέντα καὶ λεῖα ἀναληφθέντα κηρωτῇ ῥοδίνῃ ἢ ναρδίνῃ· ἢ ὀμφάκιον μετὰ κρόκου· οἱ δὲ ... ῥάκια ἢ ὀθόνιον οἰνανθίνῳ ἢ ὀξελαίῳ ἢ ῥοδίνῳ καὶ ὄξει· ἢ ναρδίνῳ μετὰ οἴνου βρέξας, ἐπιτιθέασι τῷ στομάχῳ. ἐπικουφίζει δὲ τοὺς καρδιωγμοὺς καὶ τὰς δίψας, καὶ τὸ ἐπιρροφεῖν συνεχῶς θερμοῦ ὕδατος· καὶ τὸ συνεχῶς βαδίζειν συνεχῶς· καὶ τὸ ψώχειν τὸ ὑποχόνδριον ἐλαίῳ μαλακῶς καὶ θάλπειν· συναλείφειν καὶ γυμνάζειν πρὸ τροφῆς τὰ κάτω μέρη πρὸς δύναμιν.

## Πρὸς τὰ γινόμενα ταῖς κυούσαις περὶ τοὺς πόδας οἰδήματα. Κεφάλαιον ιβ΄.

Ὄξει καὶ ῥοδίνῳ ἀνατρίβειν δεῖ· ἐνίοτε καὶ ἅλας συμπλέκοντα λείους· ποιεῖ καὶ κιμωλία γῆ ἐπιχριομένη μετὰ ὄξους, ἢ τῆς ... μετὰ οἴνου· ἀγαθὸν καὶ τὸ ἔνδον τῶν κιτρίων τὸ ἀφέψημα καταντλούμενον· καλὸν καὶ ἀνθύλλιον ὄξει βεβρεγμένον ἐπιδεῖν μετὰ φύλλων κράμβης ἐπικειμένων πλατέως.

Περὶ

## Περὶ τῆς μετὰ ταῦτα τῶν κυοφορουσῶν. Ἀσπασίας. Κεφάλαιον ιγ.

Τὰς δὲ κυοφορούσας προνοητέον παραφυλαττομένους τὰ προειρημένα ... φόβους ὑπερβάλλοντας καὶ λύπας καὶ πᾶσαν ἰσχυρὰν ταραχὴν τῆς διανοίας· αἰώρας τε τὰς δι' ὀχημάτων καὶ τὰ βίαια γυμνάσια καὶ πνεύματος σφοδρὰς κατοχάς· καὶ πληγὰς κατὰ τῶν ἰσχίων, καὶ βάρους ἆρσιν καὶ πηδήματα καὶ σκληρὰς καθέδρας, καὶ δριμέων ἐδεσμάτων ἢ ἐμπνευματούντων προσφοράς, καὶ κλυστῆρας δριμεῖς· καὶ ἔνδειαν καὶ πλεονασμὸν τροφῆς ἢ οἴνου· καὶ ῥύσιν αἵματος διὰ ῥινῶν ἢ αἱμορροΐδων ἢ φλεβοτομίας ἢ ἄλλου τρόπου· πάντα γὰρ ταῦτα βλάπτει τὰς κυούσας. χρηστέον δὲ τροφαῖς εὐχύμοις, εὐστομάχοις· αἰώρᾳ διὰ φορείου ἤτοι τοῦ λεγομένου δίφρου· περιπάτοις πραέσι· τρίψει μαλακῇ· ταλασιουργίᾳ. περὶ δὲ τὸν ὄγδοον μῆνα ὅτε βαρύτατον τὸ κυοφορούμενον γίνεται, ὑποστέλλειν χρὴ τὴν τροφὴν καὶ τὰς σφοδρὰς κινήσεις περιπάτων. εἰ δὲ καὶ ἡ κοιλία ἐπέχοιτο διὰ τὸ παρακτείνεσθαι τὸ ἀποθλιβόμενον ὑπὸ τῆς μήτρας, διδόναι τροφὰς ὑπακτικὰς τῆς κοιλίας· οἷον τευτλανίνης χυλόν· λάπαθον ἑφθόν· μαλάχην· κνίδην. περὶ δὲ τὸν ἔνατον μῆνα, συνεχέστερον τοῖς βαλανείοις χρῆσθαι ἀναγκαῖον καὶ χαρίεσι σιτίοις· καὶ τὸ ὅλον προνοητέον, ὅπως ἰσχύῃ ἡ τίκτουσα τὰς ὠδῖνας ἐσομένας.

## Τίνα σημεῖα προηγεῖται τῆς μελλούσης γίνεσθαι κατὰ φύσιν ἀποκυήσεως. Κεφάλ. ιδ.

Παρέπεται ταῖς μελλούσαις ἀποκύειν, βάρος ἤτρου καὶ ὑπογαστρίου· καὶ ἡ πύρωσις τοῦ γυναικείου αἰδοίου· ἥτε ὑστέρα προχωρεῖ τῷ αἰδοίῳ· ὥστε τὴν μαῖαν ἐπιψηλαφωμένην ἅπτεσθαι αὐτῆς ῥᾳδίως· καὶ διέστηκεν αὐτῆς τὸ στόμα μετὰ διαφορίας καὶ κατὰ ὑγρασμόν. ἐγγιζούσης δὲ τῆς ἀποτέξεως, συμπίπτει μὲν τὸ ὑπογάστριον· διογκοῦνται δὲ οἱ βουβῶνες καὶ τὸ ἐφήβαιον· καὶ συνεχὴς γίνεται πρὸς ἀπούρησιν προθυμία· φέρεται δι' ὑγρῶν γλίσχρων· εἶτα καὶ αἵματος πλείονος ῥηγνυμένων τῶν ἐν τῷ χορίῳ λεπτῶν ἀγγείων.

γρ. πλέον

## Τίνα δεῖ προσφέρειν ταῖς κατὰ φύσιν τικτούσαις. Κεφάλαιον ιε.

Τίνα δεῖ προπαρασκευάζειν καὶ ὅπως βοηθεῖν ταῖς κατὰ φύσιν τικτούσαις ἐπιτήδειον, ἥκιστα γράφειν τοῦ εἶναι οὐ μόνον μαιῶν· ἀλλὰ καὶ τῶν ἄλλων γυναικῶν ταῦτ' ἐπισταμένων· ὅ τι δὲ ἐστὶν ἀναγκαῖον εἰδέναι, γέγραπται. παραινεῖν χρὴ ταῖς τικτούσαις κατέχειν μὲν τὸ πνεῦμα καὶ εἰς τοὺς κάτω τόπους τοῦτο διωθεῖν καὶ μὴ κατὰ τὸν τράχηλον τοῦτο

συνάγειν

συνάγειν ὡς ἔνιαι ποιοῦσι τὴν ὑστέραν· ἐκ τούτου γὰρ πολλαῖς
βρογχοκῆλαι καὶ σκευάσθησαν· ὅπερ ἐστὶν ἀνθρώπινα
τοπικά· ἔστι δὲ κενώσεως ἡ διάθεσις.

## Περὶ τῶν μελλουσῶν δυστοκουσῶν ἀναγκαίας

### Κεφάλαιον ιϛ

Δυστοκίας δὲ γινομένης καὶ μεμυκότων τῶν τόπων, ἀνάγειν τὴν
πάσχουσαν εἰς βαλανεῖον· καὶ ἐμβιβάζειν εἰς ἀέρα θερμὴν δεξα-
μενήν· ἢ περικλύσμασι χλιαροῖς καὶ ἐγκαθίσμασι διὰ ὀλίγων ἀθρόον
ποιεῖν δυναμένοις, καὶ διαχρίσμασι δι' ἐλαίου χλιαροῦ καὶ τοῖς ῥοδίνοις
τοῖς λευκοῖς ἀναχεομένοις· καὶ ἀφεψήμασι μαλάχης
ἢ λίνου σπέρματος καὶ τήλεως· ἢ κηρωτῇ ὑγρᾷ διὰ
κυπρίνου, μάλιστα κατὰ ἐπιγαστρίου καὶ τοὺς βουβῶνας· καὶ ἡ
τῶν χελιδόνων, καὶ λίαν δὲ λέγω ἡ κόπρος διαλυομένη μετὰ ζω-
μοῦ καὶ ἐπιχριομένη τῇ ὀσφύϊ καὶ τῆς ῥάχεως ὄπισθεν, τα-
χεῖαν τὴν ἀπόλυσιν ποιεῖται· χρὴ γὰρ καὶ ἔτι ἄριστα κρα-
τούμενος· φασὶ δ' ὅτι καὶ τιθυμάλλου τοῦ μεγάλου ἡ ῥίζα
εἰς ῥάκος λινοῦν περὶ τὸν μηρὸν ἐνδεσμουμένη, βοηθεῖ
σφόδρα καὶ στύραξ ὁμοίως, καὶ κοριάνδρου χλωροῦ καὶ πο-
λυγόνου ἡ ῥίζα καὶ ἀλκυόνιον· καὶ σικύου ἀγρίου ῥίζα ἢ τοῦ — # τὸ σπέρμα
καρποῦ κινήσας τῷ ὄνυχι τὸ ἐξιόν τι ἀπὸ ῥινίῳ περιάμμα-
τα περίαπτε· ἔτι δέ φασι μετὰ τὴν ἀπόλυσιν λύειν ταῦ-
τα καὶ ἀφαιρεῖν εὐθέως· μετὰ δὲ τὴν ἀπόλυσιν εἰ τὸ χορίον
μὴ ἀποδοθῇ, οὐ χρὴ ἀποσπᾶν βίᾳ· ἀλλὰ πταρμικῷ κινεῖν
καὶ ἐπέχουσαν τὸ πνεῦμα καὶ ἀποφράττουσαν τὰς ῥῖνας καὶ
τὸ στόμα· εἰ δὲ χρονίζει, συμπεφυκέναι τοῦτου ἀποβο-
λῆς καθὼς ἐν τοῖς μετὰ ταῦτα δηλωθήσεται. Ἐκβό-
λια καὶ ὠκυτόκια· Πολυποδίου ῥίζαν ὠδινούσῃ περίαπτε
τοὺς πόδας· καὶ παραχρῆμα ἐκβάλλει εἴτε ζῶν εἴτε τεθνηκός.
Ἄλλο· λαβὼν τοῦ ἀγρίου σικύου, τὸ ἐκπηδῆσαν πρῶτον
σπέρμα αὐτομάτως ἐκ τῆς βαλάνου τοῦ καρποῦ, ἔμβαλε
ῥινίῳ ἐκ τῶν μεσοσκελῶν κριοῦ καὶ ἀποδήσας ἔχε πρὸ
δὲ τῆς τεκούσας περίδησον ἐν τοῖς ἰσχίοις καὶ ὅταν
ἐκβάλῃ ἄφελε. Ἄλλο· σαύρου τοῦ σαθρομένου ῥίζαν
περίδησον ὄπισθεν τοῦ δεξιοῦ μηροῦ ῥινίῳ φοινικίνῳ καὶ
εὐθέως ἐκβάλλει. Ἄλλο· τιθυμάλλου τοῦ μεγά-
λου βάλε ῥίζαν ἐν μέλανι ῥάκει καὶ ἔνδησον καὶ περίαπτε
τῷ δεξιῷ μηρῷ. Ἄλλο, δεῖ δὲ καὶ διασυλλέγειν
καὶ σφαγὴν τῶν ἐξαμβλωσσῶν· ποίει καὶ ὥσπερ φυ-
τὰ μὴ κρατοῦντα τοὺς καρπούς, ἀπὸ τοῦ, Καὶ ἔσται ὡς
τὸ ξύλον τὸ πεφυτευμένον· ἕως τοῦ, Καὶ πάντα ὅσα
ἂν ποιῇ κατευοδωθήσεται. Γράψας, χρῶ. Ἄλλο

δυστο-

Δυστοκούσαις. λαβὲ ἀριστολοχίαν τὴν λεγομένην μακρὰν δακτυλιαίαν καὶ ὑποθυμία τὴν γυναῖκα, περιβάλλων αὐτὴν καθαρίως ἵνα μὴ διαπνέῃ· ἀλλ' εἰς τὸ σῶμα αὐτῆς φθάνῃ ἡ ἀτμίς· σύντομος τέξεται χωρὶς δυσχολίας. δεδοκίμασται. ἢ κυνὸς γάλα περίχριε, πίνειν σὺν οἰνομέλιτι. Ἄλλο. ἀλκυόνιον λινῷ ἐνδήσας περίαπτε τῷ βραχίονι ἀριστερῷ ἢ μηρῷ. δεῖ δὲ τάχιον ἀφελεῖν. πεπείραται. ἔστι δὲ τῶν χειρολήπτων σὺν θεῷ.

Πρὸς δυστοκίαν γράψας ἐν χάρτῃ καὶ δήσας, περίαπτε τῷ μηρῷ· καὶ ὅταν ἐκβάλῃ τὸ ἔμβρυον, λῦσον ταχύ. Λάζαρε δεῦρο ἔξω, Χριστός σε καλεῖ. ποίει καὶ ἐπὶ τεθνηκότων. Ἄλλο. ἐν ὀστράκῳ καινῷ γράψον τρεῖς στίχους, καὶ ἐπίθες γυμνῷ τῷ μηρῷ. Χριστὸς ἐγεννήθη. Χριστὸς ἐτάφη. Χριστὸς ἀνέστη. καὶ ἅμα τῷ τεκεῖν ἆρον. Ἄλλο. εἰς ἔλαιον λέγε ἐπιλάκις τῶν πρὸς ἑπτὰ λέγων, συνωδῆ μὴ ἐγένετο. δεῦρο καὶ σὺ ἔξω.

## Τίσιν ἄμεινον συλλαβεῖν· καὶ περὶ φθορίων. Καὶ εἰ χρηστέον ἐστὶ αὐτοῖς φθορίοις. Κεφ. ιζ.

Τινὲς τῶν γυναικῶν ἐν γαστρὶ λαμβάνουσαι, κινδυνεύουσιν ἐν τοῖς ἀποτόκοις, ἢ διὰ στενότητα τοῦ τραχήλου τῆς ὑστέρας, ἢ μικρᾶς ὅλης τῆς μήτρας ὑπαρχούσης καὶ μὴ δυναμένης ἐπαρκέσαι τῷ μέχρι τελειώσεως τοῦ βρέφους μεγέθει· ἢ κατὰ στόμιον τῆς μήτρας κονδυλώματος ἢ τινος τοιούτου ἑλκοῦ γινομένου, κώλυμα γίνεται τῆς ἀποτέξεως· αἷς πολλῷ μὲν ἄμεινον ἐστὶ τὸ μὴ συλλαβεῖν· εἰ δ' ἄρα καὶ συλλάβοιεν, βέλτιόν ἐστι τὸ φθεῖραι αὐτὰ τοῦ ἐμβρυοτομηθῆναι. Διὸ ἀκόλουθόν ἐστι περὶ ἀτοκίων διαλαβεῖν καὶ φθορίων.

## Περὶ ἀτοκίων καὶ φθορίων. Κεφάλ. ιη.

Ἀτόκιον, φθορίου διαφέρει· ἀτόκιον μὲν οὐκ ἐᾷ γενέσθαι σύλληψιν· φθόριον δὲ φθείρει τὸ συλληφθὲν καὶ ἐκβάλλει. πρὸς μὲν οὖν τὸ μὴ συλλαβεῖν, παραφυλακτέον χρὴ μὴ συνουσιάζειν ἐν τοῖς ἐπιτηδείοις πρὸς σύλληψιν καιροῖς· οἷον ἀρχομένων ἢ ληγόντων τῶν καταμηνίων· ἐν δὲ τῷ καιρῷ τῆς συνουσίας, ὅταν ὁ ἀνὴρ ἀποκρίνειν μέλλῃ τὸ σπέρμα, κατέχειν τὸ πνεῦμα καὶ ἀφέλκειν ἑαυτήν, εἰς τὸ μὴ ἐν τῷ κύτει τῆς μήτρας ἀκοντισθῆναι τὸ σπέρμα· καὶ διεγερθεῖσαν εὐθέως καὶ ὀκλάσασαν πταρμὸν κινεῖν· καὶ περιμάξασθαι τὸν κόλπον ἐπιμελῶς. Βοηθεῖ δὲ τῇ ἀσυλληψίᾳ

καὶ τὸ

καὶ τὸ περιέχον αὐτὸ στόμιον συμπεπτωκός· ἢ ὑποβάλ-
σαμεν ἢ κεδρίαν καὶ ἰρίαν καὶ μετὰ ψιμυθίου· ἢ κηρωτὴν
μύρσινον· ὑγρὰ ἔχουσαν ψιμύθιον· ἢ στυπτηρίαν ὑγρὰν
ἢ γάλβανην μετ' οἴνου· ταῦτα δὲ ἐπιτήδεια· εἰ μὲν στυπτικὰ
εἴη καὶ ἐμπλαστικὰ καὶ ψυκτικὰ καὶ μυωτικὰ παρασκευά-
ζει τὸ στόμα τῆς ὑστέρας· προστεθέντα καιρῷ τῆς συνουσίας
καὶ οὐκ ἐᾷ ἐπιδέχεσθαι εἰς τὸ πνεῦμα αὐτῆς τὸ σπέρμα· τὰ
δὲ δριμέα καὶ σμήχοντα οὐ μόνον τὸ τοῦ ἀνδρὸς σπέρμα ἐνα-
πομεῖναι τῷ κόλπῳ τῆς μήτρας οὐ συγχωρεῖ· ἀλλὰ καὶ
ἑτέραν ὑγρότητα ἐξ αὐτῆς ἐκκρίνουσι· τὸ γένος δὲ τῶν
ἀτοκίων καὶ κωλυτικῶν τῆς συλλήψεως ἐστὶ καὶ ταῦτα·
Πεσσὸς ἀτόκιος· πίτυος φλοιοῦ· ῥοὸς βυρσοδεψικῆς
ἑκάστου ἴσον τρίβε μετ' οἴνου, σκεύαζε· καὶ προστίθει
μετὰ ζ' ὥρας πρὸ τῆς συνουσίας· καὶ μετὰ ὥρας β' ἀφαιρεῖ-
σθαι· ἡ γυνὴ συνουσιαζέτω· Ἄλλο· σιδίων νεαρ-
τοῦ φλοιοῦ λεάνας μεθ' ὕδατος προστίθει· Ἄλλο· σιδίων
μετὰ β' κηκίδων μετὰ α' λείως ἀνάπλαττε βαλάνια
μικρὰ καὶ προστίθει μετὰ τὴν λῆξιν τῶν καταμηνίων·
Ἄλλο· κηκίδων < γ'· σμύρν. < α'· ἐν ἀλ. β' ἀνάπλ-
ασσε μετ' οἴνου ὀροβιαῖα μεγέθη καὶ ξήραινε ἐν σκιᾷ· πρὸ
τῆς συνουσίας δίδου προστίθεσθαι ἐν πτερῷ· Ἄλλο·
ἰταλίδων σαρκὸς λείας μετὰ νίτρου προστίθει· ἢ λούσθω
νίτρῳ μετ' αὐτὸ προστίθει· Ἄλλο· κυτίνων κη-
κίδων ἀνὰ < β'· ἀψινθίου < α'· λειώσας ἀναλάμβανε κε-
δρίᾳ καὶ ἀνάπλαττε κριθῆς μεγέθη· καὶ προστίθει μετὰ τὴν
λῆξιν τῶν καταμηνίων διδοὺς ἐφ' ἡμέρας β' καὶ μενέτω ἄλ-
λην μίαν ἡμέραν· καὶ οὕτως εἰ βούλεται ἀνδρὶ ὁμιλείτω·
πρὶν δὲ μή· δεῖ δὲ ἀσφαλῶς ἐχέτω τῆς πολλῆς πείρας
μαρτυρούμενον· Πόματα· πινόμενα κωλύ-
ει σύλληψιν ὀπὸς κυρηναϊκὸς ὅσον ἐρεβίνθου μέγεθος
μετὰ κυάθων β' κράματος· δίδοναι δὲ τοῦτο ἀπὸ
τοῦ μηνὸς κινεῖ καὶ τὸ καταμήνιον· Ἄλλο· ὀποῦ
κυρηναϊκοῦ ὀποπάνακος· πηγάνου φύλλων ἴσον ἑκάστου
λείως ἀνάπλαττε καὶ ... ξηρά, δίδου κατὰ
κυάμου μέγεθος καὶ καταρροφείτω οἴνου κεκραμένου·
κινεῖ τὰ καταμήνια· Ἄλλο· ἀλόης < α'· λευκοΐου
σπέρματος τριώβολ· σμύρν. < γ'· ... κόκκ. ... δίδου μετ'
οἴνου, τὸ ὅλον μερίσας εἰς δόσεις γ'· δίδου δὲ μετὰ τὴν λῆξιν τῶν
καταμηνίων διδούς· Ἀτόκιον δέ ἐστι καὶ τὸ τῶν χαλκέων ὕδωρ
ἐν ᾧ ὁ σίδηρος ἀποσβέννυται συνεχῶς πινόμενον· μάλιστα
μετὰ τὴν λῆξιν τῶν καταμηνίων διδούς· Ἄλλο· λευκῆς τοῦ
δένδρου φλοιοῦ ῥίζης < α'· μεθ' ὕδατος κυάθ. τοῦ ... ἀφρόδισ-

ὅση

οὐ συνεργεῖ ἐν τῷ πίνειν· ἀποβρεχομένου τοῦ μηνός, δός·

## Περίαπτα· Ἀσύλληπτον.

ἧπαρ γαλῆς ἐν σωληνίῳ εἰς τὸν ἀριστερὸν πόδα· ἢ τοὺς ὄρχεις αὐτοῦ τοῦ ζώου ἐν σωληνίῳ περὶ τὸν ὀμφαλὸν ῥαφέντα. Ἄλλο· στέαρ λεοντέας μετὰ [illegible] ἐν χυτριδίῳ [illegible] φορείτω· ἐν [illegible] γαρ [illegible]· ἢ τὰ [illegible] μετὰ [illegible] ἐν [illegible]· ἢ κυτίνων ῥόας καὶ σιδίων καὶ κηκίδων καὶ ὄμφακος ἀνὰ < β΄· [illegible] < α΄· ἀνάλαβε δὲ κεδρίᾳ καὶ ποιῶν κολλύρια μεγέθει [illegible] προστιθέτω μετὰ ἄφεδρον ἡμέρας β΄ καὶ οὐ συλλήψεται. Ἄλλο ἀτόκιον· ὅσους χρόνους βούλεται μένειν αὐτὴν ἀσύλληπτον, τοσούτους κόκκους κισσοῦ μέλανος μετὰ ἄφεδρον δός· εἰς [illegible]· ἢ [illegible] πρὶν εἰς τὴν γῆν πεσεῖν [illegible] βολ[illegible] ἀγρίων [illegible] γάλακτι ὄνου μετὰ σμύρνης· ἀλεύρου [illegible] ἑνὸς κόκκου κισσοῦ μέλανος ἢ τῶν κορύμβων· καὶ ἐνδήσας λαγωοῦ ἢ ἡμιόνου δέρματι, ἢ ἀπὸ [illegible] φορείτω· [illegible] δὲ [illegible] σύνολον [illegible]· ἢ χαλκηδόνιον [illegible] ψυχρῷ μετὰ ἄφεδρον· Ἄλλο· [illegible] φλοιοῦ τῆς ἰτέας [illegible] ἀπὸ τὸ πικρόν. Ἄλλο· ὀδόντα παιδὸς πρῶτον [illegible] μὴ [illegible], φορείτω ἡ γυνὴ ἐν δακτυλιδίῳ· ἢ τὸν ἐκ λατομίου [illegible]. Ἄλλο· ὁ [illegible] χρὴ [illegible] ἢ σιδίοις ἢ κηκῖσι μετὰ ὄξους [illegible]· ἅλμη [illegible] καὶ [illegible]· δεῖ δὲ ὡς [illegible] πάντα βοηθήματα ἀσύλληπτα· ποιοῦσι δὲ καὶ ὄρχεις [illegible] ἡμιόνου κεκαυμένοι καὶ μετὰ [illegible] τος ἰτέας πινόμενοι·

## Φθόρια Ἀσπασίας. Κεφάλ. λθ΄.

Εἰ δὲ [illegible] ἢ πρὸς τὸ συλλαβεῖν [illegible] γυνὴ συλλάβῃ, τὸ μὲν πρῶτον ἕως ἡμερῶν τριάκοντα ἐναντία τοῖς ἔμπροσθεν εἰρημένοις ἐν τῇ [illegible] τῆς κυοφορούσης, προσάγειν χρή· [illegible] σφοδρότερον κινεῖσθαι καὶ πηδᾶν καὶ βαστάζειν τὰ [illegible] δυνάμενα βάρη· [illegible] δὲ διουρητικοῖς κεχρῆσθαι τοῖς [illegible] καὶ τὰ [illegible] κινεῖν καὶ τὴν [illegible] καὶ κλύζειν [illegible] κλύσμασι· [illegible] τὸ [illegible] καὶ σφονδύλιον καὶ ὀσφὺν ἐν λουτρῷ [illegible] καὶ [illegible] χρονίζειν [illegible] ἐμβάσει· καὶ [illegible] εἰς ἀφέψημα λινοσπέρμου ἀλθαίας· ἀρτεμισίας καὶ [illegible]

[illegible]

λίζει ἐλαίῳ παλαιῷ καθ' ἰδίαν, καὶ μετὰ πηγάνου χαλ-
κοῦ καὶ μέλιτος κἂν ἐπιμένῃ, καταπλασσέτω τὸ ὑποχόν-
δριον καὶ τὴν ὀσφὺν ἑψημένῳ ἀλεύρῳ μετὰ χολῆς ταυρείας καὶ
καὶ τοῖς προειρημένοις ἐπιθέμασι χρήσθω ἃ καὶ ἐκτί-
θεται. Ἐπίθεμα φθόριον. Κυκλαμίνου γα-
στρίου ἀρτεμισίας ἀνὰ < ε. ἀφρονίτρου κόκκου κνιδίου
ἀνὰ < ι. νίτρου < η. σικύου ἀγρίου ῥίζης < ε. ὀποπάνακος
< α. θέρμων πικρῶν, χελιδονίου ῥίζης, λευκοΐου σπέρμα-
τος ἢ τῆς ῥίζης ἀνὰ < ς. κηροῦ ἐλαίου τὸ ἀρκοῦν εἰς τὸ
ἐμπλαστὸν ποιῆσαι τὸ φάρμακον. περιχρίειν δὲ τὸ
ὑπογάστριον ἀφεψήματι ἀρτεμισίας ἐπιτιθέναι ἐπιτι-
θέναι δὲ καὶ κατὰ τῆς ὀσφύος. ἐπικειμένου δὲ τοῦ ἐπιθέματος,
δίδου ἐντιθέναι τῷ κόλπῳ ἰσχάδα μετὰ νίτρου ἢ τὸ παρα-
πλήσιον. ἢ διαχριέσθω κεδρίᾳ μετ' ἐλαίου παλαιοῦ.
Ἄλλο ἁπλοῦν δὲ ἔστι δόκιμον. Κυπαρίσσου φύλλα
ὠμὰ λεανθέντα καὶ ἀπὸ λύτρου καταπλασσόμενα τῇ γα-
στρὶ πρὸς κοίλην. μενέτω δ' ὑπτία νυχθήμερον ὅλον κειμένη.
Ἄλλο ἀκίνδυνον. Ὀποπάνακα ὡς κολλύριον ποι-
ήσας ἔνθες. ἢ σκορόδων λέπη καὶ τρίχας ἀνδρώας ὑπο-
θυμία. Μὴ διαλυομένου δὲ πρὸς τοῦτον τοῦ σπέρματος,
ἐπὶ τὰ δραστικώτερα τῶν φθορίων δεῖ προβαίνειν μὴ ὄν-
τος ἐκ. κινδυνώδης γὰρ ὅτι πᾶσα ἐμβρύου φθορὰ μά-
λιστα, ὅταν ἰσχυρὰ τὰ σώματα ἡ γυνὴ τύχῃ καὶ σκληροτέραν
καὶ πυκνοτέραν τὴν μήτραν ἔχουσα. Διὸ φυλάσσεσθαι
μὲν χρὴ τὸν δεύτερον μῆνα καὶ τὸν γ΄ καὶ τὸν δ΄ τινὰ φυσι-
κὸν οὐ λόγον δυσαρεστησίαι καὶ ναυτίαι καὶ πρὸς τὸ νο-
σεῖν ἐπιτηδειότητες κατὰ τὸ πλεῖστον ἐν τοῖς ἀρτίοις γίνον-
ται μησί. αἱρεῖσθαι δὲ ἕνα μόνον τὸν τοῦ τρίτου μηνός.
μήτε δὲ πρότερον μήθ' ὕστερον. τὴν δὲ μέλλουσαν φθείρειν
πρὸ ἡμερῶν τινῶν ὀλίγῃ χρήσθω τροφῇ. λουτροῖς τε
συνεχέσι καὶ πᾶσι τοῖς μαλακτικοῖς. καὶ οἴνου ἀπεχέσθω
εἶτα φλεβοτομεῖν καὶ πλεῖον ἀφαιρεῖν. γυνὴ γὰρ ἐν γαστρὶ
ἔχουσα καὶ φλεβοτομηθεῖσα ἐκτιτρώσκει φησὶν Ἱππο-
κράτης. εἶτα μετὰ β΄ ἢ γ΄ ἡμέρας ἐπιμένουσι ἐμέσασα ἀπὸ
δείπνου, λαμβανέτω νῆστις λινοζώστεως καὶ μηλέας φύλλα
ἑφθὰ μετ' ἐλαίου καὶ γάρου ἠρτυμένα καὶ ἐπιρροφείτω
τὸν ζωμόν. πινέτω καὶ ἀσάρου μετὰ ὑδρομέλιτος < γ. ἢ
λευκοΐου σπέρματος < α. ἢ ἀρτεμισίας. ἢ δικτάμνου.
ἢ γεντιανῆς ἢ κασσίας ἀνὰ < α. ἢ ἀμμωνιακοῦ θυμιάματος μετὰ ὑ-
δρομέλιτος < η. ἢ δαφνίδων ... μετὰ ὑδρομέλιτος. ἢ θύμου
κορύμβων

κορύμβων < γ. ποιεῖ καὶ λάσαρος ἀπὸ < β. μετ' οἴνου
γάρου λευκοῦ μετὰ τὸ λουτρὸν ἐψημένα μικρόν, ὡς ὥραν μίαν
καὶ κοιμηθείσης τῆς γυναικὸς καὶ ἀναστάσης, πινομένη
κοτύλη μία· καὶ διακινήσασα ὀλίγον, καὶ κοιμάσθω
ἕως ἀλεκτροφωνίας· ἢ γοῦν ὥρας ζ· καὶ ἐξυπνισθείσῃ δίδου
τὸ αὐτὸ μέτρον· καὶ διακινείσθω ὡσαύτως, καὶ κοιμάσθω
καὶ πάλιν μετὰ ὥρας γ. ἐξυπνισθείσῃ δίδου ὡσαύτως· καὶ
οὕτως ἀκινδύνως ἐκβάλλει· τοῦτο καὶ τριημέρια καὶ
τεσσαρέων ἡμερῶν ἐν σχολῇ τάξει ἄνω μεθοδευθείσης καὶ κοι-
μηθείσης τῆς γυναικὸς, ἢ ἐν νυκτὶ δραστικωτέρου γενομένου.
Ἄλλο θαυμάσιον. χολῆς ταυρείας ψυγείσης ἀναλύ-
σας λεπτὸν ὑπὲρ καρποῦ μίξας εἰς οἶνον εὐώδη πρόσφερε·
ταῦτα καὶ τὰ θνησιμαῖα τῶν ἐμβρύων ἐκβάλλει. ἐπεὶ μὲν
δύο ὑπὸ τούτων ἡ φθορὰ τοῦ συνειλημμένου γίνεται· εἰ δὲ
μήτε μοχλευθήσεται διὰ τῶν ὑπογεγραμμένων. δεῖ δὲ πρὸ
τῶν πομάτων καὶ τῶν ὑστέρᾳ προστιθεμένων φθορίων, πταρμι-
κῶν προσάγοντα τὰς συγκρίσεις τινὰ τῶν δραστικωτέρων παρ-
μὴ κινούντων. πεσσὸς ἐστὶ φθόριος ἀσφαλὴς ὁ τοιοῦτος.
ἴρεως ἰλλυρικῆς κόκκ. κνιδίου ἀνὰ < α. ἐν ἀλ. ... α. τῆς
ἰνδικῆς < α. μετὰ στέατος καὶ ῥοδίνου καὶ κυπρίνου. ἴσον ἀναλ-
ηφθέντων προσαναλαμβανομένη προστιθέσθω καὶ διακρατείσθω
δι' ὅλης νυκτός. ἕωθεν δ' ἐγκαθιζέσθω εἰς ἀφέψημα
τήλεως καὶ ἀρτεμισίας· καὶ εἰ μὴ ὑπακούοι, ἔστω ὑποκ-
αθίσαι. Ἄλλο. λευκοΐου σπέρματος νίτρ. ἀψινθ.
ἀνὰ < α. σμύρν. < α. προστίθει ἐν ἐρίῳ μετ' οἴνου.
Ἄλλο. πηγάνου φύλλ. σμύρν. ἀνὰ < β. ἐν ἀλ. ... α.
δαφνίδ. < β. προστίθει μετ' οἴνου. Ἄλλο κολλύ-
ριον ἀλύπως ἐκβάλλον τὰ ἔμβρυα. καρδαμώμ. σπέρμα-
τος λευκοΐου. σμύρν. ἀψινθ. ἀνὰ < α. ἐν ἀλ. ... α. ὕδ-
ατι ἀναπλάσας κολλύριον ἐπὶ μήκει δακτύλων ς. διὰ τὸ τὸ
μῆκος τοῦ αἰδοίου τῆς μήτρας δακτύλων ς. εἶναι, προστιθέσθω
λελουμένη· πινέτω δὲ ἐν τῷ προστιθέναι γλήχωνος ἀφέ-
ψημα. Ἄλλο δόκιμον. ἀβρότονον ὅσον βούλει ἑψή-
σας σὺν ὕδατι ἕως ὅλον τὸ ὕδωρ ἀναλωθῇ· καὶ ἐκπιέσας
στρώσας ὑποκάτω ... μέχρι τὸ ... ὑγρὰν σύστασιν ἔχον·
τοῦτο ἐρίῳ ἀναλαβὼν δίδου προστίθεσθαι. χρῶ δὲ καὶ τοῖς
πρὸς τὰ ἐπεχόμενα ἔμμηνα ἀναγραφησομένοις βοηθή-
μασι καὶ τοῖς ἐπιθέμασι. φασὶ δὲ καὶ κόπρον περιστερᾶς
θυμιωμένην ἐκβάλλειν. κόκκοι δὲ ἀγριοσικύου εἰς φο-
ρὰς ὑποδεχθέντες αὐτόματοι ἐκθλίβουσιν ἵνα τῆς μὴ
θίγωσι, μέγα φθόριον περιαπτόμενοι.

Τίνα προηγεῖται σημεῖα μελλούσης γίνεσθαι φθορᾶς
ἀπαρασίας. Κεφάλαιον Κ.

μελλούσης

Μελλούσης δὲ γίνεσθαι τῆς τοῦ ἐμβρύου φθορᾶς, προηγοῦνται
κενώσεις ὑδατώδεις· εἶτα ἰχωρώδεις ἢ ὕφαιμοι· ὕστερον δὲ οἷον
ἀποπλύματα κρεῶν· ὅταν δὲ πρὸς τῇ λύσει ᾖ τὸ πάθος, αἷμα καθα-
ρόν· ἀποπίπτουσι δὲ θρόμβοι· εἶτα αὐτοῦ τοῦ ἐμβρύου ἔκκρισις, ἢ
τετυπωμένου ἢ ἀδιατυπώτου· ταῖς δὲ πλείσταις βάρος καὶ πόνος
ὀσφύος, ἰσχίων, ἤτοι κεφαλῆς καὶ ὀφθαλμῶν· στομάχου δῆξις,
περίψυξις, λειποθυμία, φρικώδης πυρετός· ἐνίαις καὶ σπασμοὶ
ἐπιγίνονται, ὅτι ἀποθνῄσκουσιν ἢ ἐπιληπτικοί· ταῦτα δὲ μάλι-
στα παρέπεται ταῖς ἐκ φαρμακείας φθειρούσαις· ταῖς δὲ
χωρίς τινος φαρμακείας ἐκτιτρωσκούσαις προηγεῖται καθώς
φησιν Ἱπποκράτης, ἡ παράλογος μαστῶν ἰσχνότης· εἰ δὲ ἀπο-
ἰσχνουμένων τῶν μαστῶν καὶ ἰσχναίνοιτο, δίδυμα κυούσης, τὸ ἕτερον
δηλονότι τῶν ἐμβρύων ἐξαμβλώσκεται· καὶ εἰ ὁ μὲν δεξι-
ός, πάντως ἄρρεν προεκβάλλεται· εἰ δὲ ὁ λαιός, θῆλυ· μη-
ρῶν ψύξις· βάρος ἐγκείμενον ὀσφύϊ καὶ μηροῖς· πρὸς δὲ
τὸ φθείρειν ἀλυπότερον διατίθενται, αἱ ὑγιεινότερον ἔχουσαι τὸ
σῶμα καὶ ἡ κοιλία φύσει ἐστὶ λυτή, καὶ αἷς κατὰ φύσιν ὑγρὰν τὴν ὑπο-
κάθαρσιν· καὶ τὸ πολλάκις ἐκτετρωκέναι ἀλύπως μετὰ βρέ-
φη· καὶ αἱ προβεβηκυῖαι ταῖς ἡλικίαις· καὶ αἱ ὀλίγαιμοι καὶ
ὑπομυξώδεις.

## Ὅπως δεῖ συνεργεῖν τῇ ἀποβολῇ τοῦ φθειρομένου ἐμβρύου. Κεφάλαιον κα'.

Δεῖ μὲν τὸ ἀπολυθὲν τὸ ἔμβρυον εἰ ὀκέλλοιτο ἐν τραχήλῳ ὑστέρας, ἐγχυματί-
ζειν κυπρίνῳ συνεστηκυῖαν ἔχοντι τερεβινθίνην· καὶ ὅλον σῶμα, μάλιστα περὶ
τὴν ὑστέραν θερμαίνειν· καὶ μετὰ τὴν ἔγχυσιν, αὐτὴν τὴν διὰ κυπρίνου ἐᾶν οὐ ἐγχυμ-
[illegible] εἰ δὲ μὴ ὑπακούοι, ἐγκαθίζειν εἰς ἀφέψημα μαλάχης,
ἀλθαίας καὶ θερμοὺς κινεῖν· καὶ ὑποθυμιᾶν ῥητίνην ξηράν, ἄσφαλτον, [illegible]
χαλβάνην· [illegible] ξηρούς· [illegible] καὶ τοιαῦτα προστιθέναι εἰ μὴ
φλεγμονή [illegible] φλεγμονῆς [illegible] δυ-
ναμένοις ἐγκαθίσματα ἀρκεῖ· εἰ δὲ διὰ τὴν μύσιν ὑστέρας χωρὶς φλεγμο-
νῆς [illegible] ἐγκατέχοιτο τὸ ἔμβρυον, καὶ τοῖς [illegible] ἢ πυρετοῖς
[illegible] ὕστερον [illegible]
[illegible] ῥίζη αὐτῆς [illegible] τερεβινθίνη [illegible]
μάλιστα· ἐκκριθέντος τοῦ ἐμβρύου εἰ μὴ ἀπολελυμένον εἴη τὸ χορίον, [illegible]
ἀποσπᾶν βίᾳ· οὐδὲ μὴν ἀποκόπτειν ὀμφαλὸν καὶ [illegible] τὸ χο-
ρίον· πνιγμοὶ γὰρ καὶ ἔσχατοι κίνδυνοι ἐπακολουθοῦσι τούτου γινομένου·
ἀλλ' εἰ χρονίζοι, ἀποκόψαι δεῖ τὸν ὀμφαλὸν καὶ προσδῆσαι αὐτὸν
τῷ μηρῷ γυναικός· καὶ πάντα ποιεῖν πρὸς τὴν ἔκπτωσιν τοῦ χορίου καθὼς
ἐν τῷ περὶ ἐμβρυοτομίας τόπῳ δηλωθήσεται.

## Περὶ τῶν δίμηνα ἢ τρίμηνα φθειρουσῶν. Κεφάλ. κβ'.

Ὁκόσαι μετρίως ἔχουσαι τὸ σῶμα ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα
ἄτερ φανερῆς προφάσιος, ταύτῃσιν αἱ κοτυληδόνες μύξης εἰσὶ
μεσταί· καὶ οὐ δύνανται κρατέειν τὸ ἔμβρυον, ἀλλ' ἀπορρήγνυνται,
φησὶν Ἱπποκράτης. θεραπεύειν οὖν χρὴ ταύτας πρὶν μὲν τὸ σῶμα
καθαίρειν

καθαίρουσι φλέγματα μετρίοις φαρμάκοις. ὁ γὰρ πρὶν κενῶσαι τὸ πᾶν σῶμα καὶ κωλύσαι τὸ φερόμενον ἐπὶ χεῖρον ῥεῦμα, εὐθὺς ἐξ αὐτῆς ἐπὶ τῶν τόπων κενώσας, ὅμοιός ἐστι τῷ ὕδωρ ἀπὸ φρέατος ἀντλοῦντι ἀέναον ἔχοντος τὴν χορηγουμένου τὴν ἀνάβλυσιν. μετὰ δὲ τὴν παντὸς σώματος κένωσιν τὴν ὑστέραν χρὴ κενοῦν τοῖς φλεγμαγωγοῖς ὁμοίως πεσσοῖς τοῖς διὰ κολοκυνθίδος σκευαζομένοις. οἱ τοίνυν ἀναγραφήσονται πρὸς τὰς μὴ συλλαμβανούσας δι' ὑγρότητα τὰ πλεῖστα. ἄριστον δὲ κλύσμα καὶ καθαρτικὸν ὑστέρας πρὸς ἐκμοχλείαν φλέγματος, τοῦτον. Κολοκυνθίδα λαβὼν εὐμεγέθη καὶ τὴν κορυφὴν τεμὼν καὶ κενώσας ὅλον τὸ σπέρμα καὶ βαλὼν ἐπὶ τὸν τόπον τῆς ἐντεριώνης, ἐλαίῳ ἰρίνῳ αὐτὴν πλήρωσον. καὶ τῷ ἐξ αὐτῆς ἐπιπωμασθεῖσα πώματι σκεπαστῷ, ἔα νυχθήμερον. εἶτα ἐπίθες τὴν κολοκυνθίδα ἐπὶ θερμοσποδιὰν ἕψειν ἐπὶ πολύ. εἶτα διὰ ῥάκους ἐκθλιμμάτιζε διὰ μητρεγχύτου τὴν μήτραν τῷ ἐλαίῳ χλιαρῷ, μηδὲν καταλιμπανόντων ἐξ αὐτοῦ. τοῦτο πολλὰς ἀτέκνους τεκεῖν κατειργάσατο, ἀποξύσαν τὸ ἐκ βάθους τὸ παρεμποδίζον γινόμενον τῇ κυήσει φλέγμα. δίαιταν δὲ θερμαινουσῶν, καὶ ξηραινουσῶν ἐκκρίνειν μετὰ γυμνασίων συμμέτρων καὶ τρίψεων. παραφυλακτέον καὶ πᾶσαν ψύξιν. ταῖς δὲ κατὰ φυσικὴν ἀτονίαν τῆς καθεκτικῆς ἐκφθειρούσαις φυσικῶς, βοηθεῖ ἐχῖνος θαλάσσιος τὸ δέρμα κεκαυμένον, ὕδατι ἢ οἴνῳ λειωθὲν καὶ καταχριόμενον τὸ στόμιον τοῦ γυναικείου καὶ περιζομένου. ποιεῖ καὶ ὁ θαλάσσιος καὶ τὰ μύδια ξύλα κεκαυμένα μύρτα μετ' οἴνου ἢ ὀξυμέλιτος ἢ σὺν οἴνου χριόμενα. τάδε διὰ μυρσίνης ἢ βάτου καὶ ὁμοίων ζέματα ὑπαντλητέον. τὰ δ' ἔμβρυα καὶ τὰς ἐγκύους ἀβλαβεῖς φυλάττει καὶ μήτρας ἐκ τοῦ μὴ ὀλισθαίνειν, λίθος ἀετίτης κατὰ τὸ στῆθος φορούμενος· καὶ ὁ ἔνδον ἄρτου εὑρισκόμενος εἴτε κόχλος ἀριστερῷ βραχίονι φορούμενος. Ἐμβρύων κατοχή. Ναρδώνυχα λίθον ἀπάρτισον λίνῳ καὶ φορείτω περὶ τὸ ἦτρον ἡ κύουσα ἄχρι καιροῦ ὠδῖνος. ἀφαιρείσθω δ' ὅταν ὁ τόκος ἐπιστῇ. Ἄλλο. λαβὼν λίθον εὑρισκόμενον ἐν μήτρᾳ ἢ καρδίᾳ ἐλάφου ἢ ἐντέροις περίαπτε. ἄριστον γάρ ἐστι βοήθημα κατοχῆς ἐμβρύων. τοῦτον γὰρ ἔλαφοι καταπίνουσι πρὸς ἀσφάλειαν τῶν ἐμβρύων ἢ λίθου τοῦ εἰς φυτὸν ἀποσφηνωθέντος μέρος.

## Κατὰ πόσους τρόπους γίνεται δυστοκία καὶ τῶν παρὰ φύσιν γεννωμένων. Ἀσπασίας. Κεφ. κβ´.

Δυστοκία γίνεται κατὰ διαφόρους τρόπους· ἢ γὰρ παρὰ τὸ τὴν τίκτουσαν τῇ ψυχῇ ἢ σώματι ἢ ἀμφοτέροις ἀσθενῆ ὑπάρχειν ἢ ἄλλως· ἢ παρὰ τὸ μικρὰν ἔχειν μήτραν καὶ στενόστομον· ὡς ἐπὶ τῶν διὰ μικρομεγέθεις τὴν ἡλικίαν, καὶ τὴν μήτραν ἀναλογοῦσαν

τοῖς

τοῖς λοιποῖς μέρεσι κέκλωνται. γίνεται δὲ δυστοκία καὶ
παρὰ τὸ σχῆμα ὃν ἔχει τὸν τράχηλον ἡ μήτρα. ἢ παρὰ τὸ
σάρκα παρὰ φύσιν ἐπιπεφυκέναι τῷ τραχήλῳ ἢ τῷ τῆς
ὑστέρας στόματι. ἢ παρὰ τὸ φλεγμονὴν ἢ ἀπόστημα ἢ σκίρρ-
ον ἔχειν. ἢ παρὰ τὸ ἰσχυρὸν εἶναι τὸν τοῦ περιρρήγματος χιτῶνα,
μὴ ἰσχύειν τὸ ἔμβρυον, τοῦτον ἀπορρῆξαι. ἢ ἐκκριθέντος τοῦ
ἠθροισμένου ἐν τῇ μήτρᾳ ὑγροῦ πρὸ τοῦ δέοντος καιροῦ, αὐχμη-
ροὶ καὶ κατάξηροι μένουσιν οἱ τόποι κατ' αὐτὸν τὸν χρόνον τῆς ἀπο-
κυούσης ὅτε χρεία τούτου τοῦ ὑγροῦ· ὀλισθηρὰν καὶ εὐόλισθον δι-
έξοδον παρέχοντος τῷ ἐμβρύῳ ἐπὶ τοῦ δέοντος καιροῦ. γίνεται
δυστοκία καὶ παρὰ τὸ λίθον ἔχειν ἐν τῇ κύστει τὴν τίκτουσαν. καὶ τὴν
θλῖψιν τοῦ τραχήλου τῆς ὑστέρας δυστοκία γίνεται. ἢ παρὰ τὸ
κατάξηρον καὶ κατεσπασμένον εἶναι τὴν τίκτουσαν. ἔτι δὲ δυστοκ-
ία γίνεται, τῆς ἥβης ὀστῶν ἀλλήλοις συμπεφυκότων, ὡς
μὴ ἰσχύειν ἐν τῷ τόκῳ διάστασιν δέχεσθαι. καὶ γὰρ ἐπὶ γυναικῶν
τινῶν ὥσπερ ἐπὶ ἀνδρῶν κατὰ ἁρμονίαν συμπεφύκασι τά τε τῆς
ἥβης ὀστᾶ. ἀλλὰ σύνδεσμος ἰσχυρὸς ταῦτα πρὸς ἄλληλα
συνδεῖ. γίνεται δυστοκία καὶ παρὰ τὸ κοιλότερον εἶναι τὸν κατὰ
ὀσφὺν τόπον καὶ παραπίπτειν τὴν μήτραν. ἢ διὰ περιττωμάτων
πλῆθος ὑποκείμενον ἐν τῷ ἀπευθυσμένῳ ἢ ἐν κύστει. ἔνιαι δὲ διὰ
τὸ προβεβηκέναι τῇ ἡλικίᾳ ἀτονοῦσαι δυστοκοῦσιν. ἔνιαι
δὲ διὰ τὸ πρώτως τίκτειν καὶ ἀγωνιᾶν καὶ ἀπείρως ἔχειν σχη-
ματίζειν τὸ σῶμα. ἢ διὰ τὸ μήπω ἀδρυνθῆναι τὴν ἡλικίαν,
καὶ τὰς δυνάμεις ἀπολαβεῖν τῆς ἀκμῆς. ἀλλ' ἔτι μειρακιώδη
παιδικήν. Δυστοκία γίνεται καὶ παρὰ τὰ γεννώμενα. ἢ παρὰ
μέγα εἶναι ἔμβρυον. ἢ παρὰ τὸ μέρη τινὰ ὑπερμεγέθη ἔχειν.
οἷον κεφαλὴν ἢ θώρακα, ἢ κοιλίαν. ἢ παρὰ τὸ ἀσθενέστερ-
ον εἶναι καὶ μὴ ἰσχύειν τὸ ἔμβρυον συνεργεῖν τῇ ἰδίᾳ μητρὶ
ταῖς ἐξωστικαῖς αὐτοῦ κινήσεσιν. ἢ δικέφαλον εἶναι. ἢ
τρέπειν τὴν ἰδίαν πρόοδον. ἢ παρὰ τὸ δίδυμα εἶναι τὰ τικτό-
μενα καὶ ἀθρόως ἀμφότερα ἐρχόμενα ἐν τραχήλῳ μήτρας
σφηνοῦσθαι. ἢ παρὰ τὸ τεθνηκέναι ἔμβρυον, καὶ μὴ συνεργεῖν
τῇ ἀποτικτούσῃ. ἢ καὶ ἀποθανὸν διοιδηκέναι. ἢ παρὰ τὸ παρὰ φύσιν
ἐσχηματίσθαι. τὸ γὰρ κατὰ φύσιν σχῆμα τοῖς γεννωμένοις ἐπὶ
κεφαλήν ἐστι παρατεταμένων τῶν χειρῶν τοῖς μηροῖς καὶ εὐ-
θὺ φερομένου ἐμβρύου. τὸ δὲ παρὰ φύσιν, ἢ παρεγκεκλιμένης
ἐὰν ἡ κεφαλὴ εἰς δεξιὰ ἢ ἀριστερὰ μέρη τῆς μήτρας ἐκδίδωται.
ἢ ἡ μία χεὶρ, ἢ αἱ δύο ἔξω ἐκπίπτουσι. τὰ δὲ σκέλη ἔνδον
διεστήκασιν ἀπ' ἀλλήλων. τῶν δὲ λοιπῶν σχημάτων ἄμεινον
τὸ ἐπὶ πόδας ἐστί, μάλιστα δ' ὅταν ἐπ' εὐθείας φέρηται τῶν χειρῶν
παρὰ τοὺς μηροὺς παρατεταμένων. τὰ δὲ ἢ ἐν τινι τῶν σχημάτων

περιβε-

προβεβληκότα· τὸ δὲ ἔμβρυον ἔνδον ἔχοντα. ἢ διπλούμενα·
ἢ ἐν ἑδράσματί τινι μετὰ τῆς ὑστέρας διορθώσασα χειρί· καὶ τὰς
χεῖρας ἀνατεταμένας ἔχοντα. τῶν δὲ λοιπῶν σχηματισμῶν,
ἀμείνων ἐστὶν ὁ πλάγιος. τρεῖς γάρ εἰσι πλάγιοι σχηματισμοί·
ὅτε ἐπὶ πλευρὰν ὄπισθεν· καὶ ὁ ἐπὶ κοιλίαν. ἀμείνων δὲ ὁ
ἐπὶ πλευράν. τότε γὰρ δίδωσι τῇ χειρὶ τῆς μαίας εἰς τὸ
μετασχηματίσαι, ἢ ἐπὶ κεφαλὴν ἢ ἐπὶ πόδας. τὰ δὲ διπλού-
μενα φερόμενα, χείριστα πάντων σχηματισμῶν ἐστι· καὶ τούτων
ὅσα ἐπὶ τὰ ἰσχία φέρεται. τριχῶς γὰρ καὶ τὰ διπλούμενα
σχηματίζεται· ἢ γὰρ πρὸς τῷ στόματι τῆς ὑστέρας τὰ σκέ-
λη καὶ ἡ κεφαλὴ ὑπάρχει, ἢ τὸ ὑπογάστριον ἢ τὰ ἰσχία. ἀμεί-
νον δὲ τὴν κοιλίαν ἔχειν πρὸς τὸ στόμα τῆς ὑστέρας. διπλουμένων
γὰρ ἡμῶν τὸ ὑπογάστριον καὶ κοιμισθέντα τὰ ἐν βάθει ὄντα, συμ-
πτώσεως σώματος, εὐχερὴς γίνεται ὁ μετασχηματισμός,
ἢ παρὰ τὸ χορίον μὴ ἀποσπώμενον διὰ παχύτητα δυστοκία
γίνεται· ἢ καὶ πρὸ τοῦ δέοντος ἀποσπώμενον διὰ λεπτότητα.
παρὰ δὲ τὸ ἐκτὸς δυστοκία γίνεται, ἢ τῷ ὑπερψύχειν καὶ
χειμερινὴν εἶναι τὴν ὥραν καὶ διὰ τοῦτο πυκνοῦσθαι τοὺς πόρους.
ἢ τῷ ὑπερθερμαίνειν καὶ ἐκλυτικήν. ἢ ἔκ τινος τύχης ἐκ τούτου τι
κατάστημα τῇ τικτούσῃ ἐμποιηθέν. καὶ ταῦτα πάντα ἐστὶ
νοῆσαι δεῖ τὸν ἰατρὸν ἢ τὴν μαῖαν ἐπὶ δυστοκούσης γυναικός·
καὶ μετὰ τῆς οἰκείας ἐπιφέρειν τὴν χειρουργίαν. μηδὲ ταράσσειν ἐπὶ πολὺ
συγχωρεῖν τῇ μαίᾳ διασπαράττειν τὴν μήτραν. εἰ μὲν οὖν διὰ
τὸ κοίλην ἔχειν ὀσφὺν τὴν τίκτουσαν ἡ δυστοκία γένοιτο
σχηματίζειν αὐτὴν χρὴ ἐπὶ γόνατα· ἵνα ὑστέρα μεταπεσοῦσα
εἰς τὸν κατὰ τὸ ὑπογάστριον τόπον κατ' εὐθὺ σχηματισθῇ τῷ τρα-
χήλῳ. ὁμοίως καὶ τὰς παχυσάρκους καὶ μετεωροφερεῖς σχηματιστέον.
εἰ δὲ τὸ στόμιον τῆς ὑστέρας μεμυκὸς εἴη, λιπαινομένη μαλάσ-
σειν καὶ ἀναχαλᾶν. καὶ εἰ διά τινα στέγνωσιν ἢ νάρκην ἢ φλεγμονὴν    στενώσει
ἡ δυστοκία ἐστί· τοῖς χαλαστικοῖς συμβουλεύειν, διά τε ἐγκαθισμάτων
θερμῶν καὶ καταπλασμάτων καὶ τοῦ ἀέρος τοῦ οἴκου θερμαινομένου.
καὶ τὴν δι' ἐλαίων θερμῶν καταιονήσει τὴν αἴσθησιν καὶ τὴν
δύναμιν. ἐγχυματισμῶν καὶ προσεπιλήψεων. ἀλλὰ καὶ διὰ τῶν
πλαστικῶν συγκεντῶν· καὶ τοὺς ἀπὸ βαλανείων χαλαστικοὺς
παραληπτέον, εἰ μὴ πυρετός, ἤ τι ἕτερον κωλύοι, καὶ ἐν τόπῳ
θερμοτέρῳ διὰ φορείου κινεῖν. τινὲς καὶ κατασεισμοὺς παραλαμβάνουσιν
ἐπὶ τούτων στενῶν· τὴν δὲ δι' ἐκλύσεις ἄτονον εἰς τὴν ἀπόληξιν
τοῖς πυκνοῦσι καὶ συστύφουσι μάλιστα καὶ τονοῦσι· οἷον διὰ μυρ-
σίνης ἢ σικύων ἀφεψήματος καὶ ῥοιῶν καὶ ῥόδων ἐπιρραντίσμασι καὶ
ἐγκαθίσμασι ῥωστέον. καὶ τοῖς μετ' ὄξους ὀσφραντοῖς καὶ οἰνορρα-

νυ

νου ψυχροῦ ἀλείμματι· καὶ τὸ ὑποβάλλον παραχωρητέον·
τὸ δὲ ἐκ πολλοῦ τοῦ ἀστόνου ἐκ πολλοῦ διαστέλλειν· εἰ δὲ διὰ
τὸ παρὰ φύσιν σχῆμα τοῦ βρέφους ἐστὶν ἡ δυστοκία, εἰς τὸ
κατὰ φύσιν ἐπανακλιτέον ὡς οἷόν τε. καὶ εἰ ὑπόδεδυ ἡ χεῖρα προβέ-
βληκε, μὴ ἐπὶ ἀνθέλκειν διὰ τοῦ κώλου· μᾶλλον γὰρ ἐπισφη-
νοῦται ἢ ἔξαρθρον γίνεται ἢ ἀπορρήγνυται· ἀλλὰ τοῖς δακ-
τύλοις ἐξωθοῦντα κατὰ τοῦ ὤμου ἢ τοῦ ἰσχίου τοῦ ἐμβρύου, τὸ προ-
βεβλημένον μέρος ἀναθεῖν εἰς τὸν προσήκοντα τόπον· εἰ δὲ
καὶ μετὰ σφηνώσεως ὅλου τοῦ ἐμβρύου γένηται παρασχηματι-
σμός, δεῖ ἂν ἀναβιβάζειν αὐτὸ πρότερον ἀπὸ τοῦ στομίου τῆς
ὑστέρας μεθόδῳ· κἄπειτα λαβόμενον αὐτοῦ ἀπευθύνειν
ἐπὶ τὸ στόμιον. πάντα γὰρ δεῖ ποιεῖν ἠρέμα καὶ δι᾽ ἁφῆς καὶ
ἀπεριπλάστως, καταχυθέντα τοῖς τόποις συχνάς. ταῦτα
δὲ περὶ ζωοῦ μὲν τοῦ ἐμβρύου καὶ τελευτῆς καὶ ἀπάθειαν τῆς μήτρας
ἐστί. λίθου αἰτίου ὄντος τῆς δυστοκίας, διωθεῖν χρὴ τὸν λίθον
καθετῆρι, ἐκ τοῦ τραχήλου τῆς κύστεως. εἰ δὲ πεπληρωμένη
οὔρου ἡ κύστις εἴη, κενωτέον καὶ τὸ οὖρον διὰ τοῦ καθετῆρος.
εἰ δὲ ἐν τῷ ἀπευθυσμένῳ περιττώματα εἴη, κελεύειν κλυσ-
τέον. εἰ δὲ διὰ φλεγμονὴν ἢ ἕλκος ἢ οἴδημα ἢ σκληρίαν ἢ
τι παραπλήσιον δυστοκοῖεν, τῶν ἐνοχλούντων παθῶν ἐπιμε-
λετέον. εἰ δὲ διὰ σαρκὸς παρὰ φύσιν κατὰ τοῦ τραχήλου τῆς μήτρας
ἢ χιτῶνος παρὰ φύσιν, ὡς ἐπὶ τῶν ἀτρήτων γυναικῶν, ἀφαιρετέ-
ον τὰ παρεμποδῶν γινόμενα. εἰ δὲ ὁ προρρηγνύμενος χι-
τὼν στερεός ἐστι, διαιρετέον αὐτόν. ἐφ᾽ ὧν δὲ πρὸ τοῦ δέον-
τος καιροῦ διερραγέντος τοῦ περιέχοντος τὸ ὑγρὸν χιτῶνος,
ἐκκριθέντος, γέγονε τὸ ἠθροισμένον ὑγρὸν καὶ ξηρότεροι ἐμεῖναν
οἱ τόποι, ἐγχυματίζειν χρὴ ὠδ... μαλάχης ἢ τήλεως 1 τοῖς λοιποῖς
ἀφεψήματι διηθημένῳ· ἢ πτισάνης χυλῷ χλιαρῷ.
εἰ δὲ διὰ τὴν μικρότητα τῆς μήτρας γένοιτο· λιπαίνειν
τοὺς τόπους καὶ θάλπειν καὶ τοῖς δακτύλοις ἐπιδιιστᾶν.
τὸ στόμα τῆς μήτρας. βιαζομένου τε ἐκβάλλειν τὸ ἔμβρυον μὴ ὑπο-
χωροῦντος δὲ ὅλως, ἐμβρυοτομεῖν. τὸ αὐτὸ δὲ ποιητέον, καὶ
εἰ μέγα εἴη τὸ ἔμβρυον καὶ εἰ τέθνηκε. καταληψόμεθα δὲ
εἰ τέθνηκεν ἐκ τοῦ καλυπτομένου ὑποπίπτειν τῇ ἁφῇ τὸ
ἔμβρυον καὶ ἀκίνητον εἶναι. εἰ δὲ δύο ἔμβρυα ἢ καὶ τρία
ἅμα παρασφηνωθῇ τῷ τραχήλῳ τῆς μήτρας, ἀνωθεῖν προ-
σήκει τὰ ἄλλα ἐπὶ τὸ κύτος τῆς μήτρας· καὶ οὕτω προχωρί-
ζειν τὸ πρότερον. εἰ δὲ διὰ μέγεθος κεφαλῆς ἢ τοῦ
θώρακος ἢ τῆς κοιλίας ἡ δυστοκία γίνοιτο· πᾶσα ἀνάγκη
ἐμβρυοτομεῖν. καιρὸς δὲ τῆς εἰς τὸν δίφρον καθέδρας τῷ ὀχεῖ
ὅταν τοῦ στομίου ὄντος ἀνεῳγότος τῆς μήτρας, ὑποπέσῃ δακτύ-

λω καὶ παχεῖ ψιλῶν τὸ περίρρημα.

## Περὶ ἐμβρυουλκίας καὶ ἐμβρυοτομίας. Φιλουμένου. Κεφάλαιον κγ.

Προσήκει τὸν ἰατρὸν πρότερον ἐπὶ τούτων σημειοῦσθαι, εἴτε περιεστικῶς ἔχοιεν, εἴτε καὶ μή· καὶ εἴτε ἐγχειρητέον ἢ ἀποστατέον. αἱ μὲν οὖν ὀλεθρίως διακείμεναι καταφέρονται ληθαργωδῶς καὶ ἔμπυρετοί εἰσι καὶ σχεδὸν ἄφωνοι· κἂν ἀνακληθῶσι πρὸς τὰς ἐρωτήσεις ἀσθενῶς ἀποκρινόμεναι, πάλιν καταφέρονται· γίνονται δὲ καὶ συνέχονται σπασμωδῶς ἢ τρομώδεις· ὁ δὲ σφυγμὸς πυκνότατος καὶ ἀσθενέστατος καταλαμβάνεται· αἱ δὲ σωθησόμεναι οὐδὲν τούτων πάσχουσι. κατακλινέσθω ὑπτία ἐπὶ τῆς κλίνης ὑπτία καὶ μᾶλλον κατ' ὄρρους· τὰ δὲ σκέλη αὐτῆς ἐστηριγμένα καὶ διεστῶτα ἀπ' ἀλλήλων καὶ ἀνακεκαμμένα. διακρατείτωσαν γυναῖκες ἔμπειροι καὶ ἰσχυραὶ ἑκατέρωθεν· εἰ δὲ μὴ παρεῖεν, διά τινων δεσμῶν τῷ κλινιδίῳ τὸν θώρακα προσκαταλαμβανέτω τῆς γυναικός· ὥστε μὴ πρὸς τὰς τῶν ἐμβρυουλκῶν ἑλκύσεις ταῖς τε ἐπινεύσεσι καὶ ἀνανεύσεσιν ἀκολουθοῦν τὸ σῶμα σκεῖν, κάματον καὶ ἀθυμίαν ἐπιφέρει. ἀλλ' ὑπερειδόμενον συμβάλλοιτο πρὸς τὰς δυνάμεις· προσδιδόναι δὲ χρή τι τῶν ὅση ψωμοὺς β' ἢ γ' οἴνῳ βεβρεγμένους διὰ τὸ λειποθυμεῖν· καὶ συνεχῶς ἐν τῇ χειρουργίᾳ οἴνῳ τὸ πρόσωπον καταρραινέσθω· ὁ δὲ χειρουργὸς διὰ τῆς διόπτρας πρότερον κατανοείτω ἀκριβῶς τὸ τῆς δυστοκίας αἴτιον· οἷον ὄγκον ἢ ἐμφύσεις ἢ τυλώδεις ὑπεροχάς· ἢ ἕτερόν τι τῶν προειρημένων, ταῦτα τῷ ἀγκίστρῳ ἀναλαμβάνοντα ἀφαιρεῖν τῷ πολυποτόμῳ, καθὼς ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται· εἰ δὲ ὑμὴν ἐμφράττοι τὸ τῆς μήτρας στόμιον, καὶ τοῦτον διαιρεῖν, καθὼς ἐν τοῖς περὶ ἀτρήτων δηλωθήσεται· εἰ δὲ ὁ τοῦ περιρρήγματος χιτὼν στερεὸς εἴη, ἀναλαμβάνοντα αὐτὸν ἀγκίστρῳ εἰ ἐνδέχοιτο τὸ διαιρεῖν αὐτὸν τῷ σκολοπομαχαιρίῳ· ἢ τινι τῶν ὁμοίων· διαιρεθέντος δὲ τοῦ χιτῶνος, διαστέλλειν τοῖς δακτύλοις καὶ τὸ πᾶν αὐτάρκη ποιεῖν πρὸς τὴν ἔκθλιψιν τοῦ ἐμβρύου. τῆς δὲ κεφαλῆς τοῦ ἐμβρύου ἐσφηνωμένης, μετατρέπειν δεῖ ἐπὶ πόδας, καὶ οὕτως αὐτὸ κομίζεσθαι· ἰσχυρῶς δὲ ἐσφηνωμένης καὶ μηδ' εἰς τὸ βάθος ἀπωθεῖσθαι δυναμένης, καταπείρειν δεῖ τὸν τοῦ ἐμβρυουλκοῦ καμπτῆρα εἰς ἕνα τῶν ὀφθαλμῶν ἢ τὸ στόμα ἢ τὸν ἀνθερεῶνα καὶ ἐξέλκειν· καὶ εἰσάγειν δὲ τὸν ἐμβρυουλκὸν τῇ δεξιᾷ χειρὶ κατέχοντα· τὸν δὲ καμπτῆρα αὐτοῦ τοῖς δακτύλοις τοῖς ἀριστεροῖς ἐξερευνῶντα καὶ πράως συμφέροντα καὶ καταπείροντα ἐν τοῖς εἰρημένοις τόποις ἄχρι κενεμβατή-

σεως

ἢ πυρεκτικαί

ἢ τρομωδῶς

ἢ ἐπιτείνει

σῶμα· καὶ ἀντίθετον δὲ τοῦτο δεύτερον ἐμβρυουλκὸν
καταπείρειν· ὅπως ἰσόρροπος ἡ ὁλκὴ μὴ ἐπὶ θάτερον ἐκκλινὴς τῶν
μερῶν γένηται· καὶ ἀσφαλέστερος ἔσται. τοῦ ἑνὸς ἐξαίρ
αφαιροῦντας ὄργανον. ἐν τῇ δεξιᾷ καὶ ἀφιέντας τὸ ἔμβρυον. ἕλκ-
ειν δι' ὁμαλοῦς καὶ μὴ μόνον εἰς εὐθεῖαν, ἀλλὰ καὶ εἰς τὰ
πλάγια καὶ τὸν δάκτυλον λελιπασμένον καθιέναι μεταξὺ
τοῦ στομίου τῆς ὑστέρας καὶ τοῦ σφηνωθέντος μέρους· καὶ περιάγειν
κύκλῳ ὅπου ἐμποδίζοντα. ἀκολουθοῦντας δὲ τοῦ ἡμίσεως
τοῦ ἐμβρύου, τὸ πρότερον ἐμβρυουλκὸν κατὰ μῆκος εἰς τὰ ὑπερ-
κείμενα μέρη καταπείρειν δεῖ ἐναλλάξ· εἰ δ' ὑπερβάλλοι τῷ
μεγέθει ἡ κεφαλὴ ἢ φύσει ἢ διὰ ὑδροκέφαλον, διαιροῦντα ἂν
τῷ τοῦ πολυποτομικοῦ σμιλίῳ ἢ τῷ κοινῷ σμιλίῳ, καὶ συμ- — γρ. πολυτόμῳ
πιέζοντας ἕλκειν. εἰ δὲ μὴ δι' ὅλως ἕλκοι καὶ τὸ βρέγμα συμ-
θλάσαντα καὶ τὰ ὀστᾶ τοῖς δακτύλοις ἐξαιρεῖν. εἰ δ' ἵνα
ἐξέχοι τὸ ὀστοῦν, ὀδοντάγρᾳ ἤγουν ὀστάγρᾳ ἢ ῥιζάγρᾳ ἐξαι-
ρεῖν, τότε καταπείρειν τὸ ἐμβρυουλκὸν καὶ ἐξαιρεῖν τὸ βρέφος.
ἐκβαθείσης δὲ τῆς κεφαλῆς, ἐὰν κατὰ τὸν θώρακα σφήνω-
σις γένηται, τῷ σκολοπομαχαιρίῳ, ἢ τῷ πολυποτόμῳ κρού-
σας μέσον τῶν δύο δακτύλων, διὰ τῆς κατὰ τὰς κλεῖς τό-
που μέχρι βάθους· ἵνα τὸ ὑγρὸν ἐκκριθέντων, συμπέσῃ τὸ
τοῦ θώρακος μέγεθος. διαιρεῖσθαι δὲ καὶ κατὰ τὰ μεσοπλεύ-
ρια. εἰ δὲ μετὰ τὴν τοῦ θώρακος ἔκληψιν ἐμπεφυσημένον
εἴη τὸ ὑπογάστριον, ἐναποτεθνηκότος τοῦ ἐμβρύου καὶ ὑδρω-
πιάσαντος, δεῖ ὡσαύτως αὐτῇ ἀκολουθεῖν χρωμένους, δια-
κόπτειν τὸ ὑπογάστριον καὶ ἐξέλκειν τὰ ἔντερα. εἰ δὲ
χεὶρ προπεσοῦσα ἤχθη εἰς τὸν κόλπον ἀπὸ τοῦ ἄρθρου τοῦ ὤμου
τὴν χεῖρα ἀποκόπτειν. δεῖ ... ῥάκος μὲν περιτιθέναι τῇ
προβεβλημένῃ χειρὶ καὶ βιαιότερον ὑποκάτω· ἵνα τὸ τοῦ ὤ-
μου ἄρθρον φανερὸν γένηται καὶ τότε τὰ τοῦ αἰδοίου περιβρυώμα-
τα διαστέλλει τοῖς δακτύλοις. ... σμιλίῳ διακόπτειν τὸ
ἄρθρον. εἶτα καθιέναι τὸ ἀριστερὸν ... καὶ ἀποδιωθεῖν
τὸ κεφάλιον καὶ ἔσω κομίσαντας τὸ ἔμβρυον. εἰ δὲ ἀμφό-
τεραι προπέσοιεν, ἀμφοτέρας ἀποκόπτειν. ἢ τὸ κεφάλιον
συνωθεῖν καὶ ὅλως ἐξέλκειν. τὸ δὲ ... φορητὸν ἢ μὴ ...
ἔκκλισις ῥᾳδίως ἀποδιωθεῖσθαι πρὸς τὸ στόμιον τῆς ὑστέρας.
εἰ δὲ κατὰ τὸ ὑπογάστριον σφηνωθείη. διὰ ῥάκους ὑπο-
θεὶς δεῖ βιαιότερον τὰ σκέλη· ἵνα ὁ κατὰ τὴν ἥβην τόπος καὶ
τὸ ἦτρον ἐμφανῆ γένηται· κατατέμνοντας διαιρεῖν. ... ὅτε καὶ
ἐξέλκειν τὰ ἔντερα καὶ τὰ λοιπὰ σπλάγχνα. εἰ δὲ τὸ ἕτερον
σκέλος εἰς τὸν κόλπον προπέσοι, οἱ τόνοις διὰ ῥάκους ὑπο-
περιθέμενοι, καὶ διαστέλλοντες τὰ τοῦ αἰδοίου περιβρυώματα

ἀφαι

ἀφαιρουμένων τὸ λοιπὸν κατὰ τὴν βύθυνσιν. εἰ δὲ διπλοῦν ὑ-
ποπεσὸν τὸ ἔμβρυον ἀδυνατοίημεν μεταχειρίζειν, εἰ μὲν
ἑτοιμότερον εἴη τὸ κεφάλιον, συνθλάσαι τὰ ὀστᾶ μὲν πρῶ-
τον τὸ ὄγκωμα τούτου· καὶ καταπείροντας κατά τι μέρος τοῦ
προσώπου τὸν ἐμβρυουλκὸν ἐπισπᾶσθαι τὸ κεφάλιον· εἶτα
ἀναβιβάζειν τὰ σκέλη καὶ οὕτως ἐφελκύσαι τὸ ἔμβρυον. γρ. ἀναβιβάζειν
εἰ δὲ τὰ σκέλη μᾶλλον ἑτοιμότερα εἴη, ἐκ τοῦ ἄρθρου τοὺς μηροὺς
ἀποκόψαι· καὶ οὕτω τοὺς μηροὺς ἀναβιβάσαι, ὥστε μόνην τὴν
κεφαλὴν ἀνάκλιτον πρὸς τὴν χεῖρα κομισθῆναι. εἰ δὲ ἡ σφήνω-
σις τοῦ διπλώματος εἴη σφοδρὰ προσπεσόντων μᾶλλον τῶν
ποδῶν, τὴν κεφαλὴν ἀποτεμόντα χρὴ ἀπὸ τῆς πρὸς τὸν τράχηλον συν-
δέσμου διαφθαρούσης· καὶ οὕτως ἀναβιβάσαντα τὸν θώρακα,
ἕλκειν τοὺς πόδας. εἰ δὲ τῶν λοιπῶν ἀφαιρουμένων μερῶν, τὸ κεφά-
λιον ἀναδράμοι εἰς τὰ ἔσω, χρὴ ἐνεῖναι χεῖρα τὴν ἀριστερὰν
χεῖρα λελειασμένην εἰς τὸ βάθος· καὶ τὸ κεφάλι-
ον ἀναζητήσαντα, κυλίσαι τοῖς δακτύλοις, καὶ πρὸς τὸ τῆς
μήτρας στόμιον καταβιβάσαι· εἶτα καθελκομένου ὑπὸ τῆς χειρὸς
τῆς κεφαλῆς, ἐμβρυουλκοὺς ἕνα ἢ δύο ἐν αὐτῇ καταπείραντα
ἐξέλκειν. ἐπιτήδειοι δὲ πρὸς τὴν καθάρσεις τῶν ἐμβρυουλκῶν
τόποι, ἐπὶ μὲν τῶν ἐπὶ κεφαλῆς φερομένων, οἵ τε ὀφθαλμοί,
καὶ οἱ τῶν ὤτων πόροι. τό τε στόμα καὶ ὁ ὑπὸ τὸ γένειον τόπος.
καὶ γένυες καὶ μασχάλαι. καὶ οἱ ὑπὸ τὰς κλεῖδας τόποι καὶ
τὰ ὑποχόνδρια. ἐπὶ δὲ τῶν ἐπὶ πόδας φερομένων, τά τε τῆς ἥβης ὀστᾶ
καὶ αἱ τῶν πλευρῶν πρὸς τὸ στέρνον καὶ τοὺς σπονδύλους διαρθρώ-
σεις· καὶ αἱ σφαγαί· καὶ τὸ στόμα. φλεγμαίνοντος δὲ τοῦ τῆς
ὑστέρας στομίου, μὴ βιάζεσθαι, ἀλλ' ἐγχυματίζειν ἐλαίοις λιπαροῖς
δαψιλέσι χρῆσθαι· ἐγκαθίσμασί τε καὶ ἐμβροχαῖς ταῖς
ὁμοίαις καὶ καταπλάσμασι· ὅπως χαλασθείσης πρόσω τῆς
φλεγμονῆς καὶ διαστάντος τοῦ στομίου, κομισθῇ ὡς προείρη-
ται τὸ ἔμβρυον. μετὰ δὲ τὴν ἐμβρυοτομίαν, συντιθέναι χρὴ
τὰ μέρη πάντα τοῦ ἐμβρύου· καὶ ἐπισκέπτεσθαι ἀκριβῶς εἰ
πάντα κεκόμισται καὶ μηδὲν ἔνδον ὑπολέλειπται· καὶ πάντα
καὶ τὸ χόριον εὐθὺς ἐκλαμβάνειν.

## Περὶ χορίου ἐγκαταλήψεως. Φιλουμένου. Κεφ. ΚΕ.

Τὸ χόριον, καὶ δεύτερον καλεῖται οἱονεὶ δεύτερον οἴκημα πρὸς τὴν
μήτραν καὶ ἔνδυμα ὂν τοῦ βρέφους. ἐπὶ τοίνυν κατεχομένου χο-
ρίου, ποτὲ μὲν εὑρίσκεται μεμυκὸς στόμιον τῆς ὑστέρας· ποτὲ δὲ
διεστηκός· καὶ ποτὲ μὲν φλεγμαῖνον· ποτὲ δ' ἀφλέγμαντον.
αὐτὸ τὸ χόριον ποτὲ μὲν ἀπολέλυται τῆς πρὸς τὴν ὑστέραν τῆς
μήτρας συνεχείας· ποτὲ δὲ συμπέφυκεν αὐτῇ. διεστῶτος οὖν τοῦ στο-
μίου καὶ τοῦ χορίου ἀπολελυμένου καὶ περὶ τὸ μέρος τῆς μήτρας σφαιρο-
ειδῶς

ἀλλ' εἰς τὸ ἐναντίον ἐστραμμένου, ἄρσην ὄντος τοῦ κομιδῇ· τὴν μὲν ἀριστερὰν χεῖρα θερμὴν καὶ λελιπασμένην εἰς τὸ βάθος δεῖ καθιέναι καὶ ὑποπτύσσουσαν τὸ χορίον, ἐκλαμβάνειν. εἰ δὲ προσπεφυκὸς εἴη τοῖς τῆς ὑστέρας πυθμέσι, καθιέναι μὲν ὁμοίως δεῖ τὴν χεῖρα θερμὴν καὶ λελιπασμένην· συλλαβοῦσαν δὲ τὸ χορίον ἕλκειν μὴ εὐθέως διὰ τὸν τῆς προπτώσεως φόβον τῆς μήτρας· ἀλλὰ μὴ δὲ μετὰ βίας ἰσχυρᾶς· πλαγίως δέ· καὶ τὸ μὲν πρῶτον ἀτρέμως μεταφέρειν ἐπὶ τὰ πλάγια τῇδε κἀκεῖσε περιφέροντα· εἶτα καὶ συντονώτερον προσελκύειν. ὑπακούσει γὰρ δὲ οὕτω καὶ ἀπολύεται τῆς προσφύσεως. εἰ δὲ μεμυκὸς εὑρεθείη τὸ στόμα τῆς ὑστέρας, ἐγχυματισμοῖς χρῆσθαι, καὶ πειρᾶσθαι διὰ τῶν δακτύλων τῆς ἀριστερᾶς χειρὸς πρᾳότερον διανοίγειν καὶ διαστέλλειν κατ' ὀλίγον· εἰ δὲ μὴ ὑπακούοι, κατακλίνειν τὴν γυναῖκα καὶ καταπλάσσειν ὡς μέχρι λύσεως τὸ ἦτρον καὶ πάλιν ἐγχυματίζειν· καὶ σικυάζειν, λιπάσμασί τε καὶ θερμάσμασι χρῆσθαι. φασὶ δὲ καὶ ταρίχων ὀσμαὶ ὑποκαπνιζόμεναι, κατασπᾶν τάδε. εἰ δ' ἄτονος εἴη ἡ δύναμις ἢ προσέχουσα, ἀποπειρᾶσθαι χρὴ μετὰ τοῦ δὲ καιρὸν καὶ φαρμακευτικοῖς προστιθέναι διὰ καστορ. καὶ πηγ. ἴσα ὀχεῖσθαι. καὶ διδόναι τῶν — # ἐντιθέναι
τὰ ἐμμήνια κινούντων δυναμένων φαρμάκων περὶ ὧν μετὰ ταῦτα γραφήσεται. καὶ ταῦτα ἐπὶ μίαν ἢ δευτέραν ποιεῖν· χρῆσθαι δὲ καὶ ὑποθυμιασμοῖς διὰ τῶν ἀρώματα ἐχούσης ἢ ὑψωμένα οἷον κασσίαν νάρδον ἀσπάλαθον ἀρτεμισίαν ἶριν βράθυ· δίκταμνον· γλήχωνα καὶ τὰ παραπλήσια ὑποθυμιωμένης ἐπὶ τῷ δίφρῳ ἐφ' ᾧ καθέζεται ἡ γυνή· πανταχόθεν ἱματίοις περικεκαλυμμένη αὐτῇ. μετὰ ταῦτα σημειοῦσθαι. καὶ εἰ μὲν διεστὸς εὑρεθείη στόμιον μήτρας, καθιέναι τὴν χεῖρα καὶ ὡς προείρηται πειρᾶσθαι ἐξέλκειν. εἰ δὲ μὴ δὲ οὕτως ὑπακούοι, οὐ προσήκει ἀποβιάζεσθαι· μετὰ γὰρ ὀλίγας ἡμέρας μυδῆσαν καὶ διαλυθὲν εἰς ἰχῶρας ἐκπίπτει. ἐπειδὴ δὲ δυσωδίας παρέχει πολλάς ὥστε τὴν κεφαλὴν βαρύνειν καὶ στόμαχον ἀνατρέπειν, ὑποθυμιᾶσθαι χρὴ συνεχῶς τοῖς εὐώδεσι καὶ δυναμένοις τὰς αὐτῆς ἀποφορὰς ἀπομάττειν καὶ χωρίον καθαίρειν· δεδοκίμασται δὲ πρὸς τοῦτο, τὸ καρδάμωμον καὶ αἱ ἰσχάδες ὁμοίως ὑποθυμιώμεναι καὶ βδέλλιον μετὰ βράθυος· ὁ γαγάτης διὰ τοῦ ὀργάνου ὑποθυμιώμενος καὶ λιβανωτὸς μετὰ στύρακος καὶ ὄνυξ ἀρωματικὸς καὶ λάδανον. πότιζε δὲ αὐτὰς καστορίου < α' μετὰ γλήχωνος θρίου ἐν μελικράτῳ, καὶ τὰ ἁπλῶς τὰ ἔμμηνα ἀγόντων. καὶ τὰ ἀφεψήματα τῆς ἀρτεμισίας καὶ δάφνης μετὰ οἰνομέλιτος. προστιθέμενα δὲ ποιεῖ πρὸς τόδε σμύρνη καὶ σικυλαίμιος μετ' ὀπισθέντα· προβάλλειν δὲ ἢ αἰγὸς χορίον ξηρὸν κοπτὸν καὶ μετ' οἴνου ποτιζόμενον ἢ μετὰ μύρου προστιθέμενον ἢ καὶ περιαπτόμενον μόνον, ἀλύπως ἡ μήτρα ἀνακαλεῖ κατασπᾷ. Ἄλλο· σταφίδων ἀγρ. κυμίν. ῥητίν. τερεβινθίν. ἀφρονίτρ. ἀνὰ < α'. μετὰ μέλιτος προστίθει ἢ σπόγγ. ποιεῖ καὶ ἐγκάθισμα ἀφεψήματος ἀρτεμισίας· δάφνης· ἀνήθου· χαμαιμήλου.

## Ἐπιμέλεια μετὰ ἐμβρυουλκίαν. Ἀσπασίας. Κεφ. κϛ'.

Ἀποδοθέντος χορίου ἐπὶ εὐθὺς μετὰ τὴν ἐμβρύου κομιδήν·

εἶτε μετὰ ταῦτα καὶ μηδενὸς ἐν τῇ μήτρᾳ περιττοῦ ὑπολειμ-
πανομένου συνάγεσθαι χρὴ τὰ σκέλη ἵνα συνεχθῶσιν οἱ διεσπασ-
μένοι τόποι. καὶ εἰ μὲν ἀρκούντως ἐκαθάρθησαν, περικλύζειν τοὺς
τόπους μαλάχης ἢ τήλεως ἀφεψήματι καὶ ἐγχυματίζειν
ἐλαίῳ θερμῷ. καὶ καταβρέχειν τὸ ἐφήβαιον καὶ τὴν ὀσφὺν τῷ
δὲ θερμῷ ἐλαίῳ. καὶ σκεπάζειν ἐρίοις πλείοσιν ἀποθλίψεις ἐλαίῳ
θερμῷ βεβρεγμένοις. τροφὰς δὲ ῥοφηματώδεις διδόναι καὶ
τὴν ὑδροποσίαν τηρεῖν. εἰ δὲ μὴ καθαρθεῖεν δεόντως, ἐγ-
καθίζειν εἰς ἀφέψημα τήλεως. ἀρτεμισίας γλήχωνος ἀλ-
θαίας. καὶ ποτίζειν συνεχῶς τὸ τοῦ γλήχωνος καὶ τήλεως
ἀφέψημα. εἰ δὲ ὑπὲρ δύναμιν καθαίροιντο, ταῖς μετρί-
ως στυφούσαις ἐμβροχαῖς χρῆσθαι καὶ ἐγκαθίσμασι.
καὶ τὸ ὑπογάστριον μακροῖς ὑποδέσμοις ὑποδεῖν. καὶ τροφὰς
διδόναι στυφούσας. εἰ δὲ φλεγμονὴ ἐπιγένοιτο, ὡς πρὸς φλεγ-
μονὰς πάντα ποιητέον. εἰ δὲ καὶ αἱμορραγία πολλὴ γένοιτο, βο-
ηθεῖν ὡς ἐν τῷ περὶ αἱμορραγούσης μήτρας εἴρηται. εἰ δὲ μη-
δὲν τούτων εἴη, μόνον λιπαίνειν καὶ θερμαίνειν τοὺς τόπους καὶ
τράχηλον καὶ κεφαλήν.

## Αἰτίαι ἀνδρικαὶ καὶ γυναικεῖαι δι' ἃς οὐ παιδοποιοῦσι.

## Θεραπεία. Σημεῖα συλλήψεως. Κεφ. κζ΄.

Ἀσυλληψία γίνεται ἢ παρὰ τὸν ἄνδρα ἢ παρὰ γυναῖκα ἢ
καὶ δι' ἀμφοτέρους. παρὰ μὲν τὸν ἄνδρα, ἢ τῷ ἰδίῳ ἐνθέρμῳ σφό-
δρα καὶ οἱονεὶ πεφρυγμένον τὸ σπέρμα προΐεσθαι. ἢ παρὰ τὸ
κατάψυχρον. ἢ παρὰ τὸ λεπτὸν καὶ ὑδατῶδες καὶ ἄτονον καὶ ἀσθενὲς τὴν
δύναμιν εἶναι. ὁποῖον καὶ οἱ ὑπεργεγηρακότες ἐκκρίνουσι. ἢ παρὰ
τὸ παχὺ εἶναι ὑπὲρ τὸ δέον. ἢ παρὰ τὸ ὑποσπαδιαίους εἶναι
τοὺς ἄνδρας. ἢ σμικρότατα ἔχειν τὰ αἰδοῖα καὶ οὐκ ἰσχύειν εἰς τὸ
ἐντὸς τῆς μήτρας τὸ σπέρμα ἐξακοντίζειν. συμβαίνει δὲ καὶ ἐπὶ τῶν
σφόδρα καταπιμέλων ἔνογκον τὴν κοιλίαν ἐχόντων, ἐμποδίζεσθαι
τὸν τοῦ σπέρματος ἀκοντισμόν, ἔσω τάχα εἰς τὴν μήτραν γίνεσθαι.
Παρὰ δὲ τὴν γυναῖκα ἐμποδίζεται ἡ κύησις ἢ παρὰ τὸ ἔνθερ-
μον καὶ πυρώδη εἶναι τὴν μήτραν. ἢ τὸ κατάψυχρον ἢ κάθυγρον
ἢ κατάξηρον ἢ αὐχμηρόν. ἢ τὸ κατεσκιρρωμένον ἢ τὸ σαρκῶδες. ἢ ἄσαρ-
κον. λεπτὴν καὶ ἀσθενῆ. ἢ τὸ στενὴν καὶ σμικρὰν. ἢ παρὰ τὸ τὰ ἐν
αὐτῇ ἀγγεῖα ἢ μεμυκέναι ἢ μὴ μεμυκέναι. ἢ ἐμπεφράχθαι ἢ κα-
τατυφλῶσθαι ὕλης γενομένης. ἢ παρὰ τὸ ὑμένα ὑποπεφυκέναι τῷ
στόματι τῆς ὑστέρας καὶ ἀτρήτους εἶναι. ἢ τὸ τὸν τράχηλον σκολιὸν
ἔχειν τῆς μήτρας. ἢ διὰ τὸ τὸ στόμα αὐτῆς μεμυκέναι. ἢ σφόδρα
ἀνεῳγμένον εἶναι διαπαντός. ἢ δι' ἑκάστην κάθαρσιν τῶν ἐμμήνων.
ἢ διὰ ὑπερβολικήν. τὸ μὲν γὰρ ἐπικλύζεσθαι, τὸ δὲ οὐ τρέφεσθαι ἀρ-

κούντως

κωλύοντος ὁ σπόρος κατεβαλλόμενος· ἢ παρὰ τὸ ἐπὶ χρόνῳ πάθος
τῆς ὀρέξεως ῥᾳθυμότερον εἶναι περὶ τὴν ὕστεραν. εἴη δ' ἂν κώλυμα
τοῦ μὴ κυΐσκειν καὶ τὸ ἀνάρμοστον καὶ μὴ ἐοικὸς τὸν μὲν μέγεθος ἀνδρὶ
τὴν γυναῖκα. ἡ γὰρ ἀναλογοῦσα συναρμόζει τὴν κοινωνίαν καὶ διὰ τοῦ-
το αἱ μετρίως ἔχουσαι μίξεως ταχυτεκνόταταί εἰσι. γίνεται καὶ παρὰ
τὴν ἡλικίαν, ἢ πάνυ νέαν ἢ πρεσβυτέραν εἶναι. διόπερ οὐδ' ἀνὴρ
ἀρμόζεται ὑπερβάσαις συνοικίζειν προσήκει· ἀλλὰ τὸν μὲν ἄνδρα
τριάκοντα ἐτῶν· τὴν δὲ γυναῖκα δέκα καὶ ὀκτώ. μάλιστα δὲ γί-
νονται ἀσύλληπτα, καὶ παρὰ τὴν ἄσεστον διάπλασιν τῆς γυναι-
κός· εἶναι γὰρ προσήκει τὴν εὔτεκνον γυναῖκα τὸ μὲν δὲ μήκει σύμ-
μετρον· τὰ περὶ τὸ ἰσχίον καὶ ὑπογάστριον πλατύτερα ἔχουσαν.
γλουτοὺς ἐξέχοντας· ὑπογάστριον ὄγκον· στέρνον στενόν· καὶ τὰ
ὑστέρα μείζονα. αἱ τοιαῦται δὲ γυναῖκες κυΐσκουσι ταχύ. αἱ δὲ τἀναντία
πανταχοῦ ἔχουσαι, ἀτεκνοῦσι. ταχέα δέ τις καὶ ἀρρενοτόκα παρὰ
τὰς προειρημένας αἰτίας ὀφείλει προφάσεις τοῦ μὴ κυΐσκειν. αἱ δὲ
κοινὰ ἐπ' αἰτίᾳ τοιαῦται εἰσί. τῶν μὲν οὖν ἀνδρῶν ὅσοι διά τινα
δίαιταν ἢ διαφθορὰν μοχθηρὰν τὸ σπέρμα φθείρουσι, καὶ μετὰ
τῆς διαίτης ὑγιαίνουσι καὶ τὰ γαμικὰ ἀσώτως χρώμενοι, γόνι-
μον ἔχουσι τὸ σπέρμα· καὶ οἱ ἀσυμφώνως πρὸς τὰς ἑαυτῶν γυναῖ-
κας διακείμενοι, μεταλαβόντες ἄλλας παιδοποιοῦσι. οἱ ὑπο-
πεπληρωμένοι χειρουργηθέντες, καὶ οἱ γονορροϊκοὶ θεραπευθέντες
τεκνοποιοῦσι. οἱ δὲ τυφλωθέντες τοὺς σπερματικοὺς πόρους
οἷς συμβαίνει τοῖς τῇ λιθοτομίᾳ, ἀνιάτως ἔχουσι· ὁμοίως
καὶ οἱ ἀνισχυσθέντες ὡς ἀποκρίνουσι σπέρμα. οὐδὲ οἱ εὐνοῦ-
χοι ἐξακοντίζουσι. εἰ δὲ ἴσμεν τὰ ἄλλα δεῖ ἔχοι ἥ τε γυνὴ καὶ ὁ
ἀνήρ· καὶ μήτε ἡλικία· μήτε ἕξις σώματος· μήτε ποιότης τις
ἢ ποσότης ἢ παχύτης ἢ λεπτότης· μήτε διάθεσις τις ἑτέρα
περὶ τὴν ὕστεραν ἐμποδὼν εἴη, διαιτᾶσθαι ὧδε. τὴν μὲν γυ-
ναῖκα μήτε σφόδρα ἐπιπόνως· μήτε ἀταλαιπώρως. ἡ γὰρ ἀργία
περιττωμάτων ἐμποιητική. ταλαιπωρία δὲ πλείστη, διαφθείρει
τὰς καθάρσεις καὶ ξηραίνει τὸ αἷμα. λουτρὰ δὲ μήτε συνεχῆ
μήτε διαπλείστου. σιτία δὲ καὶ πόματα εὔπεπτα καὶ ἀδιψῶ-
δη αἷμα κρατεῖν καὶ συνιστᾶν ἢ γαστήρ. τὸ δὲ διὰ μέσου, μὴ περιο-
ρᾶν παρὰ πᾶσαν τὴν δίαιταν πιαινόμενον τὸ σῶμα μήτε τῆς
γυναικός, μήτε τοῦ ἀνδρός· οὐδὲ καὶ ὁ σπερματώδης ἀνήρ, ἀνεπιτή-
δειος εἰς παιδοποιίαν οὔτε ἡ γυνή. διὰ τὸ πρότερον μὲν μὴ δὲ
ὁρμᾶν τοῖς ἀφροδισίοις καὶ ὅτι ὀλίγου σπέρματος ἐννοῶσι οἱ πίονες
ὥστε καὶ ὀλίγον καταμήνιον αἱ γυναῖκες κενοῦσι αἱ λιπώδεις.
τὸ γὰρ πλεῖον τῆς τροφῆς εἰς τὴν πιμελὴν καταναλίσκεται. ὅπως δὲ χρὴ
διαιτᾶν τοὺς πιμελώδεις, ἐν τῷ περὶ καθαιρέσεως σαρκῶν λόγῳ
κατὰ τὸ πρῶτον λόγον προείρηται· ἁρμόδιον δὲ πρὸς παιδοποιίαν καὶ τὸ σιω-
ποῖς κοιταῖς προσφέρεσθαι τὴν συνήθως καὶ ἡδέως ἐσθιομένων καὶ
πινομένων

γινομένων τὰ παρορμητικὰ πρὸς συνουσίαν καὶ γεννητικὰ τοῦ σπέρματος· οἷα ἐστὶ τὰ ἠρέμα ἐμπνευματοῦντα καὶ θερμαίνοντα· οἷον ὡς τε ὄντα πρὸ ὑποστάσεως ἐσθιόμενα· λαχάνων τὸ ὅρμινον· εὔζωμον· μαλάχη· καὶ τὰ λοιπὰ ἤδη πολλάκις προειρημένα· πήγανον δὲ καὶ ἡδύοσμον καὶ καλαμίνθη· πάντων μᾶλλον φυλακτέα· τὸ μὲν ἡδύοσμον πολὺ μὲν αὔξει σπέρμα· λελυμένον δὲ καὶ ἀσθενές· τὸ δὲ πήγανον φθείρει· χρὴ δὲ πλησίον γινομένης τῆς ἐμμήνου καθάρσεως εἰδέναι, ὡς καιρὸς ἐπιτήδειος πρόσεστι τῆς συλλήψεως· καὶ τὴν μὲν δαψιλέστερον διαιτωμένην γυναῖκα ἀφαιρεῖν τῶν σιτίων καὶ συμμετρότερον προσφέρειν δίαιταν· τὴν δὲ λεπτῇ οὖσαν διαίτῃ κεχρημένην τοῖς εὐχυμοτέροις κεχρῆσθαι· τὴν δὲ ἄλλαις κεχρημένην τροφαῖς, προσθεῖναι ταύταις [illegible] κεχρημένην ταῖς τροφαῖς πάσαις. τὰ ξηραίνειν τὰς καθάρσεις δυνάμενα· οἷα ἐστὶ τὰ δριμέα λάχανα· κρόμμυα· γογγύλια· μάραθα σέλινα· σμύρνια· εὔζωμον· καὶ τὰ ὅμοια· ἕως ἂν καθαρθῶσιν καλῶς πρὶν ψυγῆναι τὴν ὑστέραν συλλαβεῖν. εἰ δὲ καὶ μετὰ τὴν συνουσίαν τὰ τῆς συλλήψεως σημεῖα προφαίνοιτο πολλαὶ [illegible].

Σημεῖα δὲ συλλήψεως τοιάδε· μετὰ τὸ στόμα τῆς ὑστέρας καὶ ξηρὸν γίνεται καὶ ἀναχωρεῖ ἀπὸ τοῦ αἰδοίου· αἱ δὲ ἔμπειροι τοκῶν καὶ κινήσεως αἰσθάνονται τῆς ὑστέρας εὐθὺς μετὰ τὴν τοῦ σπέρματος εἴσοδον· κινεῖται γὰρ περιλαμβάνουσα τὴν γονήν· τινὲς δὲ καὶ λαγόνων πονοῦσιν· ἐνίαις δὲ καὶ καρδιαλγία καὶ ἔκλυσις ἐπιγίνεται μετὰ ἡδονῆς τινος· δηλοῖ δὲ οὐ σμικρὰ πρὸς τοῖς λεγομένοις, καὶ τὸ στραγγουριῶδές τι πάσχειν τὴν γυναῖκα· μάλιστα δὲ τοῦτο πάσχουσιν αἱ πρώτως κυϊσκόμεναι· καὶ ἐὰν μὴ καλῶς καθαρθεῖσαι κυΐσκωσιν· ἀλλὰ καὶ ταῖς ἄλλαις μετρίως τοῦτο συμβαίνει μέχρι τῶν ἑπτὰ ἡμερῶν· μετὰ δὲ τὴν ἑβδόμην ἄρχεται κατὰ βραχὺ τὰ τῆς κυήσεως σημεῖα· ἐπιθυμίαι ὀξέων καὶ ἁλυκῶν βρωμάτων· σκοτώματα· ὠχρότης· ὕπνοι μακρότατοι· δῆλον δὲ ὅτι καὶ ἐμμήνων ἐποχὴ ἀνωδύνως· κινεῖται δὲ τὰ μὲν ἄρρενα σφοδρότερον· ταχύτερον καὶ μᾶλλον περὶ τὰ δεξιὰ μέρη· τὰ δὲ θήλεα, τὸ ἀνάπαλιν. τοσαῦτα μὲν περὶ προφυλακῆς εἰρήσθω· νυνὶ δὲ ῥητέον ὅπως χρὴ ἰᾶσθαι ἑκάστην δι' ἣν αἰτίαν οὐ κυΐσκονται:

## Ψυχρᾶς μήτρας σημεῖα· θεραπεία· κεφ. κη·

Εἰ διὰ ψυχρότητα τῆς ὑστέρας οὐ γίνεται σύλληψις, τά τε ἄλλα γυμναζομένη καὶ πυρίαις ἐπάσταις πυριωμένη, ἀνακλινέσθω ἡ γυνὴ τὸ θερμόν· ὥστε οὖν κάλαμον καὶ καστόριον πινέτω ταύτην· καὶ ἐκ τῶν διὰ δὲ τῶν σπερμάτων κύμινον· ἄνισον· γλήχωνα καὶ τὰ ὅμοια· ἑκάστου πλέον ἐσομίγουσαν· βέλτιον δὲ τὴν κοιλίαν ταύτης κενῶσαι τῷδε τῷ φαρμάκῳ· ἐπιθύμου· εὐφορβίου· πεπέρεως· δαύκου κρητικοῦ· ἑκάστου ἴσον· λεῖα ποιήσας δίδου πίνειν ὅσον < β. τοῦτο καὶ τὴν κοιλίαν καλῶς λύει καὶ θερμαίνει τὴν ὑστέραν· ὥστε καὶ συλλαβεῖν

ἤδη καὶ καταμήνια καὶ ξηρὰ ἔξωθεν οὐ καθαιρομένας. εἰ δὲ μὴ ἐξαρκεῖ καθαίρειν κάτω, ἐμέτοις χρῆσθαι διὰ ἀφεψήματος θύμου ἢ ὀριγάνου. πολὺ δὲ καὶ ἀπὸ σιτίων. παντὶ δὲ τρόπῳ φλέβα κενοῦν συμφέρει. μετὰ δὲ τοὺς ἐμέτους, πίνειν χρὴ καστόριον καὶ τὰ προειρημένα πόματα. αἱ δὲ τῶν ὑστερῶν πυρίαι, τοῦτο μὲν ἀτμοὶ ἔστωσαν διὰ καλάμου προστιθεμένου τῷ τετρημένῳ πώματι τῆς χύτρας πυριώντων. τοῦτο δὲ καὶ αὐτῷ τῷ ἀφεψήματι προσκλύζοντες. ἑψεῖν δὲ χρὴ τῷ ὕδατι ἀρτεμισίαν. πήγανον. κύμινον. γλήχωνα. κύπειρον. ἄκορον. καταπλάσσειν δὲ καὶ τὸ ἦτρον τούτων ἑκάστῳ, καὶ εἴ τι ἄλλο θερμαίνειν δύναται. ἀγαθὸν καὶ τὸ σπελδεμον ἐπίθεμα καὶ τὸ τοῦ ἀμυθάονος. καὶ εἴ τι ἄλλο τοιοῦτον. καὶ ἀνατρίβειν τό τε ἦτρον καὶ ὀσφῦν, ἰρίνῳ ἀμαρακίνῳ ἢ κυπρίνῳ. καὶ πεσσὸν δὲ προστιθέναι τῇ ὑστέρᾳ διὰ σμύρνης. πηγάνου. χαλβάνης. καὶ καστορίου πεποιημένους. ποιεῖ δ' αὐτῇ καὶ τὸ τῶν ἰσχυροτέρων μιγμάτων, οἷον πρὸς τοὺς ἀλ. ἢ [illegible] βοτάνην. ἰσχυρὸν δὲ καὶ τὸ ἀλιτήριον. ἀλλὰ καὶ ἐπιτήδειον. χρὴ δὲ καὶ προπυριᾶσθαι ὕδατι μετὰ ἢ θαλάσσῃ πολὺ μᾶλλον καθ' αὐτήν. πολὺ δὲ καὶ ὄξους συγκεκραμένου, εἶτα προστιθέναι τὰ εἰρημένα φάρμακα, ἀναλαμβάνοντα ἐρίῳ μαλακῷ καὶ περιειλοῦντα ὥστε μὴ τὰ χείλη δάκνοντα ἕλκωσιν ἐργάζεσθαι. [illegible] δὲ τὸ ὀσφ. ἑκάστῳ μετρεῖν. πρὸς μὲν τὰς μετρίας [illegible] καὶ τὸ πολὺ κεκρατηκυίας, καὶ ἐπιτείνειν τὴν δύναμιν τῶν φαρμάκων καὶ ἐπιμένειν αὐτοῖς ἐπὶ χρόνον δεῖ. ἐπὶ δὲ τῶν ἄλλων καὶ ἀνιέναι τὴν δύναμιν καὶ πρὸς ὀλίγον χρῆσθαι. τεκμήριον δὲ τῶν ψυχροτέρων ὑστερῶν ἡ τῶν καταμηνίων ἐπίσχεσις. ὑπὸ μὲν [illegible] φέρονται. ναρκώδη δὲ γίνεσθαι τά τε ἦτρον καὶ ὀσφὺν καὶ σκέλη. ἐγὼ δὲ πολλὰς τούτων ἐθεασάμην καὶ ἀκρατεῖς σκελῶν γενομένας. αἱ δὲ [illegible] ἐψυγμέναι οὐδὲ ἀφροδισίων ἐφίενται καὶ τὸ στόμα τῆς ὑστέρας ἀνωτέρω συστέλλεται. καὶ περὶ μὲν τὰς ψύξεις, οὕτω χρὴ ποιεῖν.

Θερμότητας μήτρας σημεῖα καὶ ἐπιμέλεια. Κεφ. κθ.

Θερμοτέρας τῆς ὑστέρας διαγνωσόμεθα ἐκ τοῦ παντὸς τότε ἄλλο σῶμα θερμότερον εἶναι, καὶ καταμήνια ὀλίγα φέρεσθαι καὶ σὺν ὀδύνῃ. ὅθεν δαχνόμενοι οἱ τόποι ἐνίοτε ἑλκοῦνται. αὗται δὲ κενούμενα καταμήνια ταύταις [illegible], καὶ ἐλαττόνως κενοῦνται διὰ τῆς ξηρότητος. αὗται δὲ σφοδραί εἰσι πρὸς συνουσίαν καὶ ξηρότεραι τῷ παντὶ σώματι. σιτία μὲν οὖν ὑγρότερα ταύταις ἐπιτήδεια. λαχάνων μὲν θριδακίνη. μαλάχη.

βλίτα

βλίτα· κολοκύνθης· ἀτράφαξυς· ἀνδράχνη· σίκυος καὶ ὅσα ὑγρότερά ἐστιν ἐν τῇ διαίτῃ· οἶνος λευκός, ὑδαρέστερος· ὕπνοι καὶ λουτρὰ γλυκέων ὑδάτων· τῇ δὲ ὀσφύϊ καὶ τῷ ἤτρῳ προσάγειν τὰ ψύχοντα· στρύχνου χυλόν· κοτυληδόνος ἕκαστον μετὰ ῥοδίνου· σπόγγους καὶ ἔρια ἀναλαμβάνοντας καὶ προσάγοντας τοῖς τόποις· καὶ ἡ λινοζώστιδος διαβρέξαντες τὸ ὕδωρ συμφέρει ἐπιχριομένη τῇ ὀσφύϊ καὶ ὑποχονδρίῳ· καὶ ἡ λιθάργυρος μεθ' ὕδατος ἢ ψιμμυθίου· τὸ δὲ ποσὸν τῆς χρήσεως, μέτρα ἐπὶ πᾶσι δύναται νομισθῆναι· ὥστε μὴ πλέον τοῦ δέοντος ψύχεσθαι··

Θεραπεία τῶν δι' ὑγρότητα τῆς ὑστέρας μὴ συλλαμβανουσῶν. Κεφάλαιον, λ.

Ὅσαι δι' ὑγρότητα ὑστέρας οὐ κυΐσκουσι διαιτᾶσθαι χρήζουσι διὰ τῶν ξηροτέρων καὶ τὰ ἄνω μέρη πλεῖον γυμνάζεσθαι καὶ τρίβεσθαι καὶ ἐμεῖν πλεονάκις· ὅτε μὲν μετὰ τροφήν· ὅτε δὲ καὶ νήστεις, κενώσοντας καὶ αὐτὴν ... ἄρτον· ξηραίνει δὲ καὶ ὀλιγοσιτία· ὀπτὰ δὲ μάλιστα ἐσθιέτω τὰ ἐσθιόμενα κρέα καὶ τῶν ἀκμαζόντων ζώων μᾶλλον· ἰχθύων καὶ σκληροσάρκων· καὶ πόμα οἰνωδέστερον μὲν καὶ ἀκρατέστερον· μὴ πλῆθος δέ· ξηροπυρίαις πολλάκις· λουτροῖς δὲ σπανιάκις χρήσθω· οἱ δὲ ἐξ ἀρχῆς πειρώμενοι προσάγειν τῇ ὑστέρᾳ τὰ ἀναξηραίνοντα καὶ στύφοντα μεγάλως βλάπτουσιν· ἀνατρέχει γὰρ ἐπὶ τὰ κυριώτερα μόρια ἡ κωλυομένη ὕλη· ἀναξηρανθέντος δὲ γενομένου τοῦ παντὸς σώματος ἀσφαλέστερον καὶ τῇ ὑστέρᾳ προσάγειν τὰ στύφοντα καὶ ξηραίνοντα φάρμακα· οἷα ἐστὶ σχίνου ἀφέψημα καὶ μύρτων καὶ ῥόδων· βάτου φύλλων· πολυγόνου τοῦ θήλεος· τὸ δὲ ἄρρεν, ἀγρώστει μᾶλλον ἔοικεν, ἄνθος ἔχον πυρρόν, καὶ φύλλα παραπλήσια πηγάνῳ· σπέρμα δ' ὑπὸ τὰ φύλλα μικρόν· δύναται δὲ καὶ τοῦτο ἴαμα εἶναι, τὴν ἕψησιν διδοὺς πίνειν νήστει· ὡσαύτως δὲ καὶ τὸ ἕτερον· ἐπιτήδεια δ' ἐστὶ πόματα ταῖς κεχαυνωμέναις τὴν ὑστέραν καὶ ταῦτα· φλοιὸν μυρσίνης τρίψας μετ' οἴνου μέλανος δίδου· ῥοιᾶς γλυκείας τὸν φλοιὸν κόψας δίδου μετ' οἴνου· κάρυα ποντικὰ καύσας καὶ λεάνας δίδου μετ' οἴνου· ἐπιθέματι δὲ χρῶ τούτῳ· ψύλλιον κόψας καὶ φοινίκων σαρκὶ λελειωμένῃ ὀξυκράτῳ ἀναλαβὼν ἐπιτίθει· ἢ μῆλα κυδώνια ἀναλαβὼν ὁμοίως τοῖς φοίνιξι χρῶ··

Θεραπεία τῶν διὰ ξηρότητα τῆς ὑστέρας μὴ συλλαμβανουσῶν. Κεφάλαιον λα.

Εἰ διὰ ξηρότητα συμβαίνει τὴν γυναῖκα μὴ κυΐσκειν, προσέχειν δεῖ τὴν δίαιταν πρὸς ὑγρότητα χρὴ ποιεῖσθαι· ὑγραινομένου γὰρ τοῦ παντὸς σώματος, ἀποκαθίσταται καὶ ἡ ὑστέρα.

## Θεραπεία τῶν ἄλλων διαφόρων διαθέσεων ἐφ᾿ αἷς οὐ κυΐσκουσι. Κεφάλ. λδ΄.

Εἰ διὰ πάχος χυμῶν οὐ κυΐσκουσι, σκέψασθαι τὸν χυμόν.
εἰ μὲν εἴη τῶν δακνόντων, καθαρεῖς τὴν γυναῖκα, διδοὺς πίνειν ὀρ-
ρὸν γάλακτος πλεῖστον κοτυλῶν ε΄ καὶ βραχύ. καὶ διαιτᾶν εὐχύ-
μοις δεῖ. καὶ ἐκ διαλειμμάτων ἐμεῖν κέλευε. τοὺς δὲ φλεγματώ-
δεις καὶ ὑδατώδεις χυμοὺς πόνοις πλείοσι καὶ ἱδρωτοποιίαις καὶ
ἐμέτοις δαπανᾶν. ἀρκέσει δὲ καὶ καστόριον πίνειν καὶ πυριᾶσθαι
τοῖς θυμιάμασι. ἐπεὶ δὲ καὶ πνεύματα ἐν ὑστέρᾳ γινόμενα κω-
λύει τὸ κυΐσκειν, τὰ δὲ πνεύματα ὑπὸ δυσπεψίας γεννᾶται.
πρότερον μὲν ὀλιγοσιτίᾳ χρῆσθαι. εἶτα, τὰ πρὸς τὰ πνεύμα-
τα ἁρμόζοντα προσφέρειν. οἷον πήγανον, κύμινον καὶ τὰ λοιπὰ
σπέρματα καὶ ἀρώματα. τούτων καὶ ἐπιτιθέναι καὶ μᾶλ-
λον τὸ πήγανον μετὰ μέλιτος καὶ νίτρου βραχέος. τούτοις καὶ
πυριᾶν. τούτοις καὶ καταπλάττειν τὸ ἦτρον. ἐκ τούτων καὶ
κηρωτὰς σκευάζειν καὶ προστιθέναι. φείδεσθαι δὲ τῶν ὀσπρίων καὶ
τῶν γλυκέων βρωμάτων καὶ φυσωδῶν πάντων.

Τὰς δὲ μεμυκυίας ὑστέρας, ἀναστομοῦν χρή. προσκλύζειν
δὲ τοῖς οἰνώδεσι καὶ πυριᾶσθαι. καὶ προστιθέναι τοῖς ἐλαιώδεσι καὶ
μαλακτικοῖς διὰ στεάτων χηνείων χρῆσθαι. πρῶτον δὲ προσ-
φέρειν ἐγκαθίσματα μαλακὰ καὶ προσκλύσματα. ἀφέψη-
μα μαλάχης. λινόσπερμον. τήλεως. ἔλαιον χρηστὸν καὶ τὰ τοι-
αῦτα. εἶτα δ᾿ οἷον καὶ μέλι. μετὰ τὰ μαλακά, ἤδη καὶ τὰ ἰσχυρό-
τερα προσάγειν. ἀρτεμισίαν. κόνυζαν. καλαμίνθην. γλήχωνα.
ἀμάρακον, καταχέοντα τούτοις καὶ ἴρινον μύρον καὶ κύπρινον,
καὶ μέλι. τὰ δὲ προστιθέμενα ἔστω, σμύρνη, ῥητίνη τερεβινθ.
νίτρον. κασία. ἰσχάδων σάρκες. μύρον ἀμαράκινον καὶ τὰ
τοιαῦτα.

Αἷς δὲ κέκλιται τὸ στόμα τῆς ὑστέρας παρὰ τὸ δέον
καὶ διὰ τοῦτο οὐ γίνονται συλλήψεις. δίαιτα μὲν ξηροτέ-
ρα ἁρμόζει καὶ πυρίαι ξηραί. φάρμακα προστιθέμενα στύφον-
τα. ὑφ᾿ ὧν τὸ κεκλιμένον τοῦ στόματος μύσει. τοιαῦτα δέ ἐστι
κηκίδ. ἀφέψημα. κύτινοι. σχῖνος. βάτου ῥίζα. μύρτα
καὶ τὰ παραπλήσια.

Τὰς δὲ διαστροφὰς στόματος ὑστέρας, πυρίαις μαλακαῖς
ἀπολύειν. μάλιστα γὰρ ἐπὶ ταῖς πυρίαις εὐδιόρθωτοι
γίνονται. χρῆσθαι δὲ καὶ μαλακτικοῖς προστιθεμένοις. καὶ τῇ μήλῃ
δὲ καὶ τῷ δακτύλῳ ἀπευθύνειν. μάλιστα γλήχωνος ἀφέψη-
μα ἁρμόζει τοῖς παρεστραμμένοις στόμασιν ὑστερῶν. καὶ ἀρτεμι-
σία καὶ καστόριον πινόμενα μετὰ μελικράτου. χρῆσθαι δὲ καὶ λοιποῖς
ἐμμηναγωγοῖς. ἐπεὶ παρεγκλίσεως ὑστέρας ἐπιδεομένης. ἐπεὶ δὲ τὰ
διά τινα τῶν ἀτοκίων φαρμάκων προσφερομένων μὴ συλλαμ-
βάνουσιν, ἐπιτηδεύειν χρὴ εἰ δυνατὸν τὸ προσενεχθέν.

φαρμ.

φαρμάκων ὑπῆρχεν καὶ ἐπὶ μὲν τῶν ἀπὸ θεραπειῶν τοῦ ὕστερον ἐκκλύζοιτο τὸ σπέρμα· ἢ τῷ ἐπιληφθῆναι τῶν πνευμάτων ἀπορρίπτοιτο, ἢ ταῖς στυπτικαῖς δυνάμεσιν ἀποσφίγγοιτο τὸ στόμιον τῆς μήτρας καὶ κωλύοι τὴν εἴσοδον τῆς γονῆς, τὸ σφάλμα διορθωτέον προσθέτοις μαλακτικοῖς καὶ ἐκθετικοῖς τοῖς πρὸς ἕκαστον ἐναντιουμένοις· μάλιστα ἐπὶ τῇ στύψει μύσεις γίνονται καὶ τὴν κοιλίαν ... καὶ τοῦ στομίου τῆς μήτρας, τὰ πάσματα προσθετέον καὶ πυρίας, καὶ τὰ ἀναστομοῦσθαι δυνάμενα.

## Περὶ τῶν διὰ τὴν τῶν λοχείων φαρμακοποσίαν μὴ συλλαμβανουσῶν. Κεφάλαιον λβ'.

Ὅτε τινὰ τῶν λοχείων πύρωσιν τῆς ἐν τῇ μήτρᾳ αἰτίαν ἐργαζόμενα ἀνίατα ὡς ἐπὶ πολὺ τὴν σύστασιν κατακλύζουσι, ὥσπερ μὲν τὴν δύναμιν ἀλκῆς ... ἀναλίσκει· ἔνια γὰρ τῶν φαρμάκων προσαχθέντα πύρωσιν ἐπιφέρει τῶν θηρίων· ἀναλίσκει ... ἐκλύσματα ἢ ἐντὸς δυνατὸν ἰᾶσθαι· ὥσπερ γὰρ θανάσιμα φάρμακα ... ἢ φαρμάκων γὰρ πρὸς τὰ δηλητήρια ἀναλύονται· χρὴ δὲ ἐπιγενομένου ἀδυνάτου βοηθείας ἀξιοῦσθαι· οὕτω καὶ τὰ δραστικὰ τῶν λοχείων, ἐν μὲν τῷ παραχρῆμα βοηθούμενα ... ἔστιν ὅτε ἀναλύονται· χρονίζοντα δὲ ἀνίατα γίνεται· τὰ δὲ περὶ τῶν ὑστερικῶν γινόμενα ἕλκη καὶ φλεγμονὰς ὅπως χρὴ θεραπεύειν, καὶ ὅπως τὰ ὑπερσαρκώματα ἢ θύμους ἢ χελωνίας ... ἀφαιρεῖν, ἐν τοῖς οἰκείοις τόποις ἀκολούθως δηλωθήσεται· περὶ τούτων γὰρ πλεονάκις περὶ τῶν αὐτῶν γράφειν.

## Ἐπιμέλεια ἐφ' ὧν οὐδὲν αἴτιον φαίνεται. Κεφάλ. λγ'.

Εἰ δὲ μηδενὸς αἰτίου φαινομένου, μηδὲ τοῦ σώματος μηδὲ κατὰ τὴν ὑστέραν ἀδήλως εἴη ἡ τῆς ἀσυλληψίας αἰτία, καθαρτηρίοις χρηστέον διὰ γάλακτος ὀνείου διαχωρίμασι ... καὶ πυρίαις καὶ ὑποθυμιάμασι, δίδοσθαι καὶ πότοις ἀναστομοῦσι καὶ τὰ ... αἷμα καὶ ἐπιχυνοῦσαις ... β' ἢ γ'.

## Πόματα πιστά καὶ ὑποθυμιάματα συλληπτικά. Κεφάλ. λδ'.

Διδόναι αὐταῖς πίνειν λινοζώστιν μετὰ καστορίου καὶ ἀψινθίου ἐφ' ἡμέρας γ' ἢ δ' κατὰ καιρὸν ἐπιφανείσης τῶν καταμηνίων· κάλλιστον τόδε πόμα πρὸς σύλληψιν. Ἀλὸς ἀμμωνιακοῦ ∠ β'· σφάγν. κυμίν. ἀνὰ ∠ α'· δίδου πίνειν μετ' οἴνου μετὰ τὴν κάθαρσιν τῶν καταμηνίων διδόναι ἐφ' ἡμέρας γ'. Ἄλλο. μήκωνος· ἁλὸς ἀμμωνιακοῦ ἀνὰ ∠ α', κυπ. ∠ β'· τρίψας μέριζε εἰς δ' μέρη καὶ δίδου ἐφ' ἡμέρας δ' μετ' οἴνου λευκοῦ γλυκίζοντος, μετὰ κάθαρσιν καταμηνίων· μετὰ ταῦτα συγγινέσθω· ἀπεχέσθω ὁ ἀνὴρ ἀφροδισίων καὶ συνουσίας ἀπεχέσθω ἴσον χρόνον προκαθαρθείσης καὶ αὐτὸς τῷ γάλακτι καὶ διαιτάσθω ἀμφότεροι διαχωρήματι. Καὶ πεσσοὶ ἁρμόδιοι ταῖς δι' ἄδηλον πρόφασιν μὴ συλλαμβανούσαις, οὗτοι· μάλιστα ταῖς διὰ ὑγρότητα μυξώδη μὴ κυισκούσαις. Ἐκ τῶν προρρηθέντων περὶ ἑκάστης διαθέσεως, δυνατὸν ἑκάστῃ τὸ ἁρμόδιον καὶ τὸ ἐκ τούτων προσάγειν. Ἀσκληπιάδου πεσσὸς μήτρας καθαρτικός. στυπτηρίας σχιστῆς· σμύρν. λιβάν. κροκ. κυπ. ἀνὰ ∠ ... ἀφρ. μέλιτος ἑκάστου ἴσον· προσλαβὼν ὀλίγον τρίψας καὶ μίξας τῷ μέλιτι, καὶ εἰς ὀθόνιον λεπτὸν ἢ εἰς ἔριον ἐμπασσόμενον ἐγχρίσας καὶ ἐμβρέξας ἔξωθεν τὸν πεσσὸν ῥοδίνῳ λουσαμένη προστιθέσθω. χρῶ δὲ καθαρτικῷ θαυμασίῳ καὶ τῷ προγραφέντι πρὸς τὰς δυσμήνους καὶ τρίμηνα φθορίου· χρηστέον καὶ τῷ διὰ κολοκυνθίδος καὶ ἰρίνῳ μύρῳ πρὸς τὰς μὴ συλλαμβανούσας. Ἄλλος πεσσὸς καθαρτικός. Κυκλαμίνου χυλοῦ· κολοκυνθίδος· εὐζώμου· νίτρου· ξύλου· λινοζώστιδος ἀνὰ ∠ δ'· σμύρν. ∠ β'· ἀναλάμβανε λινοσπέρματος ἀφεψήματι· χρῶ κατὰ προσειρῆσαι μετὰ τῶν ἐμμήνων καθαρσιν. Ἄλλος. εὐζώμου· κολοκυνθίδος· σμύρν. νίτρου· κυμίν. αἰθιοπικοῦ ἀνὰ ∠ α'· σύκων σαρκὶ ἀναλαβὼν χρῶ μετὰ τὴν τῶν ἐμμήνων λῆξιν. Ἄλλος. ἀνίσου· καρδαμώμου· νίτρου· ἀριστολοχ. γλήχωνος· ἴλεως· σύκων λιπαρῶν· ὀριγάνου ἀνὰ ∠ δ'.

ἀν. ∠ β. τὰ ξηρὰ κόπτε σῆθε. (σάρκα δ' ἰσχάδων μετ' οἴνου λεάνας λυ-
κώδους, ἀναλάμβανε ἐν αὐταῖς τὰ ξηρὰ καὶ ἀπόθου εἰς πυξίδα κασσιτερίνην· ἐν δὲ
τῇ χρήσει αἴρων ὅσον ὠοῦ περιστερᾶς μέγεθος, ἐρίῳ ἁπαλῷ περιελίσσων εἰς
ἴρινον μύρον ἐμβάλλε, προστίθει στόματι μήτρας· οὕτως αὐτὴ ὑγρασίαν πολλὴν
καὶ μυξώδη καὶ τὰ λοιπὰ τῶν φαρμάκων· καθάρσεως δ' ἱκανῆς γενομένης,
ἀποπυριᾶσθαι τοὺς τόπους ἐχρῆν καὶ ... εἶτα δὴ δ' ὑμῶν τὰ τοιαῦτα
καθαρτικὰ τῆς ὑστέρας πρὸς σύλληψιν ἔνεστι. ἀλλὰ καὶ ἄλλας δυνάμεις παρὰ τοῖς
ἀρχαίοις ἀναγεγραμμένας εὑρίσκομεν συλλήψεως ποιητικάς, ὧν ἔχομεν καὶ
τὰς τούτων σκευασίας ἀναγραφήν. — Πεσσὸς συλληπτικός. Πιτύας
λαγωοῦ μέρη β. στυπτηρίας σχιστῆς μέρος α. μίξας διάλυσον εἰς πεσσὸν ἐμπλα-
σάμενος χρῶ μετὰ τὸ περικαθᾶραι τὴν ὑστέραν τοῖς προειρημένοις. Ἄλλος.
σατυρίου σπέρματος μέλιτος ἀν. ∠ α. χολῆς δορκάδος ἢ ἐλάφου, ἐκκενωθείσης
τὸ ὑγρὸν, τὸ ἐναπομεῖνον γλίσχρον ἔνδον, κύστει πεσσῷ προστεθεῖσα, ποιεῖ
πρὸ μικροῦ τῆς συνόδου. ἢ τὴν βάλανον ἐπιχρίε. ἢ μᾶλλον βληθεῖσα
πορφύρα ἀληθινῇ τῇ χολῇ τοῦ τράγου βρεχθὲν ἐπιτίθει τῷ ὀμφαλῷ τῆς γυναικὸς
ἐφ' ἡμέρας ζ. καὶ συνουσιαζέτω σελήνης αὐξούσης. Ἄλλος. Δορκάδος
σίφου λαγωοῦ πιτύαν καὶ χολὴν καὶ αἵματος καὶ στέατος ἀρνίου καὶ μυελοῦ ἐλά-
φου μετὰ κάθαρσιν προστίθει· προαναλύων δὲ καὶ νάρδῳ ἢ ῥοδίνῳ.
Ἄλλος πεσσὸς ᾧ ἐχρήσατο Ἀσκληπιάδης ἐπὶ τῶν ἐνδόξων γυναικῶν.
